

RHETORES GRAECI

EX

RECOGNITIONE

LEONARDI SPENGEL.

VOL. I.

LIPSIAE

SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.

MDCCCLIII.

VIRO DOCTISSIMO

CHRISTIANO EBERH. FINCKH

S. P. D.

LEONARDUS SPENGEL.

Librarium, honestissimum virum, munus ut graecorum rhetorum corpus tribus comprehenderetur voluminibus, mihi deferentem TE et ingenio et doctrina praestantem melius hanc provinciam administraturum esse certiorem feci, et ne ipse ἀσύμβολος abirem, Themistii paraphrases obtuli; ille altius instans et Themistium se editis rhetoribus excusurum esse et Aristotelis artem ut adderem adhortans, me ut onus haud iucundum cervicibus imponerem movit; libentius enim me in philosophi scriptis quam in rhetorum nugis versari non nego. Naturalem dicendi facultatem qua ratione veteres adiuverint, optime e graecis libris docet is qui ad Alexandrum scriptus esse dicitur, e latinis vero qui ad Herennium compositus est, illud si Quintilianum sequimur, Anaximenis, hoc fortasse eodem autore Quintiliano Cornificii opus. Hanc artem forensem et Isocrateam, is enim plurimum in ea laboravit, invitus Cicero, de industria Quintilianus commentatus est. Aristoteles rhetoricam artem e philosophiae fontibus derivans idque agens, ut quod in causis verum aut falsum esset, via et ratione indagaretur, viam quae ingredienda esset, demonstravit. Hanc Aristotelicam et philosopham artem, libertate e foro inter parietes depulsa, secuta est, quam

haud inepte scholasticam vel Hermogenianam dixeris, non Hermogenes eam invenit, sed quod veteres et recentiones ad Gerh. Vossium eius artem dignam censebant quam de rent atque interpretarentur, neque usui aptam et intellectu cilem atque impeditam. Ex hoc genere fere omnia quae re rhetorum sunt scripta, rarique erant qui sanam antiquoru tem praeferrent, inveniuntur tamen etiam in hac larga nu segete quae non negligenda videantur. Ut hi rhetorici ci tinnitusque minimi sunt aestimandi, ita magni facienda quae maxime quae secundi sunt generis. TIBI vero haec misi, TUO ingenio plurima debent, eaque ut denuo evolvas nost litteris faveas etiam atque etiam rogo. VALE.

I. ARISTOTELES.

Aristotelis rhetorica fere sola digna est, quae accuratissime explanetur; nos Bekkeri exemplum anno 1845 iterum seorsim editum, in quo ipse plures locos correxerat, ad vetustúm codicem Parisiensem A (1741) refinximus eadem ratione, quam alii in Isocrate et Demosthene secuti sunt; nam et in corruptis verbis huius libri haud raro veritatis restant vestigia; eius varietatem cognovimus ex Victorio (Bibl. Mon. 175), Gaisfordo (Oxonii 1820), denique ex ipso Bekkero qui diligentius librum tractavit, sed in mole digerenda interdum codicum litteras commutasse videtur. Multa ambigua aut falsa interpretatione illata uncis indicata, non remota sunt, ut qualis sit nobis textus traditus, appareat; ceterum de hoc Aristotelis opere nuper in commentatione academica (über die Rhetorik des Aristoteles, Abhandlungen der k. b. Akademie der W. I. Cl. VI. Bd. II. Abth. 1851) plura quae huc pertinent exposuimus.

Lib. I.

cap. 1. pag. 3, 13 πεποϱίκασιν] marg. A, Bekkerus. πεποιήκασιν libri. 20 γε νῦν] τε νῦν libri, sed gravius inest mendum, quod non delendis vocabulis τὰς κρίσεις, sed addendis potius καθάπερ περί τινας ἐν ἐνίαις γε tollemus. 4, 18 οὐ κατὰ μέρος] sic nuperrime Bekkerus, vulgo add. οὔτε περὶ τῶν παρόντων ex solo Q. imo scribendum οὐ περὶ παρόντων τε καὶ κατὰ μέρος. paulo post alterutrum ἤδη abundat, puto prius. 29 δὲ A, conf. 9, 1366, 35. 13, 1374. b. 2. 11, 1369. b. 35., ceteri libri δὴ magis ex more Aristotelis. 5, 18 εἴπομεν] diximus vet. transl. εἶπον libri praeter autoris usum. 6, 19 αὐτοὺς] αὐτοῖς libri, αὐτοὶ vulg. 7, 8 ὑγιᾶ] ὑγίαν vet. transl.

cap. 2. 8, 24 δι' αὐτοῦ δὲ τοῦ λόγου scripsimus, διὰ δὲ τὸν λόγον A, τῶν λόγων ceteri, sequens verbum πιστεύουσιν (vet. tr. credimus) suspectum, intelligendum εἰσὶν αἱ πίστεις 9, 5 ὁμοία] A. vet. tr. ὁμοίωμα ceteri. 7 πῶς ἔχει huc non pertinent. 11 ἀναλυτικοῖς Dionysius ad Amm. 7. διαλεκτικοῖς libri, certe Aristoteles τῇ διαλεκτικῇ scripsisset. 13 ὁμοίως] Dionysius, A, vet. tr. ἔχει ceteri addunt. 15 verba τὸ δὲ φαινόμενον — συλλογισμὸς Dionysius servavit. 19 οὐδέν] A. vet. tr. ceteri πως addunt cum Dionysio ut videtur. 20 ἢ post ἀνάγκη nos inseruimus. 21 ὁτιοῦν] Dionysius, ὁτιοῦν ἢ ὁντινοῦν Aristotelis libri. 10, 19 δὲ] imo δή 11, 1 ὡς τὰ πολλὰ] imo ὡς ἐπὶ τὸ πολὺ 12, 32 πάντας] παρὰ πᾶσιν A. 13, 3 μέθοδον τῶν συλλογισμῶν male repetita. 5 τοὺς ἀκροατὰς] imo ipsos oratores.

cap. 3. 14, 3 εἴδη] imo γένη, quod ex praecedentibus intelligitur. 10 articulos om. Gregorius Cor. Rhet. gr. VII, 1269. 15, 30 Arist. hunc ordinem sequi solet καὶ προτρέποντες καὶ ἀποτρέποντες, καὶ ἐπαινοῦντες καὶ ψέγοντες

cap. 5. 20, 15 εὐτεκνία male insertum, verba enim simul πολυ-

τεχνίαν exponunt. 17 deest ὑγίειαν 21, 3 scrib. τοῦ δὲ οἰκεῖα εἶναι ὅταν ἐφ' αὐτῷ τὸ ἀλλοτριῶσαι ἢ μή, nam 20, 29 post ἀσφαλῆ exciderunt verba καὶ οἰκεῖα 21, 24 ἀρεταὶ] libri ἀρετὴ 22, 21 οὐκ] οὔτ' libri.

cap. 6. 23, 24 τοῦτο] imo ταῦτα 24, 17 αὐτῆς] αὐτοῦ libri. 25, 23 οἱ πολλοὶ] οἱ om libri. 30 οὓς οἱ φίλοι ψέγουσι καὶ ἀγαθοὶ om A 26, 7 ἂν potius ante γιγνόμενα inserendum.

cap. 7. 30, 26 λέγουσαν om A, aliud excidisse videtur v. c. παράκοιτιν Il. 9, 590. 30 συντιθέναι] δὲ addit A apud Vict. et Gaisf. 31, 8 A γρ. πρόσθεν μὲν τραχεῖαν ἔχων ὤμοισιν ἄσιλλαν 32, 3 ἃ ante λανθάνει om A apud Bekkerum.

cap. 8. 32, 32 lacunam indicavimus.

cap. 9. 34, 2 ποριστικὴ] imo ποιητικὴ 26 lacunam indicavimus. 37, 29 δεῖ post μετατιθέναι add A, vet. tr., potius illud ante πράττειν delendum. 32 ὑπάρχουσιν om. A infra III, 16 ubi haec repetuntur in libris, vid. Isocr. Euag. § 45. 38, 6 ὃ delevit Fr. A. Wolfius

cap. 10. 40, 11 τὰ μὲν] lacunam recte supplet C repetitis verbis ὄρεξιν, τῶν δὲ δι' ὄρεξιν τὰ μέν. ceteri καὶ τὰ μὲν 12 ἄλογον, non ἀλόγιστον ex more philosophi A ap. Vict. et Gaisf. 12 lacuna sic explenda βούλησις, ἡ δὲ βούλησις vid. acad. comment. p. 55 24 πράξουσι A, non πράττουσι, ut 31 σώφρονα εἶναι, non σῶφρον

cap. 11. 43, 9 δίψῃ καὶ πείνῃ] δίψα καὶ πεῖνα libri, sed A ap. Gaisf. πεινη 12 ὅσας] ὅσα libri. 30 μνησάμενος ὅτε] sic A, unde πάθεν et ἐόργει scribendum est, ceteri μνήμενος ὅστις 44, 17 vulgo ἀλλὰ καὶ ἀπόντος μεμνημένοι ἐρῶσιν. διὸ καὶ ὅταν λυπηρὸς γένηται τῷ in quibus Bekkerus nuperrime ἐρῶσιν inclusit, at idem: διὸ et ὅταν καὶ corr A. λύπῃ προσγένηται A. 45, 10 καὶ οἱ φρόνιμοι ἀφρόνων] quidni τῶν ἀφρόνων? 46, 19 καὶ γὰρ] A. καὶ ἀεὶ ceteri vid. M. Mor. 2, 11 p. 1208. b. 9 καὶ γὰρ κολοιός φασι παρὰ κολοιὸν ἱζάνει. 26 καὶ φιλερασταὶ om A 32 καὶ τὸ ἄρχειν addit A vet. tr. unde apparet quod praecedit comma καὶ ἐπεὶ τὸ ἄρχειν . . . ἐπιστήμη illis postponendum esse.

cap. 12. 47, 32 καὶ ὁ πένης καὶ ὁ αἰσχρὸς] alterum ὁ delendum ut idem sit intelligendus. 48, 1 ὅλως est in A ap. Gaisf. et Vict. 3 πάντα A ap. Vict. et Gaisf. 13 ἢ δι'] an ἢ εἰ δι' 49, 7 ἐπιχειροῦσιν, ἀδικοῦσι] inserendum est ἀδικεῖν

cap. 13. 51, 16 lacunam Alcidamantis exempli indicavimus, quod in scholiis traditum est his verbis, nescio quo autore: ἐλευθέρους ἀφῆκε πάντας ὁ θεός, οὐδένα δοῦλον ἡ φύσις πεποίηκεν, fictum, non verum videtur. 17 διχῶς ὥρισται, ut capitis initio dixit, διώρισται δίχα ὥρισται A, διώρισται, διχῶς διώρισται ceteri. 27 ἔστι δὴ] fort. ἔστω δή 52, 11 ἢ] τι A τι ἢ ceteri. 23 ἔκλεψε Bekkerus nuper inclusit. 53, 2 εἶναι om A 13 ὡρισμένον A, εἰρημένον ceteri.

cap. 14. 54, 12 ἴασις] exspectamus ἴασις ἢ μὴ ῥᾳδία· χαλεπὸν γὰρ ἢ ἀδύνατον 13 κόλασις καὶ] A, καὶ κόλασις ceteri, fort. haec delenda sunt. 25 καὶ τὰ μὲν ῥητορικὰ] vix sana sunt; hucusque veriora

enumeravit, iam transitum ad minora quae rhetoricae sunt amplificationis, facit, ut lacuna ante ῥητορικὰ esse videatur, nisi sic transponas: καὶ τὰ μὲν ἔστι τοιαῦτα, ῥητορικὰ δ' ὅτι   27 ὑπεροχῇ] ὑπερέχει A

cap. 15. 55, 13 ἐπιεικέσιν ὡς δικαιοτέροις] ἐπιεικεστέροις καὶ δικαιοτέροις A, unde illud natum videtur, fort. καὶ δικαιοτέροις delenda sunt.   57, 1 πατέρας A, ceteri παῖδας, non υἱούς, contra Polybii aliorumque auctoritatem. malim καταλείπῃ. infra 2, 21 etiam A παῖδας et κτείνων.   3 τῶν αὐτῶν] τούτων A, id male repetitum videtur.   4 δικαστηρίοις] num δικασταῖς? tum ὃ A apud Gaisf., incertum fuit Bekkero, ceteri ᾧ, quod si verum, delendum est εἶπε.   5 Ἀρχίβιον] ἀρτίβιον A ap. Bekk., ἀργίβιον ap. Victorium, Ἀγύῤῥιον Meineke 1, 161   6 τὸ ὁμολογεῖν] τῷ?   11 πιστότατοι] ἂν ἀπιστότατοι A, puto οὐκ ἂν ἄπιστοι εἶεν, πιστότατοι δὲ   14 καὶ οὐχ ὅτι οὐχ A, fort. posteriora duo verba abundant.   58, 3 exspectamus tale quid φυλάττοντες ταύτας, αἱ συνθῆκαι πισταί εἰσιν ἢ ἄπιστοι   19 τοῦτο] imo ταύτας   26 αἱ γὰρ ὕστεραι κύριαι] A; ceteri ἢ γὰρ αἱ ὕστεραι κύριαι, ἄκυροι δ' αἱ πρότεραι   59, 9 locum aliunde translatum δεῖ .. βασάνοις ex A, in quo παχύφρονες οἱ καὶ est, ut codicis illius ratio melius appareret, retulimus.   60, 12 ἐπιορκία] ἐπιορκήσει A, unde ἐπιώρκησεν vel ἐπιορκεῖ scribendum erit.   16 ὑπεναντίος καὶ praeter A ceteri omittunt, aut transponendum ὀμωμοσμένος καὶ ὑπεναντίος, aut verba καὶ ὀμωμοσμένος delenda sunt.   21 περὶ .. τοσαῦτα om A.

Lib. II.

cap. 1. 60, 28 ὡς περὶ ἕκαστον εἰπεῖν] num εἴπομεν, an ὡς εἰπεῖν περὶ ἕκαστον?

cap. 2. 62, 19 ὁ δ' ὀργιζόμενος ἐφίεται δυνατῶν αὐτῷ melius absunt.   63, 1 ὀλιγωροῦσιν] imo καταφρονοῦντες ὀλιγωροῦσιν. 4 οὖν οὐχ] οὖν μὴ A, ut 2, 5. 1382. b. 32 μηδὲ pro οὐδέ. 2, 23. 1397, 27.   17 ἀπούρας om A   64, 8 πενόμενοι]. post hoc πολεμοῦντες excidisse sequentia probant.   9 τι] A. ceteri om., malim τε 66, 9 κατασκευάζειν] A, αὐτὸν κατασκευάζειν ceteri, equidem malim παρασκευάζειν

cap. 3. 66, 13 τῷ ὀργίζεσθαι ἐναντίον τὸ πραΰνεσθαι A, recte, unde pergas καὶ ὀργῇ πραότης

cap. 4. 68, 22 λέγωμεν] λέγομεν A, indicativum Bekkerus in Aristotele ex optimo libro recepit, Anal. pr. 1, 13 p. 32, 17. ibidem b. 4. 24.   69, 22 ἐν τοῖς θαυμάζουσιν αὐτούς] ἐν οἷς θαυμάζουσιν αὐτοί, unde ne idem repetatur, corrigendum θαυμάζονται   27 τωθάσαι] τῷ παῖσαι καὶ τῷ ὑπομεῖναι A   70, 15 οὕτω καὶ] sic A ap. Vict. et Gaisf. οὕτω τὸ ceteri.   73, 28 τοιούτους] A, ὁμοίους ceteri, aegre desideramus in seqq. ἃ οὐκ ᾤοντο vel ἃ καὶ ὅτε   74, 27 τοιούτους] τούτους ἢ A, malim τούτους παρ' ὧν

cap. 6. 75, 14 ἢ ὅτε μὴ δεῖ om A   76, 4 αἰσχυντικὰ] ἀναίσχυντα A   77, 4 καὶ τοὺς μὴ συγγνωμονικοὺς τοῖς φαινομένοις

ἁμαρτάνειν ponenda esse puto ante καὶ τοὺς μὴ περὶ ταὐτὰ ἐνόχους 78, 10 ἃ] imo οἷς vel καταισχύνει 24 εὐπορήσομεν] εὑρήσομεν A

cap. 7. 78, 25 καὶ πῶς] ἢ πῶς libri. 79, 16 εἴτ' εἰδὼς εἴτε μὴ εἰδὼς] A. εἴτ' εἰδότες εἴτε μή ceteri.

cap. 8. 79, 27 ἢ λυπηρῷ] vet. transl. καὶ λυπηρῷ ceteri. 81, 6 ὁ Ἄμασις] articulum add A, est Ψαμμήνιτος, ὁ Ἀμάσιος 12 ἡλικίαν] A, ἡλικίας ceteri, iam supra 1, 10 eadem varietas, item 2, 10. 28 ἐλεεινὸν] A et vet. tr., om. ceteri.

cap. 9. 81, 9 ἐπεὶ] ἐπειδὴ libri. 24 διαφέροντες] ἁρμόττοντες A. 84, 3 οἷς] τοῖς pr A, fort. τίσι

cap. 10. 84, 28 ἡλικίας A. 29 μικρὸν ἐλλείπει τοῦ] Isingr. μικροῦ ἐλλείπει τὸ libri. 85, 14 καὶ γὰρ A. 29 πρεσβύτεροί τε] γε A ap. Vict. et Gaisf.; ceteri omittunt.

cap. 12. 87, 21 δυνάμεις libri. 24 ὧν] ἃ A. 88, 13 οἷόν τε Bekkerus, οἴονται codices. 26 καὶ φίλοι A et vet. tr.; om. ceteri, latet aliud, v. c. καὶ φιλερασταὶ vel simile.

cap. 13. 90, 15 οὔτε πρακτικοὶ οὔτ' ἐπιθυμητικοὶ A. vet. tr. 21 οὐχ] A ap Vict. Gaisf., οὐκ εἰς ceteri. 25 οὐκ εὐτράπελοι] fort. οὐ φιλευτράπελοι 25 φιλόγελῳ] φιλόγελοι A, φιλογέλοιοι ceteri.

cap. 14. 91, 16 περὶ τὰ ἑνὸς δεῖν] ἑνὸς δεῖ A. vet. tr., id recte emendatum est sive ex ingenio, sive ex libro integriore.

cap. 16. 92, 9 δὲ] A, non γὰρ 23 ἦθος πλούτου] A ap. Gaisf. vet. tr. ἤθους ὁ πλοῦτος ceteri.

cap. 17. 92, 32 ἀνδρωδέστεροι] φιλανδρωδέστεροι A. 93, 2 ἕξουσι' tacite Bekkerus, ἕξουσι A ap. Gaisf.

cap. 18. 93, 20—94, 1 conf. comment. academ. p. 32 seqq. 94, 8 ἠθικοὺς] nonne καὶ παθητικοὺς addendum est?

cap. 19. 95, 16 καὶ χιτὼν om A, vet. transl. 96, 7 ἐβούλετο καὶ] de his et quae sequuntur vid. comment. academ. p. 55. 24 ταῦτα καὶ] A. διὰ ταῦτα καὶ εἰ ceteri, puto καὶ τὰ

cap. 20. 97, 24 alterum πρότερον delendum esse videtur. 32 δέον] οὐ δέον A, tum μὴ om. an fuit ὡς οὐ δέον τὸν ἐπιστάμενον ἀλλὰ τὸν λαχόντα 98, 24 ἀφέλῃ] ἀφέληται A, supra activum ἀφέλοι, haud dubie invito autore. 32 ὅπερ ῥᾴδιον vet. transl. 99, 12 χρηστὸς] A, πιστὸς ceteri, sensus flagitat εἰς ἀπόχρη

cap. 21. 100, 22 φυλάττειν] sic A ap. Vict. Gaisf. τὴν ὀργὴν ceteri addunt. 24 θνητὰ et bis θνητὸν A. 101, 23 κτείνων A, vid. supra ad 1, 15 102, 7 τούς γε] τούς τε A. num alterum membrum excidit καὶ τοὺς ἀγαθοὺς ἄγαν φιλεῖν.

cap. 22. 103, 11 δεῖ] δὴ A, vet. tr. δ' ceteri.

cap. 23. 106, 16 ποιήσαντι] πείσαντι ἢ ποιήσαντι A. τῷ πεπραγμένῳ ὑπάρξει καὶ τῷ ποιήσαντι ἢ ποιοῦντι Dionys. ad Amm. cap. 12. ποιήσαντι, καὶ εἰ τῷ ποιήσαντι, καὶ τῷ πεπονθότι ceteri libri. vid. comment. acad. p. 44. 17 δὲ τοῦτο] A. Dionysius. δ' ἐν τούτῳ ceteri. 18 ἀπέθανε] vet. tr. et deteriores libri certa emendatione,. ἔπαθέν τι A. ἔπαθεν ἂν apud Dionysium 20 ἁρμόττει] ἂν

ἁρμόττῃ deteriores cum Dionysio 28—32 καὶ οἷον — ἀποθανόντα supra ponenda sunt (deleto καὶ ut videtur, nam A οἷον om.) post τῷ ποιήσαντι. vid. comment. acad. p. 46. 107, 5 seq. de hac memorabili dittographia vid. comment. p. 57. Verba τύπτει ὅτι .. δεῖξαι solus A servavit. 109, 14 ὅτι] A ap. Vict., Gaisf. καὶ ceteri. 30 Ἡγήσιππος] Ἀγησίπολις Xen. Hell. 4, 7, 2. 110, 18 ὡς εἴρηται] an ὅσα ut 3, 2? 111, 16 περὶ Ἰσοκράτους] Antidos. § 173 seqq. περὶ Σωκράτους libri 112, 9 πράττειν] recte explent C et margo Y ἐὰν δὲ μὴ ὑπάρχῃ μὴ πράττειν 12 προτρέπονται .. ἀποτρέπονται] quidni προτρέπουσι et ἀποτρέπουσιν?

cap. 24. 116, 11 ὀργίζηται] ὄρσηι A, ὀργίσῃ Victorius. 118 7 εἰκὸς tacite om. Bekk.

cap. 25. 118, 21 ἀπὸ] ἐπὶ libri 24 ἐπὶ δὲ τῶν ὁμοίων libri 119, 18 ἂν οὕτως ἐλύθη libri omnes. 31 locum Victorius explet τὰ παραδείγματα καὶ 120, 1 εἰ καὶ] ἢ κατὰ A, ἢ καὶ τὰ ceteri 1 ἐάν τε] ἐὰν δὲ libri.

Lib. III.

cap. 1. 121, 27 περὶ ἃ A, περὶ ὧν ceteri, an ἅ? 123, 4 οἱ πρότερον] δ' οἱ πρῶτοι libri

cap. 2. 123, 29 διὸ fort. delendum 124, 8 ποιητικῆς] ποιήσεως libri 24 τοῦτο πλεῖστον δύναται] imo τούτων πλεῖστον δύνανται 125, 19 fort. κώπης ἀνάσσων

cap. 4. 129, 22 imo καὶ ἡ Δημοσθένους εἰς τὸν

cap. 5. 131, 7 δεῖ στίξαι Victorius, Bekkerus. δεῖ διαστίξαι Gaisf.

cap. 7. 132, 22 aut εὐλαβουμένου, ἐὰν δὲ ἐπαινετά, ἀγαμένως λέγειν, aut quod praeter A ceteri, haud dubie ex correctione: δυσχεραινόντως καὶ εὐλαβουμένως [καὶ] λέγειν

cap. 8. 134, 11 ῥυθμῶν] εὐρύθμων A vet. tr. 12 λεκτικῆς] Madius ad Poetic. cap. 4 p. 86. Tyrwhittus p. 120. λεκτικὸς καὶ libri 26 καὶ ἀρχόμενοι] τελευτῶντες καὶ ἀρχ. Vaterus, vel ἀρχ. καὶ τελευτῶντες scribendum.

cap. 10. 139, 10 ποιεῖ] ποιεῖν A, recte si εἰ τὸ scripseris 11 τὰ] abundat, nisi τὰ πράγματα reposueris.

cap. 11. 141, 18 ταχὺ γὰρ λέγει operarum errore exciderunt in Morelliana edit. unde in ceteris desunt. 142, 7 κίνησις] Bekkerus coniecit, μίμησις libri 143, 14 ἐὰν μὴ A, num ἐὰν μὲν? 15 ἀνάσχετος] ἄσχετος A Bekker 19 ξένος ἢ] fort. ξένος εἶ οὐ 23 γ' ἀποθανεῖν] γὰρ ἀποθανεῖν libri 144, 7 ἄνω, ἀεὶ] num ἄνωθεν αἱ? ut Physic. 1, 7, p. 191, 15 cod. E.

cap. 12. 145, 30 vulgo παραβαλλόμενοι οἱ μὲν τῶν γραφικῶν (γραφῶν A. vet. tr.) ἐν τοῖς ἀγῶσι στενοὶ φαίνονται, οἱ δὲ τῶν ῥητόρων εὖ λεχθέντες (ἢ τῶν λεχθέντων A) ἰδιωτικοί 146, 10 ὑποκριτικὸς A 12 imo λέγοι 17 ὅτι ἔχει] ἔτι ἔχει libri. 21 πολλὰ δοκεῖ ὑπεριδεῖν ὅσα εἶπεν] ita nunc Bekkerus ex A pro vulg. πολλὰ δοκεῖ δὲ .. εἶπον, ὅσα φημί. Fort. ὑπερεῖδεν ὅσα εἶπον. unum

exemplum est ἦλθον .. εἶπον quod Aristoteles πολλὰ δοκεῖ inserens interrumpit. 147, 2 δικανικὴ ἀκριβεστέρα] Tyrwhittus ap. Gaisf. δίκη ἀκριβέστερον libri. 3 ἐστιν ἐν ῥητορικοῖς] imo ἔνεστι τῆς ῥητορικῆς atque postremum est in A

cap. 14. 149, 19 λαβεῖν] pro ὑπολαβεῖν ut 2, 22 p. 1306, 3. 23 λόγοις] scrib. δικανικοῖς λόγοις

cap. 16. 154, 4 lacunam adnotavimus; codices omnes repetunt viginti versus ex 1, 9 ἔστι δ' ἔπαινος ... κωλύον μετατιθῇ. deest finis τῶν ἐπιδεικτικῶν et initium τῶν δικανικῶν. 19 δ'] imo γὰρ

cap. 17. 156, 9 δεῖ] deest ἐν μὲν τοῖς δικανικοῖς 22 ἄλλως Bekkerus, ἄλλος libri 27 δημηγορικώτερα vet. tr. 30 περὶ ὄντων ἢ μὴ ὄντων] imo περὶ τὸ ὂν ἢ μὴ ὂν 157, 11 ἐνθυμηματίζειν vet. transl. 25 ἐξιστῇ] ἐξίστη A, ἐξίστηται ceteri.

cap. 19. 161, 12 δὲ om A, an fuit δὲ δεῖ? 12 τοιούτους] τούτου A, om. vet. tr. puto δὲ δεῖ τοῦτο κατασκευάζειν, εἴρηνται

II.

Aristoteli incerti rhetoris fragmentum περὶ ἐρωτήσεως καὶ ἀποκρίσεως cap. XVIII, libri tertii philosophi tractans adiecimus. Id primum ex Paris. cod. 1874 Seguerio editum 1838 repetiit Schneidewinus in Museo Rhen. (1847. pag. 261—5) conf. quae ibidem a nobis allata sunt p. 588—95. Cobeti apographo usus est Bakius ad Apsinem proleg. p. L—LIII, cuius consilium, ut haec denuo consideraremus, secuti sumus.

p. 165, 2 ἢ] Seg. om Cod. malim καιρὸν γενόμεναι ἢ μὴ γενόμεναι 6 συμπλέκοντος] συμπλέκοντα cod. non is qui interrogat, sed qui interrogatur ψευδῆ συμπλέκει. 13 codex οὐ συμφήσαντος δὲ τοῦ Λάμπωνος ἐν τοῖς οὐχ οἷόν τε ταυτὶ τοῖς ἀμυήτοις ἐξαγγέλλειν καὶ πῶς εἶπες verbis male repetitis, corr. Schn. 16 καὶ ὧν] imo καὶ τούτων 17 εὐθὺς οὐ, tum εὐθὺς παραλιπὼν codex, corr. Schn.
p. 166, 5 ὡς δὲ ἔφη C, corr. Schn. malim et ὡς abesse 7 αὐτὸν] αὐτόθεν C (ο superscr.) 9 ἀποκτείνῃς C 10 τοῦ ἐρωτᾶν] Schn. τοῦ ἐρωτ C, malim τῆς ἐρωτήσεως 11 ἀλλ' ἢ add. Schn. εἰ μὴ Seg. om. C. 11 ἀποκρινομένην C 19 μηδὲ C 19 ῥημάτων περαιοῦσθαι] scrib. ex seqq. ἐρωτήσεων συμπεραίνειν 20 ἐνθυμήματα] ἐννοήματα C 21 μήτε] om C 21 ἀναγκάζει C, καὶ ἀναγκάζει C apud Cob. 23 ἐγνωκέναι C, ἀπεγνωκέναι Bakius 25 τοῦ ἐρωτᾶν, τοῦτο δὲ ποιεῖν δεῖ] scrib. ἐρωτήσεων ceteris deletis. 27 συμπεριφερομένους] Seg. ex seqq. συμφέρον C 28 malim ἀποκρινομένους 29 πάντα] num πάντως? 31 προσομολογεῖν C, corr. Schn. p. 167, 1 οἷον] abundat, nisi exemplum excidit. 2 εὔλογον] sic C ap. Cob. ἔλεγον ap. Seg. Fort. εὔλογον λέγε 11 αὐτὸν] imo αὐτοὺς 15 αὐτῶν] ergo περὶ ἀποκρίσεων scripsit multitudinis numero, et ita supra ἐρωτήσεων 16 ἄρα δὲ] scrib.

δ' ἄρα 20 φέρειν δεῖ] φέροι εἰ ε C ap. Seg. εἰ φέροι ap. Cob., corr. Bakius, qui et hic et alibi sententiam autoris non assecutus est 20 αὐτὸς ἔχων] puto αὐτό, tum verbum secundae deest personae v. c. ἐρωτήσεις 21 ἀντερωτᾷ] imo ἀντηρωτῶ 23 τόποι C, corr. Schn. 28 ἐρωτῶμεν C, corr. Schn. 29 τί ἂν] τί C p. 168, 1 ἐσυκοφάντουν οὐκ ἂν C, transposuit Bakius 5 γέγραφε Bakius, ἔγραψε Rhet. gr. VII, 1204. 20 ἔτι*] lacunam indicavimus, excidit οἷον 22 Λάκωνος] fort. ὅς addendum 25 κεκοινώνηκα] Schn. κοινωνήσω C 28 imo ἐπήγαγον, ut supra ἀναπυνθανομένων et λεγόντων, quamvis infra sit τῷ κατηγόρῳ 30 εἰ μὴ πολλή τις τῶν πραγμάτων ἀλήθεια περιείη] correximus ex Aristotele, in C est μὴ πολύς τις τῇ τῶν πραγμάτων ἀληθείᾳ ἀχθείη, ut Seg. tradit, ἀληθείᾳ ... εἴη Cobetus. possis etiam ἐὰν μὴ .. περιῇ scribere. 31 μήτε αὐτό] sane alterum excidit membrum propter similitudinem cadens ex Aristotele sic fere reddendum μήτε αὐτὸ τὸ συμπέρασμα (ἐπερωτᾶν, μήτε μετὰ τὸ συμπέρασμα) ἀλλὰ τινὰ συγχωρεῖν αὐτοὺς συλλογισαμένους ἅπαξ. quae constructio in hoc autore
α
non offendet. Cobeti apographum ἀλλ~' τιν συγχωρεῖν ἁ συλλογισαμένον ἅπαξ. hoc dicit: cavendum est interrogantibus, ne aut ipsam conclusionem interrogativam afferant, nisi forte ea sit quae confutari non possit, aut post conclusionem rite factam et perfectam (ἅπαξ συλλογισαμένους) instantiam aliquam adversarii admittant, qua προτάσεις quidem concedat, conclusionem vero neget, neque ipsi quid dicant habeant. 34 ἀφ' οὐ δῆλον] sic Seg. tacite, sed Cobetus ἀφο . . . . . δῆλον, margo supplet ρμὴν, sed ἀφορμὴν quid sibi hic velit non video; at recte conclusio his demum incipit: δῆλον τοίνυν, ut sane aliud in illis lateat vocabulum ignotum, v. c. ἀφορισμῷ vel ἐφεξῆς vel simile quid.

III. ANAXIMENES.

In hoc scriptore excudendo secuti sumus nostram recensionem Turici et Vitoduri 1844 editam, unde qui plura velit, petat; ut nitidior evaderet, duumviri effecerunt Car. Halm in Philolog. I, 576—81, et Christoph. Eberh. Finckh (F) in commentatione de auctore rhetoricae quae dicitur ad Alexandrum, et de locis nonnullis eius libri vel emendandis vel illustrandis, Heilbronnae 1849. in qua et locos quosdam Isocratis, qui nescio qua incuria me fugerant, indicavit. Tertius quae contulit, Kampius, in Iahnii Annal. XLV, 1 p. 59—78 tam mirabilia sunt, ut iis uti hic non liceret.

pag. 177, 4 καὶ ante τὸν delet F 179, 11 ἐν οἷς τρόποις] mire hoc dictum ut plura in hoc libro pro καθ' οὓς τρόπους. 181, 6 συμπομπεύωσιν] infra 241, 7 plures libri συμπέμπωσιν 7 περὶ] infra πρὸς 17 ἀπὸ] ὑπὸ? 183, 16 ἀποστατήσειν Halm 185, 1 πέσωσιν] scrib. cum F πταίσωσιν 12 τοῦ] ἐκ τοῦ Halm 186, 21 συμ-

βαῖνον? 25 ὑγιαίνειν] Halm, αἱ νῖκαι libri 187, 8 μέγα φέρειν] F, μεταφέρειν libri 22 πολλὰ] πολλάκις F 190, 12 μόνον εἶναι ἑαυτοῦ.. ἀλλὰ κοινὸν F. fort. μόνῳ εἶναι σαυτῷ 191, 4 ἤ τι πράξειεν ἂν Halm 192, 2 ταῦτα] αὗται? 2 ἀντιλογίας] αἰτιολογίας Halm, haec quidem σχῆμα λέξεως est, sed defendi potest ex Aristot. rhet. 1, 9. 193, 4 τοῖς] ἐν τοῖς F 32 σύναγε] Halm, συνάγαγε libri 194, 31 ἢ] F, καὶ libri 195, 8 καὶ] ἢ F 196, 32 καταλέγειν] λέγειν F 197, 25 αὐτὴ] αὐτοῦ F 202, 2 οὐ χαλεπὸν F 7 fort. ἀπίθανον ὄν. 204, 22 ἐν ἐνθυμήματος F 206, 8 ἀποδείξω] ὑποδείξω libri, ita saepius male in hoc libro ἐπιδεῖξαι legitur pro ἀποδεῖξαι, p. 220, 25 δείξειν, 238, 20 ἐνδεικνύντες 29 ὕποπτος L. Kayser 31 ἐμφανιζέτω] Pflugk, ἐμφανιεῖ σοι libri 208, 5 μὲν] fort. μὲν οὖν 15 ἐν delet F 211, 32 scrib. cum Halmio σύνδεσμος ἀκόλουθος 212, 21 ἐν del. F 213, 21 scrib. τὸ νόμιμον καὶ τὸ καλὸν 215, 21 λέγοντα Halm 30 τῇ] δεῖ Halm 216, 9 scrib. ἐστιν 13 ὑποτιμᾷ F 217, 25 scrib. ἀδικοῦντας πρὸς τοὺς 218, 29 fort. πιστεύσουσιν 221, 3 τὰ οἰκεῖα Halm 4 ἐγγυτάτω? 15 scrib. αὐτοῦ cum F 222, 2 δεῖ] Halm, δὲ libri 225, 10 ἀπολύομεν] imo ἀπολύοντας 226, 2 scrib. ἀναλαβόντας 4 παρατιθέναι F 7 διελθεῖν] fort. δεῖ διεξελθεῖν 227, 4 fort. προθέμενος 8 ἢ ὅτι διὰ τοῦ ἐπιτηδεύματος] nihil de hoc supra cap. 3 dictum, neque aptum est. 10 παραβάλλειν ταύτας ταῖς ἐκείνων F 13 ἄλλα σμικρὰ] F, ἄλλοις μικρὰ libri 15 καίτοι ὅστις] F, καὶ ποῖός τις libri 16 ὃς del. F 24 πέρατι] F, περὶ vel παρὰ libri 229, 2 coniunge διακειμένῳ καὶ τῷ ἢ δι' ἑαυτὸν 24 περὶ τὸν λόγον huc non pertinent 230, 6 mirum est me non dudum διττογραφίαν libri intellexisse; loquitur autor de eo qui διαβεβλημένος est, si quidem περὶ αὐτὸν τὸν ἄνθρωπον αἱ διαβολαὶ ἐκ τοῦ παρόντος χρόνου, eaque disputatio 230, 6 finitur; tum duplici ratione sic legimus: ὁμοιοτρόποις αὐτοῖς ἔχοντες ὁμολογούμενοι τοῖς ἐγκλήμασι δόξουσιν εἶναι

περὶ μὲν οὖν αὐτὸν τὸν ἄνθρωπον ἐκ τοῦ παρόντος χρόνου τοιαῦται γενήσονται (αἱ) διαβολαί. αἱ δὲ περὶ τὸ πρᾶγμα συμβαίνουσιν, ἐάν τις πραγματεύηται πρὸς οἰκείους φίλους ἢ ξένους ἢ ἰδίους ἢ περὶ μιαρῶν ἢ αἰσχρῶν .. ταῦτα γὰρ ἀδοξίαν ... τοῦ πράγματος ἀκοῦσαι.	τὰς μὲν οὖν περὶ τὸν ἄνθρωπον αὐτὸν διαβολὰς οὕτω λύσομεν, τὰς δὲ περὶ τὸ πρᾶγμα οὕτως ἀπωσόμεθα, τὴν αἰτίαν εἰς τὸν ἐναντίον τρέποντες, ἢ λοιδορίαν ἐγκαλοῦντες αὐτοῖς ἢ ἀδικίαν ἢ πλεονεξίαν ἢ φιλονεικίαν ἢ ὀργὴν προφασιζόμενοι, ὅτι τοῦ δικαίου δι' ἄλλου τρόπου τυχεῖν ἀδύνατον.

iam sequi debebat locus περὶ τὸν λόγον qui excidit. atque haec certa sunt, maleque librum servatum esse aperte docent, sed uter prior est locus? ni fallor, is qui brevitate praestat. num alter ex alia arte rhetorica translatus est? nescio quomodo hanc solvam difficultatem, sed addendum est hoc exemplum illis pluribus, quae ex Aristotelis libris alibi congessimus. 231, 9 ἢ συνάψαμεν F, deleto καὶ quod sequitur. 10 ἐφ'] Pacius, ὑφ' libri 232, 23 οὐ] αὐτὸ Halm 233, 21 πρῶτον] imo

πρότερον 31 supra 224, 8 παραλελειμμένον 235, 6 ἀξίαν ἂν Halm 7 περὶ] πρὸς? 14 γὰρ] γὰρ ἂν Halm 15 σαυτὸν? item v. 20. 17 τοῦτο] ταὐτὸ F 18 διαίρει? 24 τῷ αὐτῷ δὲ τρόπῳ] an excidit δεῖ χρῆσθαι? 236, 9 imo ἀποκρίνεσθαι 16 παρὰ vacat 24 imo ἐναντίον 237, 10 ἐπετύχομεν F, imo τυγχάνομεν et τευξόμεθα ut v. 27 et bis cap. 34. 27 ἢ] εἰσὶν ἢ Halm 238, 15 συνέντες F 239, 1 ποίησον] imo ποίησαι 6 πεπραγμένα] vix sanum, an προειρημένα? 20 εὐμενεῖς F 240, 1 ἂν μὴ] post haec ea quibus αἱ πράξεις ταχεῖαι fiant excidisse censet F, ita ut sequeretur σαφῶς δὲ ἂν μὴ πάντα πράττειν 21 δὲ add. F, libri ante πράττομεν ponunt.

IV. Περὶ ὕψους.

Librum περὶ ὕψους, cuius auctor ipse saepe nimis sublimi et tumida dicendi atque interpretandi figura utitur, primus edidit Basileae per Oporinum Fr. Robortellus; dedicatio ad Cardin. Rannutium missa haec postrema verba exhibet: Patavii, Nonis Aug. MDLIIII. Eodem mense sequentis anni (ἐξ Ἐνετίων μεταγειτνιῶνος τρίτῃ ἐπὶ δέκα) eundem librum praefatione ad Card. Michaelem Silvium graece scripta, qua gloriam principis editionis Robortello erepturus neque eius mentionem facit et Bessarionis librum vetustate corrosum edidisse dicit, Paulus Manutius Aldi fil. emisit; ἐν τῇ παρ' ἡμῖν τοῦ Βησσαρίωνος βιβλιοθήκῃ κατακεκρυμμένος ἀπέκειτο, κἂν ὑπὸ σητῶν τῷ χρόνῳ, ὡς πολλαὶ καὶ ἄλλαι χρησιμώταται βίβλοι, κατεβρώθη καὶ φροῦδος ἐγένετο, εἰ μὴ παρέστη μοι τοῖς ἡμετέροις αὐτὸν ἀνανεῶσαι. et sub finem haec addit: οὐ μὴν ἀλλ' ὃ νῦν ἀδύνατον, ἐλπίζω δυνατὸν οὐκ εἰς μακρὰν ἐκτετυπωμένης ἤδη ἔσεσθαι, καί τι τῶν βελτιόνων ὑπάρξειν ἀντιγράφων ὃ αὐτὴν εἰς τἀρχαῖον καὶ γνήσιον σχῆμα τελείως ἀποκαταστήσει. Haec Manutium invidia Robortelli ductum finxisse mihi certum est; codice quidem usus est, (haud dubie Veneto 422 recentissimo sec. XV,) sed pleraque omnia ex ingenio restituit, primumque folium ipsum haec profitetur: in quo cum alia multa praeclare sunt emendata, tum veterum poetarum versus, qui, confusi commixtique cum oratione soluta, minus intelligentem lectorem fallere poterunt, notati atque distincti h. e. non ut in Robortelli libro, qui omnia uno tenore excudenda curavit. Veterum autorum locos laudatos, Homeri, Herodoti, Platonis, Xenophontis omnes ex ipsis restituit et supplevit, alia ut Sapphus carmen audacissime aggressus est, omnemque provinciam ita administravit, ut ingenio et doctrina graecarum litterarum nullo aequalium suorum inferiorem esse luculenter ostenderet, quo factum est, ut posteriores quoque editores eius autoritatem nimis securi sequerentur.

Codices omnes ex praestantissimo Parisino, 2036, sub finem sec. X exarato, cui insunt Aristotelis problemata physica et autor περὶ ὕψους,

descriptos esse Boivinus primus perspexit; tacet A. E. Eggerus qui nuper Weiskii editionem 1837 recudendam curavit. nobis qui nunquam illum librum oculis inspeximus, postquam foliorum quae desint, et quaternionum a Rostgaardo mentionem factam esse vidimus (ap. Weiskium p. XIV. 231. 343. 382. 561) facile adhibita Robortelli editione, quae verba uno tenore comprehensa exprimit, omnia ex integro enumerare contigit; postea vero in adnotatione Boileauvii nomine, quae haud dubie Boivini est, gallice scripta (p. 50—2 edit. Veron. 1732) ad 9, 4 rem optime eadem ratione expositam et confirmatam vidimus. Est ille codex in forma quae dicitur quarta scriptus, cuius singula folia LVI versus et dimidium editionis principis, quae ipsa eiusdem generis est, (vel LX fere edit. Weiskianae) continent. vid. ad IX, 4. Incipit autor περὶ ὕψους fol. II verso quaternionis *ΚΔ*, cui cap. 2, 3 duo desunt folia IV et V. Sequens quaternio *ΚΕ* nunc integer in P desideratur. conf. ap. Weisk. p. 561, sed felici fortuna factum est, ut librarius qui codicem describeret, eius folium I, (8, 1—9, 4. ὡς κἂν τοῖς ... μὲν ἠρκέσθην) et VIII (9, 4—10. τὸ ἐπ' οὐρανὸν ... ὀφθαλμοῖσιν ἰδέσθαι) inveniret; quare ceteri codices praestant quae nunc in P desunt. Desiderantur ergo illius quaternionis sex folia, II. III. IV. V. VI. VII. Quaternioni *ΚϚ* cap. 12, 2 deest fol. IV et V; tum in *ΚΖ* cap. 18, 2 iterum fol. IV et V desideratur, in *ΚΗ* cap. 30, 2 desunt quatuor folia III. IV. V. VI; in *ΚΘ* cap. 37 deest IV et V. Postremi quaternionis *Λ* tria prima folia servata sunt, reliqua quae τῶν παθῶν descriptionem continebant quorumque numerum definire non licet, omnia desecta sunt.

Quare in codice P huius libelli exstant folia XXIX et dimidium, desiderantur vero folia XX, vel cum duo folia (I et VIII quaternionis *ΚΕ*) in ceteris codicibus nobis servata sint, constat libellus foliis XXXI et dimidio, desiderantur vero XVIII, hoc est, in iis quae supersunt, plus quarta, ne dicam fere tertia totius operis pars intercidit.

Sed ut librarii industria qui duo illa folia descripsit, laudanda est, sic Vaticani codicis primi scriptoris taedium accusandum est; is enim adhuc integriorem invenit codicem, nulla initio lacuna turpatum, ita ut fol. IV et V quaternioni *ΚΔ* inserta suo ordine legerentur; inde octo descripsit versus, 2, 3 φύσις τὴν .. θεωρίαν, quibus finitis studium eius plane defecit, neque enim plura in illo codice exstant; ita solvenda est quaestio, quam movit Boivinus ap. Weiskium p. XIV et 232.

Num vero idem de postremis libri verbis iudicandum est? nam in P ultimi quod restat folii postremus versus est: ἐπὶ δὲ τὰ συνεχῆ χωρεῖν, ἦν δὲ ταῦτα τὰ πάθη περὶ ὧν. at in omnibus codicibus et in ipso P a recentiore manu addita haec porro leguntur: ἐν ἰδίῳ προηγουμένως ὑπεσχόμεθα γράψειν ὑπομνήματι ὃ τήν τε τοῦ ἄλλου λόγου καὶ αὐτοῦ τοῦ ὕψους μοίρας ἐπεχόντων ὡς ἡμῖν. quaeritur enim unde haec sint nata, et utrum ex rec. P in ceteros, an ex horum aliquo in rec. P translata sint. fateor me hoc disceptare non posse; et quamvis ficta esse a docto ex 3, 5 coniicias, offendatque ἴδιον ὑπόμνημα τῶν παθῶν dici, cum plena horum tractatio suo loco non reddita in fine exponatur,

tamen verba ipsa neque integra et corrupte prolata hanc sententiam parum probabilem esse ostendunt, quare incerta latere videtur causa, quam acutioribus investigandam tradimus. Hunc codicem ex Italia Parisios translatum esse, apparet, quod eundem Petr. Victorius Florentiae saeculo XVI varietate lectionis principis editionis margini adscripta excussit, eiusque solius autoritatem (P) integra varietate adiecta secuti multas doctorum interpolationes expulimus, interdum et corrupta libri verba, ne melioris coniecturae locus emendaturis deesset, restituimus, quo factum est, ut multa quae nunc haud libenter quis ferat, ut 27, 2 ἡνίκα ὀξὺς .. διδῷ, 32, 5 ἡνίκα δὲ .. παραστῇ, vel ibidem ὁπότ' ἐν αὐτῇ ζέσῃ intacta relinqueremus. Locorum emendatorum aut probabiliter emendandorum autores, (nam Weiskius huic oneri prorsus impar id neglexit) in adnotatione critica quae sequitur, indicati sunt.

Nomen inditum est in P et in omnibus (neque enim aliud in Laurentiano quondam fuisse, operculi exterioris inscriptio ἀνωνύμου docet, conf. Eggerus p. LXVII) ΔΙΟΝΥΣΙΟΥ Η ΛΟΓΓΙΝΟΥ. omisit mediam vocem ἢ Robortellus, primus editor, ut iam nemo de autore dubitaret, primusque Amatius apud Weisk. p. 213 litem de nomine moveret. inde omnes de Longino dubii haeserunt, praeter Eggerum, qui nuper (Essai sur l'histoire de la critique. 1849. pag. 529) palinodiam cecinit, perculsus animo quod Ioannes Siceliota ad Hermogenem VI, 210 Longini nomen laudet, quasi is aliud in suo codice quam quod nos legimus in nostris, invenisset, aut aetate Parisiensem praecederet. Neque aliter Bakius ad Apsinem p. L. Ceterum nostrae gentis philologi post Weiskium hunc librum adeo neglexerunt, ut in innumerabilibus eorum scriptis rarissime Longinum laudatum aut correctum reperias, nuper (1846) Gottl. Roeper in Philolog. I, 630 docens Ammonium non philosophum sed grammaticum a Suida laudatum esse rem promovit, et Georgius Buchenau in dissertatione de scriptoris libri περὶ ὕψους edita (Marburgi Cattor. 1849) apte Taciti dialogum, ut qua vixerit aetate, ostenderet, contulit; est enim Graecus latinarum litterarum non expers, qui nobilis Romani clientela usus esse videtur; insunt vero quaedam et in rebus et in verbis quae cum Longini arte conveniant, ut Ruhnkenium aliosque eundem esse autorem censuisse non sit mirum.

Διονυσίου ἢ Λογγίνου] ἢ om. Robortellus.

I, 1 *Κεκίλιος* P, sic ubique *Τερεντιανὲ*] Manutius, *φλωρεντιανὲ* P *εἶγ'*] *εἶτ'* P, *εἶτ'* Manutius 4 *παντὸς*] *πάντως* Faber

II, 2 *πρῶτόν τε*] *πρῶτόν τι* P *παροορίσαι*] P γρ. *πορίσαι* *ἐαθέντα τὰ*] *ἐαθέντα τὰ πλοῖα, οὕτω καὶ τὰ* Dobree post alios Advers. I, 565, sed nil deest, si *καί πως ἐπικινδυνότερα* scripseris, sic *καί πως* 17, 2. 38, 6. 3 *ὡς ἢ μὲν*] his verbis desinit folium versum III quaternionis *ΚΔ*, postea exciderunt duo folia, IV et V. Quae sequuntur verba: *φύσις τὴν τῆς εὐτυχίας* ... *θεωρίαν* Vaticanus primus servavit (primus edidit Tollius), qui his ipsis verbis desinit nec plura exhibet; eadem Boivino autore in Parisino libro 3171 leguntur. conf. supra et ad XLIV, 12. *κυριώτατον ὅτι*] *κυριώτατόν τε* Vaticanus. *μοι δο-*

κεῖ] Tollius, *μοι δοκῶ* Vaticanus, malim *ἐμοί*. *ἡγήσαιτο*] Boivinus, *κομίσαιτο* Vaticanus, ... *σαιτο* Parisinus 3171 autore Boivino.

III, 1 *ἀνὴρ* P, ita et infra 13, 2. 3 *μεγάλῳ* P, senarium *μεγάλως ἀπολισθαίνειν ἁμάρτημ' εὐγενές* dedit Manutius. 4 *τὸ ῥοπικὸν* P 5 *μέτρον* Faber, idem *ἴδια δ' ἑαυτῶν*.

IV, 2 *ἔτεσι* om. P, addidit Manutius post *παρέλαβεν* *τριάκοντα*] *εἴκοσι* Faber 3 *πατέρων ἂν ἐρμοκράτη* P 4 *τί δεῖ*] imo *τί δὲ δεῖ* *γοῦν*] *μὲν γοῦν* P *τινων ... ἰταμὸν*] num *τῶν .. ἰταμῶν*? 6 *ἐπανίστασθαι*] *ἐπανιστάναι* Plato

VII, 1 *δόξειεν* P *ἔχοι τοαυτῇ* P 2 *ἀνάστημα*] Ambrosianus, *ἀνάθημα* P 3 *ἂν εὖ*] *ἄνευ* P, *ἂν* ceteri *ἐπισκοπῇ*] *ἐπισκοπῆς* P

VIII, 1 — IX, 4 *ὡς κἂν τοῖς ... ἰδέσθαι* haec duo folia ceteris codicibus servata in P iam Victorii aetate deerant. 1 *διssὰ δὲ ... λέξεως* auctoris verba esse non videntur, qui sola *λέξεως σχήματα* agnoscit. *πρὸ ἑαυτῆς*] imo *αὐτῆς* vel *ταύτης* *ἀμέλει*] nonne hoc transponendum est, sive post *ὡς*, sive ante *ὡς ἕν τι*. 2 *ταῦτ'*] *ταὐτὸ* Dobree *ἐμπαθὲς τὰ*] *ἐς* inserit Faber.

IX, 4 *ἠρκέσθην*] lacunam indicavit Robortellus verbis additis: desunt pauca. quae iam autore Gabriele de Petra sic explent: *εἰ Ἀλέξανδρος ἤμην, κἀγὼ νὴ Δία, εἰπών, εἰ Παρμενίων ἤμην, τὸ αὐτοῦ μεγαλόφρον δείκνυσιν, ὡς καὶ τὸ Ὁμήρου παρορίζει μεγαλοφυὲς ἐν τῷ Οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει.* at non pauca, sed sex folia desunt. Desideratur in P integer quaternio *ΚΕ* (vid. ap. Weisk. p. 561), neque Petrum Victorium ea quae in ceteris codicibus restant, invenisse ad VIII, 1 monuimus. ex hoc ipso P vero haec descripta servari versuum et foliorum spatium luculenter docet; quinquagenis senis versibus editionis principis (nec Weiskianae editionis versus ab hac multum discedunt) singula constant folia. iam verba VIII, 1 — IX, 4 *ὡς κἂν τοῖς ... ἠρκέσθην* integrum efficiunt folium, similiter verba *τὸ ἐπ' οὐρανὸν ... ἰδέσθαι* IX, 4—10, unde haec folium primum et octavum quaternionis esse constat, integra in P servata, cum ceteri ex eo codices describerentur; ergo media quae sunt, i. e. folia sex desiderantur. — *εἴποι*] Tollius, *εἰπεῖν* libri. — 6 *ὑπερφυᾶ καὶ τὰ* Manutius. — 7 *πλὴν ἀλλ' εἰ μὴ* Manutius. 9 *ταύτῃ .. ἐγένετο* male inserta legi alii iam senserunt; Homeri magnitudo et sublimitas qualis in Iliade, non qualis in Odyssea appareat, describitur, unde ne graeci quidem poetae mentio fieri potuit; adscripta videntur Aiacis exemplo propter similitudinem; vid. specimen nostrum emendationum in C. Tacitum p. 7. — *θεσμοδότης*] Robortellus, *θεσμοθέτης* Manutius, libri utrum praestent ambigo — *ἐχώρησε*] *ἐγνώρισε* Manutius. 10 *ποιητοῦ*] *καὶ ποιητοῦ* Vatic. tertius, *τοῦ ποιητοῦ* Manutius. 13 *πλάνοις*] Ruhnkenius, *πλάνος* P 14 *ἄσιτον*] *Ὀδυσσέα* addit Tollius.

X, 1 *ἐμφερομένων*] Tollius, *ἐκφερομένων* P 2 Totum Sapphus carmen, de quo vid. Bergkius poet. lyr. p. 600 in P ita scriptum est: *φαίνεταί μοι κῆνος ἴσος θεοῖσιν ἐμμένων ἤρoσιις ἐναντίος τοιζάνει καὶ πλησίον ἀδύφων. σαῖς ὑπακούει καὶ γελαῖς ἱμερόεν τὸ μὴ ἐμᾶν*

σ
καρδίαν ἐν στήθεσιν ἐπτόασεν. ὡς γὰρ σ' ἴδω βρόχεώς με φωνὰς οὐδὲν ἔθ' ἥκει. ἀλλὰ κὰν μὲν γλῶσσα ἔαγε· λεπτὸν δ' αὐτίκα χρῶ πῦρ ὑπαδεδρόμακεν, ὀππάτεσι δ' οὐδὲν ὀρῆι μὴ ἐπιρομβεῖσι δ' ἄκουε. ἐκαδε μ' ἴδρῶς ψυχρὸς κ ακχέεται τρόμος δὲ πᾶσ' ἀναγεῖ χλωροτέρα δὲ ποίας ἔμμι τεθνάκην δ' ὀλίγω πιδεύσην φαίνομαι ἀλλὰ παντόλματον. ἐπεὶ καὶ πένητα οὐ θαυμάζοις — ἀλλὰ πᾶν] Bergkius Sapphus esse verba postrema censet φαίνομαι ἄλλα. Longini quae sequuntur: πᾶν τὸ ᾀσμάτιον ἐπεῖπον, εἶτα οὐ θαυμάζεις. ἐπεὶ καὶ] καὶ om. Robortellus. 3 πάντως] πάνθ' ὡς P, item supra scrib. ὑπὸ τὸ αὐτὸ ὅνπερ] Tollius, ὅπερ P 4 ἢ δέος] Victorius, ἡδέως P. ἄνθους ... ἢ δέους Tollius. 6 ἐρύκει. οὐκοῦν] Manutius, ἀπείργει οὐκ οὖν P 7 ὡς ἂν εἴποι] ὡς εἴποι P cf. 8, 1. 44, 6. ψύγματα P ἐμποιοῦντα] τὰ ἐμποιοῦντ' ἂν Dobree. συνοικοδομούμενα Manutius.

XI, 2 ἐποικονομίαν] corrigunt ἐποικοδομίαν, quae ἐποικοδόμησις dicitur. Fort. εἴτε δείνωσιν ἢ πραγμάτων ἢ κατασκευῶν, εἴτ' ἐπίρρωσιν, εἴτ' οἰκονομίαν — γίνοιτο] Weiskius, γίνοιντο P

XII, 1 πράγμασι μορίων] Portus, πράγμασιν ὁρίων P 2 ἀποδεῖ] deest in P folium quartum et quintum quaternionis Κϛ. 4 εἰ καὶ] Manutius, καὶ P

XIII, 1 φέρονται] aliter Plato Rep. IX, 586 (453 Bkk). 2 ἐχόμεθα P 3 μόνος] ἢ μόνος Morus, οὐ γὰρ μόνος Tollius. ἐπ' εἴδους] Faber, ἐπ' ἰνδοὺς P, item 43, 6 P ἐπιδούς, sic noster ἐπὶ μέρους dicit.

XIV, 3 ὅλως] ὅλης Manutius.

XV, 1 τὰς εἰδωλοποιΐας Dobree ἐννόημα] imo ἐννοήματι λέγης P 3 εἴ τις ἕτερος Stanleius ad Aeschylum p. 706. ἐξ] ἐ P μάχεσθαι P 4 ἀψίδας ἣν κάτω δίεισι P, correxit Faber εἶτ'] Manutius, τις P σειρίου] σειραίου Rutgersius τῇδε στρέφ'] Portus, ἐκεῖσε λ
πατῆρα ἔστρεφ' P 5 θιγγάνοντες] Robort. θιγγάνοντι P ἀναλάκτους φέροντας P 6 συνεβάκχευεν P 7 ἐπὶ τ' Ἀχιλλέως] Manutius, ἔπειτ' Ἀχιλλέως P 8 ἀδύνατον] Manutius, δυνατὸν P 12 μιμήσεως] deest duorum quae capp. 10—11 exposuit, mentio.

XVI, 2 ἐν Μαραθῶνι hoc loco et XVII, 2 P, qui § 4 om. ἐν

XVII, 2 παραληφθεῖσαν τοῦ P, ne corrigas καὶ πῶς .. ἱκανὸν τεκμήριον, vid. ad II, 2. καὶ οὐ μόνον] Victorius, Boivinus, καιόμενον P.

XVIII, 2 αὐτὸς ὁ λέγων] αὐτὸς fortasse ad sequens membrum trahendum est, et supra μάλιστα pro μᾶλλον scribendum. ὡς οἱ] Faber, ὅσον P.

XIX, 1 ἤλθομεν pro ἤιομεν et ἴδομεν pro εὕρομεν (Odyss. 4, 251) P συνδιωκούσης] Faber, συνδιοικούσης P

XX, 2 ὡς δοῦλον P omissis verbis ἐπὶ κόρρης 3 οὐδεῖς ταῦτα P omisso ἂν — ἐπικόρρης P

XXI, 1 θέλεις] Vaticanus, θέλοις P οὖν

XXII, 2 προεισέβαλεν οὖν] προεισέβαλεν ἂν P, puto προεισέβαλε γὰρ ἀρχὴν] Robort. ἀρχὴ P 4 φειδῶς P

XXIII, 1 *καὶ παντὸς*] *πάντως καὶ* Faber, *καὶ πάντως* Robortellus 2 *ἠϊόνεσι* P 4 *ὑπερκείμενα αὔχησιν* P, illud Petra, hoc Robortellus correxit.

XXIV, 1 *ἔπειθ' ἢ*] *ἐπειδὴ* P *ἔπεσε τὸ θέητρον*] Herod. VI, 21 *ἔπεσον οἱ θεώμενοι* P 2 *τὰ πολλὰ* P

XXVI, 2 *αὐτῶν*] Manutius, *αὐτὸν* P 3 *ἐξεγειρόμενον*] Faber, *ἐξεγειρόμενος* P

XXVII, 2 *πρόχρησις*] corrigunt *πρόσχρησις*, imo cum Fabro *χρῆσις* scrib. — *ἀπόλησθε* .. *τρώσητε* Robortellus, *ἀπόλεσθε* ... *τρώσετε* P 3 *οὐ κιγκλίσιν*] *κιγκλίοιν* P *τὸν πρὸς τὸν Ἀριστ. λόγον* P, correxit Manutius 4 *κτῆσιν Τηλεμάχοιο δαΐφρονος* om P

XXVIII, 1 *καὶ μέντοι καὶ ἡ περίφρασις* Manutius. fort. *ἡ μέντοι περ*.

XXIX, 1 *σὺν μέτρῳ* Morus. — *παχύτητος* Manutius. 2 *πεφιλολογίσθω* Toupius, *πεφιλολοῆσθαι* P

XXX, 1 *ἤ τινα*] *εἴ τινα* P — verba *καὶ ὡς* .. *ἐπιτήδευμα* vide ne post *ἐντιθεῖσα* sint ponenda. *τἄλλα*] Manutius, *τ'* P *εἰδότα* ex Tollius 2 *καὶ ἴ* desinit hic secundum folium quaternionis *KH*, deest folium III. IV. V. VI. incipit septimum litteris *πτικώτατον* cui praeposuit recentior manus (recte sic vir doctus ap. Weisk. p. 382. Eggerus p. 191, male Bastius primam dicit esse manum p. 598) *θρε*

XXXI, 1 *καὶ τὸν ἐπήνετον*] corrigunt *ἐκεῖνο τὸ ἐπαινετόν* 2 *σημαντικῶς* P

XXXII, 1 *δὲ καὶ*] *δὲ* Robort. *δὲ τῶν* Faber *τοὺς δύο* P *ὁ γὰρ Δημοσθένης ὅρος καὶ τῶν τοιούτων* transponenda § 2 post *φησὶν* vel *ἐφέλκεται* 2 *καὶ ἀλάστορες* om. P *ἐπιπροσθεῖ* Robortellus, *ἐπίπροσθε* P 3 *θρασειῶν*] Faber, *θρασέων* P *τὰ ὡσπερεὶ*] scrib. *τὸ ὑποτίμησις*] *ἐπιτίμησις* H. Stephanus 4 *κἀπὶ*] *κἄπειτα* P 5 *κακὸν δέλεαρ* P — *ἐνεφύτευσε* — *μαγεῖον*] *μαγευρεῖον* P *πιλήματα*] *πηδήματα* P 6 *τροπικαὶ*] ita P ut § 2 *τροπικῶν*, sed § 5 *τρόποι*, 7 *τρόπων*

ὁ κε

7 *πάντα τὰ καλά*? *κεκρασμένην* P 8 *ὅμως αὐτὸ καὶ κίλιος* P (qui semper *κεκίλιος*, nunquam *καικίλιος* scribit). vulgo *αὐτὸ ὁ Καικίλιος*. *ᾠήθη*] lacunam indicavimus. *δεῖν*] *δεῖ* Faber.

XXXIII, 2 *κίνδυνοι σμικρότητος* P *τὸ δὲ μεγάλα* P 4 *ἀρετὰς*] Petra, *αἰτίας* P *μηδενὸς*] *μὴ δι' ἑνὸς* P *ἐν τοῖς*] *τοῖς* P *ἄρ' οὖν*] puto *ἄρ' οὐχ* omissis *ἢ Ἀπολλώνιος*, nam praeter hunc etiam Theocritus laudatus intelligendus est. 5 *Ἀρχίλοχον* .. *παρασύροντας* P *τὰ Ἴωνος πάντ' ἀντιμιμήσαιτο*?

XXXIV, 2 *λαλεύματα*] *μαλακίζεται* Manutius *λέγει*] *λέγεται* P *εὐπάλαιστρον*] Vaticanus, *εὐπάλαιστον* P *οἰκτίσασθαί τε*] Vatic. *οἰκτίσασθαί ποτε* P *ἄκρως* Manutius 3 *ἐπιχαρης* P *Φρύνης*] Schurzfleisch. *φρυγίας* P 4 *ἑλὼν*] *λαβὼν* Robortellus *ἔνθα δὴ*] P. *καὶ* Robort. *ἔνθεν δ' ὃ* Manutius. scrib. *ἔνθα μὲν* ... *ἔνθα δὲ* *δεινὰ*] *τινα* Manutius.

XXXV, 1 *αὐτοῦ Λυσίας*] *ὁ Λυσίας* Manutius, *ἀπουσίας* P *ὅμως*] Toupius, *ὁ μὲν* P *πλεῖον*] *πλεῖστον* P autore Pearcio 4 *εἰ καὶ*] Faber, *ἢ καὶ* P 5 *ὅμως*] *ὅλως* Faber.

XXXVI, 1 ἐπὶ] Manutius, ἐπεὶ P 2 εἴ γε] εἴ τις Manutius πάντη] Tollius, παντὶ P

XXXVII, 1 ἐκείνην P παραλλάττουσαι] deest folium IV et V quaternionis ΚΘ, sexti folii vocabulum primum καταγέλαστοι esse coniicit Dobree.

XXXVIII, 2 τὴν Λακεδαιμονίαν ὃ δ' P φησί τις] puto φήσει τις, et ita Coraes ad Isocr. 2, 329. 4 κατέχωσαν] Man. ex Herodoto, κατίσχυσαν P ὅμως] Schurzfleisch, ὁμοίως P εὐλόγους P 5 ἐκτάσεως] Tollius, ἐξετάσεως P · ἀργὸν ἔσχα ἐλάττω γῆν. ἔχον γὰρ πολῆς P. correxit Fr. Portus addito Λακωνικῆς. Faber postremum vocabulum σκυτάλης esse putavit.

XXXIX, 1 αὐτὴ] αὕτη P, malim αὐτῶν γε τῆς] γε διὰ τῆς Faber μεγαληγορίας] Tollius, μετ' ἐλευθερίας P 2 ἐντίθησι Faber ἀναγκάσει P, correxit Manutius. ἄμουσος ἧ] Boivinus, ἄλλους ὅση P ἐπίστασαι] Faber, ἐπίστασιν P 3 ἐμφύτως P, corr. Manutius, ἔμφυτον Bake ad Apsinem p. 201 ἐφαπτομένην Faber παρεστὸς Robort. nec Vict. mutavit, supra 22, 2 ἐφεστὸς ex Vat. 3 recepimus, de P non liquet. κηλεῖν] Rob. καλεῖν P ἡμᾶς] Faber, καὶ ἡμᾶς P ἔοικε μανίᾳ] Manutius, εἰ καὶ μανία P, num εἴη ἂν μανία? 4 τοῦτο δοκεῖ] οὐ δοκεῖν P τότε ἐπείτοιγε P. et hoc ὥσπερ νέφος rite clausit sententiam Pearcius vertit, unde lacunam indicavimus. αὐτὰ ὥρας Faber τοῦτο ψήφισμα P καταριθμουμένου] Tollius, καταριθμούμενον P ἀκρωτηριάσεις Tollius ὡσπερεὶ] Tollius, ὥσπερ P τοῦ ὕψους Tollius, τὸ ὕψους ἀπότομον Faber.

XL, 1 ἄλλο] ἄλλος P; in Vatic. 2 et Laur. deest ἄλλη; quod si in P deest, ἄλλο ἄλλοσ' scribendum. 2 γε] τε P δ' om. Robort. διάπηγμα] διάρμα Pearcius. 3 καὶ οὐκέτ' P ἐπὶ] Manut. ἐπεὶ P εἷλκε P 4 οἷον μὲν P, correxit Toupius, οἷον ἀποκύλισμά τι Manutius.

XLI, 1 λόγου vel λόγων Faber 2 ὅτι ὥσπερ] Manutius, ὅπως ὥσπερ P ἐφ' αὐτὰ] interpres. ἐπ' αὐτὰ P

XLII, 1 πηροῖ] Manutius, πληροῖ P μὴ τὰ] Manutius, μὴ τὰ τὸ P, unde potius οὐ τὰ reddendum est. κολούει] Faber, κωλύει P δ' ἐπ' εὐθὺ] δ' * ἐπ' εὐθὺ Manutius, ἄγει addit H. Stephanus, alii δ' εὐθύνει corrigunt. ἀπόψυχα] codicis restituimus lectionem in re incerta. ἀπόψυχα γὰρ τὰ μῆκος ἄκαιρον ἀνακαλούμενα Manutius. ἄψυχα γὰρ διὰ μῆκος ἄπειρον ἀναχαλώμενα. fort. ἀπόψυχα γὰρ τὰ ἄκαιρον μῆκος ἀνακαλινδούμενα.

XLIII, 1 νὴ Δία] Manutius, γήδια P ἄλλο] ἀλλ' ὃ P 2 ἐπρεσβεύσατο Vatic. τιμίων] Manutius, τιμῶν P ἀλουργεῖς .. ποικιλταὶ .. πυκταὶ Manutius ὅπλων] ὄψων Dobree. τοσαῦτα] Robort. τοιαῦτα P ἀνορθουμένους Faber 3 χρυσίων] nonne χρυσῶν? at exspectamus μεταξὺ τῶν λιθοκολλήτων κρατήρων καὶ χρυσοῦ καὶ ἀργύρου. 4 οὓς ὄχθους] imo ὡς κρεῶν ὄχθους ἁμάξας] Toupius, ἀλλάξας P τρυφὴν] τροφὴν Vaticanus ἢ εἴπερ] praeponunt μᾶλλον cum Manutio, sed sensus est: poterat ὁλοσχερῶς rem augere, aut si hoc ei non sufficeret et omnia abundanter exponere vellet, condimentorum nomina, non

μεδίμνους θυλάκους σάκκους referre πάντα ὡς] fort. παντοίως vel πάντως 5 περιηθήματα] Pearcius, περιθήματα P, περιττώματα Manutius τοὺς τούτων] Manutius ex Xenophonte, τοὺς τῶν P 6 ἐκ εἴδους] Toupius, ἐπιδοὺς P

XLIV, 1 ἐπιπροσθῆναι P καὶ διασαφῆσαι Robortellus ὑψηλαὶ δὲ] Manutius, ὑψηλαί τε P 2 φησὶν ἱκανή] utrum hoc sit in P, an ἱκανὴ φησὶ quod Robortellus exhibet nec Victorius mutavit, nescio; malim vero cum Toupio, ne sit ambiguum, φασί 5 πιστὸν ἀκούω Pearcius, alii ὃ inserunt. conf. Scaliger ad Propert. p. 247. δὲ νᾶνοι] δὲ νάοι P, om. Robortellus συνάροι] συναιρεῖ Ruhuken. συνάγει Manutius σώμασι] Scaliger, Faber, στόμασι P ἀποφήναιτο] fort. ἂν pro δὴ ponendum, an ἀπεφήνατο? 6 ὑπολαμβάνω .. ἔφη P, correxit Faber μήπο ἢ P, ut sex desint litterae, scribe μή ποτε οὐχὶ ἢ .. διαφθείρῃ, vulg. μή ποτ' ἄρα καὶ ἡ utrum Manutii φρουροῦντα an φρονοῦντα quod Robort. habet, sit in P, nescio φιλαργυρία μὲν] aut γε vel γὰρ addendum, aut fine ὂν inserendum καὶ ἅμα] Pearcius, καὶ ἄλλα P εἰς ἃς] εἰς αὐτὰς Weiskius. puto συνοικίζεται, χρονίσαντα δὴ
σι
ταῦτα ἀλαζόνειάν τε] Is. Vossius, ἀνάλεξον ἓν ἀντὶ γεννῶσα P τούτους] Tollius, τούτου P 8 μηδ' ἕτερα] μηδὲ πέρα Manutius κἀνόητα] Toupius, καπανητα P, κἀνόνητα Manutius τἀθάνατα] Pearcius, τὰς ανατα P 9 δεκασθεὶς] Manutius, δικασθεὶς P δίκαια * ὅπου lacunam indicavimus; excidisse alterum membrum, μὲν docet, quod in μόνον mutat Wyttenbachius; sed Faber τὰ δίκαια μὴ φαίνεσθαι ἀλλοτρίαι sic operarum errore Robortellus. πρὸς τῆς ἠνδραπισμένοι P vulg. inserunt φιλοχρηματίας, Manutius vero ἑαυτοῦ τῶν μεγάλων ἢ μεγάλων ἢ διηκόντων P. fort. latet ἢ καλῶν αἰῶνα] Portus, ἀγῶνα P κἀδέκαστον] Vaticanus, καθέκαστον P καὶ μὴ] Manutius, καί μοι P 10 τοιούτοις] τοῖς τοιούτοις Robortellus, malim τοῖς ἐπικαύσειαν ἐπικλύσειαν Sallierius et Marklandus. 11 δαπανῶν] δαπανὸν (i. e δάπανον) Tollius. fort. διὰ παντός ᾗ] Manutius, οἷ P, οἳ Robortellus 12 δ' εἰκῇ Manutius περὶ ὧν] his verbis in P desinit folium tertium quaternionis Λ, totius voluminis ultimum ceteris resectis. Quae sequuntur verba ἐν ἰδίῳ .. ὡς ἡμῖν a recentiori manu addita leguntur postremum verbum δοκεῖ Robortellus de suo dedit. τὴν] Manutius, ἐ τὴν rec. P, ὡς τὴν Robort. μοῖραν] Rob. μοῖρας rec. P.

V. LONGINUS.

Longini artem Apsinis libro confusam et insertam primus agnovit Ruhnkenius; inventus est codex qui solum Apsinem contineret, non inventus qui Longinum integrum redderet, quare hic Apsine multo corruptior est; epitomen totius artis ex codice Moscovensi descriptam Ruhnkenii schedae servarunt, unde primus Bakius edidit. De emendanda ha

arte omnium optime meritus est Christ. Eberh. Finckhius in epistola critica, Annalib. Antiquit. 1837 p. 619. 1850 p. 422, Annal. Heidelb. 1838 p. 1088, dissertatione Heilbronnae edita 1847. quem quum etiamnunc multi restent corrupti loci ipseque egregio floreat ingenio sanoque iudicio, ut denuo hunc librum more suo via et ratione praecedens castiget, etiam atque etiam admonemus.

B = Bakius.
F = Finckhius.

p. 299, 3 *καὶ ἡ τῶν πιθανῶν ἰδέα*] Inventionis *εὑρέσεως*, dantur praecepta et orationis partes exponuntur; iam in confirmatione tradenda novo nec rhetoribus usitato more Aristotelis categorias adhibet; id perspexit F. quod si illa prima sunt verba relationis, scribendum esse videtur *καὶ ἡ τῶν πρός τι πιθανὴ ἰδέα*. praecedit quod excidit, notio *οὐσίας*, *ποσοῦ* et *ποιοῦ*. 6 *ὅμοιος*] fort. *ὅμοιον* .. *καὶ δυνατώτερος*, sed nec reliqua apte conveniunt, et *τι εἰπεῖν* non habent ex quo dependeant; coniicias *ὅμοιόν ἐστιν εἰπεῖν* conf. p. 562, vel *δεινότερός τε εἰπεῖν* 7 *τραχύτερος*] B. *ταχύτερος* libri 11 notionem loci *ποῦ* requiri vidit F. v. c. *τὸ ποῦ λέγειν, τόπους καὶ χωρία* 12 *παρὰ*] *περὶ*? sed malim *τὸ δίκαιον καὶ τὸ ἄδικον* 17 *ὄρει*] num *ὄψει*? 22 *πότερα κατὰ χρόνον* libri 24 *μετὰ τοῦτο οὐκ*] *μετὰ τούτου* libri 300, 9 *ἥσθητο*] *ἤστο* B 22 *τοῦτο*] si sanum est, significat *τὸ ποιεῖν*, sed malim: *αἰτιατόν ἐστι, τοῦτο ὅτι*] *τί* libri 26 *κἂν τῷ*] *καὶ τὸ* libri 30 *πραγματεύου*] *πραγματεύει* libri, illud malui quam *εἰ πραγματεύει* conf. 555 W. 301, 2 *ἐπάσχομεν* libri 4 *ἀνυτικώτατον* Epitome 17 *ἰδικωτάτοις* Epit. *γενικωτάτοις* libri 20 *ὀργάνῳ μόρια* libri, corr. F 28 *πρᾶγμα* alterutrum abundat. 302, 9 *τῷ ἐναντίῳ*] F. *τῶν ἐναντίων* codices, sed malim *τοὐναντίον* 11 *αὐτοῦ*] *αὐτὸς* libri, possis et *αὐτῆς* scil. *αὐξήσεως* 15 *καὶ λογίζοιτο* F. *καταλογίζοιτο* libri 19 *σμικρότερον*? 20 *ἐκλύσομεν*] nonne *λήσομεν*? 22 *καὶ ὅτι μὲν μέγα ἐστὶν*] *μέγιστον* libri, corr. B. 29 *πίστεων καὶ*] F, *τῶν* libri 31 *διαβεβοημένοις* F 303, 13 *γίνηται* libri 15 *ἡμῶν* libri 18 *πλειόνων*] neque cum seq. *πολλῶν*, neque cum *ἐλαχίστων* convenit. 30 fort. *δυνήσῃ, προτενεῖς οὐχ .. ἀλλ' ὡς οἷόν τε*, ut infra *ὡς ἔνι μάλιστα*. Geelius *τε* delet. 304, 20 *εἴη*] nonne *ᾖ*? 21 *νοημάτων*] Epitome, *ἐννοημάτων* codices 29 correximus quondam *μὴ εἴσῃ συνθεῖναι*. in Epit. est *συντείναις*, malim *συνδήσεις* 305, 1 *κηλοῦντα*] Ruhnken, *καλοῦντα* libri 12 *εὐτελείᾳ* libri, corr. F. qui reliqua correctoris esse agnovit 14 *παρ'* add. F. 15 *κωμῳδοποιῶν*? 20 *ταύτην*] deest aliquid, v. c. *κορυφαίῳ κορυφαίαν ταύτην* 306, 4 *ἔχουσαν* Ruhnkenius, *ἐχούσας* libri 6 *λαμβάνειν*] *λαμβάνῃ* Ruhnken, *λαμβάνων* F. excidit verbum finitum. 9 *μὴ* add. Weiskius 11 *κρᾶσιν*] B, *ἀκρόασιν* libri 24 haec explicandi causa addita esse vidit F. 307, 2 *ἐπιμελείᾳ*] *ἐπὶ τέλει εἰ ἀποβάλλεταί τι, ποικίλον καὶ* Ruhnkenius et B. fort. *ἐπὶ τέλει ἐπιμέλεια* 4 *λέγωμεν*? *ἐστήσαντο* libri, corr. B. 6 *ἔχουσι* om. Ven. 24 *ἀνυτικῶς*] *ἀτεχνῶς*? 26 puto *ὑπέρεν*, nam Demosthenis loc. intelligitur de cor. p. 228, aut ut in ceteris, Platonis

Theaet. pag. 185 D. 26 ἢ ὡς ἢ] τὸ ὡς libri, iidem διαβαινόμενον in fine, ex Platonis Phaedro p. 229 C. correctum 28 παρεῖσθαι libri 29 ἔμβραχυ Ruhnk. 30 πιστέων vel πίστεων libri. φειστέον Ruhnk. requiritur vitandi notio, v. c. φυλακτέον 31 παρὰ libri, corr. F. τὰς πτώσεις B. 308, 3 θαυμάζω σοῦ] Epitome, θαυμάζω σε libri 5 ὅτι ἤ τί F, ὅτι ἤ τι libri, haec omnia quae sequuntur, incerta, nisi quod πνεύματος pertinere videtur ad praecedens πνεύματα. in Epit. legitur ἀνύσασιν ἂν αὐτὴ καὶ] αὐτίκα B. 11 οὗτοι] imo αὐτοὶ 22 ποιοῦμαι] ποιοῦνται libri 27 δι'] B, δεῖ libri 28 ὑστέρα τοίνυν δεκάτῃ dativus esse videtur 309, 3 ποιεῖσθαι? 4 συγγενέσι libri, corr. F 5 καὶ ἐν τοῖς F 310, 5 παραλαμβανόντων libri, corr. F. 11 ἐπιδιόρθωσις add. F ex V, 451 19 οἷόν τι vel οἷα τε? 22 διαθέσεων .. προσφόρου libri, corr. F. 311, 2 αὐτὸς libri, corr. B 10 ἢ καὶ] καὶ ante ἐλαύνων ponendum 11 ἄσκει B, ἀσκεῖν libri αὐτὸ] imo αὐτὴν 15 μετρίας libri 16 πῶς ἔχειν libri 18 οὕτω τῷ] οὕτω libri, οὐ τῷ F συνισταμένων καὶ βουλομένων libri, corr. F. 32 σώματος μεταχειριστέον σύντονον καὶ δριμὺ βλέποντα B. 312, 3 καιρὸν ἄγοντα] quidni χαίροντα? 4 παραδεδεγμένοις libri, corr. F. 13 ἐπαγώγου F. 16 διαλεγομένους libri 19 λήξεως F. deest ἐξᾴδοντι, Finckhius διαλεγομένου .. οὔτ' ᾠδῇ ἔοικεν 27 τελέως libri, corr. F. 313, 4 τὸν βίον F ὑστερεῖν libri, corr. F. 14 ἀνῃρημένον libri, corr. B, in seqq. senarius latet, a F sic restitutus: αὖ μνημονεύω, μὴ λίαν μ' ἡγοῦ σοφόν. 15 φύσει] φυᾷ Pindar. Ol. 2, 86. 16 fort. μνήμη, μεγαλοπρέπεια δ', εὐέπεια 19 ὡς ἄν τις ἀποδείξειε libri, ὡς .. ἀποδέξηται καὶ θαυμάσῃ F. 30 imo τορνευομένη τε καὶ γραφομένη 314, 2 διὰ] δίχα B 7 τι libri, corr. B. 15 διφθέραις F, διαφοραῖς vel διαφθοραῖς libri 17 αὐτὸ τοῦτο libri 30 πάντ' ἂν F 31 ἐπιλιπούσης F 315, 2 φησὶν] imo ὡς 4 ἂν add. B 5 ἰδίᾳ] ἡδία Paris. ἡδεῖα alii, an fuit νὴ Δία? 7 πόνου libri, corr. F. puto διὰ πόθου τέχνης δημιουργοῦ 17 ἐγείρεται B 21 ἑαυτὸν τοσοῦτον] αὐτὸς αὐτὸν F 29 ἁμαξῶν libri, corr. B 316, 8 τόπος B 9 λαβὴ καὶ ἀφορμαὶ B 11 τόπους B 12 τῆς μνήμης] τῇ μνήμῃ B 18 ἐστὶ] ἔτι libri, ἐπιθεωρητέον F 20 ὑπάρξαιτο codices, corr. B 26 εἰδότα F 30 μοι] imo σοι 317, 10 ἃ] ἢ B 14 ὁτιοῦν] ὅτι ἂν libri 21 ποιεῖν] imo et hic ποιητικώτερος 23 κἂν] καὶ F 27 οὐδὲ] imo οὐδ' ὁ φιλάργυρος 318, 8 ὥσπερ] ὥστε F 12 τύπον] F. πόθον libri 14 τε] F, γε libri 16 καὶ add F 17 παραβολὴ libri, corr. F 19 fort. τὰ μέρη, ἔπειτα τῶν μερῶν 27 imo τῶν ἡγουμένων 319, 9 προπέμποντες F 14 δεῖν F

Epitome ap. Bakium p. 147—50.

321, 9 δήλας] δήλους Bakius 10 ἐπιείκεια] abundat, neque enim a vulgari arte discessit Longinus, neque ἐπιεικοῦς scribendum est. 24 imo τοῦ συμπεράσματος 322, 11 πρὸ τούτων] τούτοις Longinus 30 ἀμφὶ σοῦ λέγομεν] ἀφείλετό με Longinus, neque illud aliud esse

idetur, nisi litterarum corruptio. 323, 11 πίστεως] πίστεων Longinus 18 ποικίλης] malim ποικίλοις

Excerpta quae verbis ἐκ τῶν Λογγίνου inscribuntur, e codice Laurentiano XXIV, Plut. LVIII, p. 94. primus edidit Eggerus pag. 231—4, Baninii apographo ex Ruhnkenii schedis usus est Bakius. Ex egregia arte aec sumpta esse apparet, at non Longini sed alius autoris. Titulus enim ille aanu diversa et recentiori praefixus est, sumptus haud dubie ex verbis ὁ λέγουσι Λογγῖνος σπανίως κεχρῆσθαι καὶ τούτῳ τῷ εἴδει, ita coex, unde Ruhnkenius λέγει correxit. Sed ne sic quidem sententia proedit, et fort. Λογγῖνον reponendum; quod si verum est, haec Longini ion esse certum adest argumentum, neque hic Aristidem laudasset. Nos ion Eggerum, sed maiorem apographi Bandin. fidem secuti sumus.
328, 5 παλαιά] Eggerus, om codex.

VI. APSINES.

In Apsine edendo egregio codice Par. 1874. adiutus est Bakius, quo ıutore multas lacunas explevit corruptosque locos sanavit, in ceteris quae ıon falsa aut inepta videbantur vulgatam lectionem spreto codice retiıens; nos eum ubique fere secuti sumus, et si distat nostra lectio, quod n illo exstat, adnotatio docet. conf. C. F. Hermanni censura in Annal. Gotting. 1849 p. 1025—40, nostra in Monacens. 1849. XXIX p. 104—36, Finckhii in Ann. antiq. 1850 p. 422—43.

P = cod. Paris.
B = Bakius.
F = Finckhius.

p. 331, 6 ὅτι ἐκ] scrib. ὅτι ἢ ἐκ 16 ἀλλήλοις] Rh. gr. VII, 71, 18. ιᾶλλον libri 20 ἂν] abundat 26 ὦ ἄνδρες] ὧδε libri, ὦ ἄνδρες ἄριστοι Rh. VII, 66, 14. 332, 3 scrib. ἔπειτα δὲ καὶ 4 δοκῶμεν] ort. προσδοκῶμεν 7 ἀλλ' ὁ libri, articulum ὁ addidimus infra etiam nte Αἰσχίνης et Ὑπερίδης 27 ἡ νίκη] F, ἡνίκα libri 333, 6 δεύτερον ἐκεῖνο] primum excidit. 9 προσιέμενοι libri 12 ἔγωγε] ἐγώ ε P 17 μᾶλλον] puto πύθοισθε. ἄλλο. ὁπόταν εἰσηγησάμενος. infra uoque ἄλλο praeceptis, non minus quam exemplis additum legitur. 34, 4 ἐὰν B 9 ἑταίρους] Rhet. VII, 73, 15. ἐπαίνους libri 14 ἐφ ἷς B 335, 2 τις τρόπος] τῆς τροπῆς P, puto τις ἀποτροπὴ τούων 335, 30 πότερον] πρότερον P, πρότερον εἰ ceteri 336, 6 ξιώσατε] συγγνώμης ἠξιώσατε B 337, 10 ἢ delet F 13 μικρῷ odices, corr. F 338, 2 ἀναιρήσει] fort. sanum est, scilicet Demosthenes, ἀναιρήσεις .. συμπλέξεις F 5 τοιοῦτον γένος προβλημάτων] τοιοῦτον θεώρημα P, fuisse videtur ἄλλο θεώρημα. ἔστι ut ıfra in P 6 δοκῇς P 23 ἁρμόσαι P 26 inter ἀποβάσεως et τοῦδε ıtterae quaedam evanidae, desunt ἐν οἷς vel ὅπου ex autoris more, sed

ἐκ et hic et postea melius abest. p. 496 W. ἐξ ἀποβάσεως δὲ λέγω ὅπου ψηφίσματος ἢ νόμου ἢ τινος ἄλλου τοιούτου γραφέντος ἢ πραχθέντος τοιοῦτόν τι ἀπέβη. 339, 2 Χερρονήσου .. Ἀριστοκράτης om P, recte, ut seqq. docent. 5 παρ' αὐτοῦ] περὶ τούτου P 12 ὅσα οὐκ ἄλλῳ] om P. ideo supra dictum πολὺ γένος 20 fort. μικρὰ δ' ὁρῶν 24 ἡμῖν] malim ὑμῖν 27 δεῖ] δεῖσθαι libri 29. ἅπαντα P 340, 5 τι] τε P, idem καὶ τὸ μέγεθός ἐστι om 6 ῥᾷστον] malim ῥᾴδιον 9 τούτοις libri, corr. B 10 ἕνεκα] post hoc ἐστι, si Bakium recte intelligo, P 30 ἔχειν] P, φέρειν ceteri, dele εἰς 31 ἁρμόσει] ἁρμόττ(η) P 341, 11 θάνατον libri 14 αὐτὸς] nonne αὐτὸν? 19 ἢ ὡς] B, ὡς P, πῶς ceteri 32 ἐξελθὼν] ἐπεξελθὼν ceteri, unde εἶτ' ἐξελθὼν B 342, 1 αὐτὸ τοῦτο συμπλέξομεν B 7 συμπλέκειν] ita libri praeter P qui πλέκειν 8 ἑώρα ὑπὲρ ἑαυτοῦ P 24 μὲν ὡς] libri, μόνος P 26 τοῦτο] fort. τούτου; verba ἄλλο τούτου σφοδρότερον ad praecedens θεώρημα scripta et ex marg. illata esse videntur. 32 ἐπιτίμους] ἐντίμους P 343, 8 ὁπόταν εὔχῃ P 9 ὁ λέγων ἢ] fort. ἢ ὁ λόγος 10 ἢ Δηλίων om P 12 ἐπιόντος] num ἐπείγοντος? 15 διὰ] καὶ διὰ P 29 νομίζων B 31 εἴη ἢ] καὶ P 344, 9 προσώποις P 10—16 ἐὰν .. εἴη ex nostro transscripsit autor argumenti Isocrat. orat. de pace. 22 ἄρξασθαι] ceteri ἄρχεσθαι ut p. 493 W. 345, 11 ὡς] ᾧ P 12 ἀπαλλαγείην τῆς παλλαγείην τῆς P 19 γραφὴν P 28 περὶ] ὑπὸ P 32 ἀτιμίαν F, ἀτιμίας libri προτιμᾶν .. προτιμῶντος P 346, 8 ἐπέσταλκεν B 11 ἀνοικίζειν P 14 ζητῶν] εἰπὼν P 24 παρεὶς τὸν] παριστῶν P 26 εὑρήσεις P 27 πορίζεται] ποιεῖται P 28 τε om P 30 τούτοις μὲν] τὴν ψῆφον τούτοις δὲ P τῶν] τὸν P 347, 6 ἐστιν ἄδηλον] ἦν P, unde potius ἦν ἄδηλον reddendum est. 11 χρῆσθαι P 14 ἂν post τοῦτο om P 20 ἀπέστειλεν P 23 κρίνεται seq. lacuna P. num excidit ἀσεβείας? 28 ὑμῶν F 30 τὸ om B 32 κατηγορῶν P 348, 14 τοῖς] P, alii πᾶσιν, alii om. 16 ἀντιπιπτόντων αἱρέσεων προσυστάσεως P. conf. Rh. gr. IV, 302. 712. VII, 721. ubi ἢ τὴν τῶν ἀκουόντων ἢ τὴν τῶν quod Bakius coniecit. 20 νόημα] μέρος infra p. 493, 1 W. Rhet. IV, 302. 25 ἐν ᾧ τουτέστι] τουτέστιν ἐν ᾧ ceteri libri; puto τούτοις ἐστί 29 τοῦ] puto τούτου τοῦ, ceteri τοῦ τοιούτου 349, 7 τριάκοντα om P 23 δοκεῖν B, δοκεῖ libri 28 πρεσβύτης P 350, 16 ἀπώλεκι P 17 ἐκεῖνος P 18 εἰληφότα Δημοσθένην om P 351, 2 μέλλοις .. ἔχοις P 4 εἰ om P 6 προσύστασις] πρὸς σύστασιν P 7 εἰ] ἢ P 10 ἐκ προδιαβολῆς δὲ] statim in P sequuntur ἀπὸ ἐπαγγελίας p. 493, 24 W. mediis omissis. 18 παρὰ πρεσβευτοῦ B, παραπρεσβευτὰς libri 352, 12 ἐπήγγειλε B 28 ἐπ' αὐτῷ P 30 πρὸ αὐτοῦ] πρὸς ὃ αὐτὸ P, num πρὸς τὸ αὐτὸ? ἢ ὁπόταν δοκῇς μέρει τινὶ om P 31 οὕτως ἀσθενῆ δείξειν] ὅτι ὡς ἀσθενῆ δὲ ἕξεις P 32 ἢ in P post κεφαλαίῳ positum est. 353, 2 ὑμῶν P 6 διττὸν .. τὸ μὲν διὰ om P 12 αὐτῶν] αὐτοῦ B 13 γοργῶν] F ex p. 520, ἐναργῶν libri 15 ἐννοίας] P, alii εὐτονίας, ut p. 519, 24 W. 20 ὑπὲρ ἡμῶν]

recte add B τὰ δὲ καθ' ἡμῶν 23 τούτῳ] τοῦτο P, ταύτῃ ceteri; illud τοῦτο libri etiam p. 517, 9 W. 27 ἢ λύσιν] ἡ λύσις P 354, 7 εἴπωμεν. ὅπου ἂν δωρεὰν ἢ αὐτοὶ αἰτῶμεν ἢ ἄλλῳ γράψωμεν] in P nil nisi εἰ ἄλλῳ γράφομεν, quae imperfecta esse verba quae sequuntur μάλιστα ὅταν περὶ σαυτοῦ λέγῃς docent. Sensum explent quae ceteri codices habent, in quibus pro ὅπου ἂν malis ὁπόταν, sed infra quarto loco in P illud exstat, ubi ceteri libri hoc praebent. 10 δοκεῖν λέγειν αὐτά] δεῖν λέγειν αὐτὰς P quasi εὐεργησίας praecesserit. 11 εὐεργησίας] ἐπεργασίας P 13 ἀπήλλαξεν] ἔπαυσεν P, si recte Bakium intelligo, nec verba denuo repetita leguntur. 18 ὅπως] ὅτι P 22 ὅταν μάλιστα P 23 παραλείπων P, corr. B 25 ζητήμασιν ἐξ ἀποβάσεως om P 355, 3 ὡς om P 4 διακόσια] πεντεκαίδεκα Dem. Lept. p. 467. 18 ἤδη om P 20 Συρακόσιοι tacite B 28 ὁ om P 32 καὶ αὐτῆς] αὐτῆς καὶ P, αὐτὸν καὶ ceteri. 356, 6 εἰργάσαντο σκέψασθαι P 9 τῆς ξενηλασίας] περὶ τῆς ξενίας P 17 συμβαίνοντα δὲ] συμβαίνοντε P 27 ἐξετάζεις μεθ' ἧς ποιεῖ καὶ ἀντιλέγων αὐτῷ ἢ κατηγορεῖ μεθ' ἧς ποιεῖ ὡς ἐπὶ P verbis male repetitis. 357, 5 εἰς τοῦτο φέροντες] ceteri aeque incommode τὰ εἰς τοῦτο φέροντα 30 καὶ add B 31 διηγήσεται libri, corr. Walzius 32 μέμφοιτο libri, correxit B 358, 2 ἤκουον τῶν] ἀκουόντων P 14 τάχιον] P, τάχους ceteri, fort. recte, Rh. gr. VII, 1030. 16 αὐτὸν] Ἀλκιβιάδην B 23 αἱ om P 359, 13 προανεπισημάντως προβάλῃς P 17 καταστάσεως P 32 ταῖς δημοσίαις P 360, 3 περὶ λύσεων καὶ ἀντιθέσεων P, puto περὶ λύσεως ἀντιθέσεων, ceteri περὶ ἀντιθέσεως 9 τίσι πώποτε .. πρόεδρον] ἕως ὦ δικασταὶ τὸν πρόεδρον P 11 νόμοι P 17 λειτουργοῦσιν P 361, 8 ἔχει P 14 οὕτως ὡς] lacunam indicavimus; deest primi loci notio: οὕτως· αὐτὴ δὲ ἡ ἀντίθεσις τίθεται, ὡς 18 κατασκευῇ] Gud. παρασκευῇ ceteri 20 δεινὸν] δεῖν P 28 καὶ ... τὰ P 29 ἀντιθέσει ὡς] ἀντιθέσεως P 362, 3 εἰδῶμεν P 4 συνάψομεν .. ἀντίθεσιν P 5 ποιήσομεν] nos, ποιεῖ P 7 τὴν ἀντίθεσιν] B, τὰς ἀντιθέσεις P 12 περξεταίρους P 13 ταῦτα P 17 ἐπ' P 363, 4 Ὀλυνθίων P 6 τοὺς παραδόντας .. ὑποδεξαμένους om P 7 ἐστὶ συστατικὰ] ἐπισυστατικὰ P 11 παρ'] περὶ P 16 ἐθορυβούμεθα abundat, alii inepte ὥστε καὶ praemittunt 23 ὡς ἀντίθεσιν] ὡς ἀντισθένης P, malim ὡς abesse, nisi aliud velut ἁπλῶς latet. 30 τοῦτο δῆλον] ceteri ex Dem. οὐκ ἄδηλον τοῦθ' 364, 7 εἰσάγειν] ceteri non male πολλάκις praemittunt. 12 ζητήματι] διηγήματι P 19 εἰ τὴν] B, εἰς τὴν libri 21 τοῖς τούτου] τις τοῦ libri 26 εἰ καὶ] ὅτι καὶ B 29 prius καὶ om P 30 γὰρ om P 32 πρὸς τοῦτο] hoc ceteri sic interpolarunt: πρὸς τὸ δεύτερον αὐτοῦ πρότερον ἀποκρίνωμαι. τοῦτο οὐκ ἂν 365, 8 εὐκρινῶν] συγκριτέον P 19 τρόπων P 21 τῶν εἰρημένων P 22 εἰ] B, ἢ P 24 ἢ ἐξ] ἢ om P 27 δημοσίᾳ repetendum est. 366, 4 ἀντιθέσεως om P 6 καταψηφίσηισθε P 367, 5 τοῦτο] imo τούτῳ 19 τοῦτο P 26 ἀπίστως Demosth. p. 463. 27 καὶ ἐνδόξου κρίσεως] κατ' ἐνδόξου κρίσιν B 28 τάξιν P 368, 4 ὑμῶν P 12 ψηφίσματα P 13 μαρτυριῶν λύσεως P

19 ἐλεῶ P 20 ἐνθυμούμενος] huic ceteri praeter P addunt: ὅπερ αἰτιῶνται Ἀψίνην ὅτι ἐν καταστάσει τοιαύτῃ γνώμην ἐξετάζει, τοῦτ' ἐστὶ τὸ χρῶμα ὅπερ ἐστὶ τῶν πραγμάτων. 23 ἢ delevit B 370, 11 γίνονται δὲ λύσεις] repone et hic γίνεται δὲ λύσις 371, 16 ἐστὶν] τὸ P 18 εἰ] καὶ P 372, 1 ἀναστρέψαι F 5 ὅλης F 15—17 τὰ μάλιστα .. τοιοῦτόν ἐστιν om P 373, 5 Ἀλκιβιάδην P 374, 28 δὴ] ἢ B 375, 17 φησὶ P 30 γε] γὰρ F 377, 3 ἀπὸ προσώπου] τὸ πρόσωπον P. κατὰ πρόσωπον ceteri. 4 τινα ὕβριζεν P 10 δεινὸν] αἰνὸν P 12 ἐζημίωσεν P 13 ζημιοῦν] ζημιούντων libri (etiam P?], unde Walzius ζημιοῦν τῶν χαλεπῶν 16 ἱερουνονμηνίᾳ P 30 στρατιώτην B, cui τὸ praepositum malim. 378, 1 malim λάμβανε 3 περὶ] παρὰ P 10 ἀποδοῦναι] εἰδέναι P γράφει P 13 καὶ ἀπὸ] quidni et hic ἢ ἀπό? 18 ἀποθάνῃ P 27 προεάλω] P, ceteri cum Dem. ἑάλω 30 δὲ καὶ κριτὴς] δ' ἐκ τρίτης P 31 Μαντίου] Μαντιθίου P 379, 9 τοῦτον B 14 δι'] δὴ P 19 ἀποτελεῖν] δοκιμάζειν P 24 στῆσαι] στερήσετε P, scrib. ἐστήσατε, sed et infra p. 528, 1 W. P στήσετε 31 ἢ addidit F 380, 1 συλλέγοντας P 6 ἐπεχείρησεν] ἐπετίμησεν P 9 πολὺ τοὐναντίον τούτων om P 381, 2 χρόνος ἐξ οὗ F 16 εὑρήσεται P 27 φόβου] φόνου P 31 καινὸς] F, οὐ κοινὸς libri 382, 7 χρῷο] B, χρῷτο libri 17 ὅτι] ὅτι εἰ F 20 ἔθος .... τὰ P deest ἢ ὅτι vel simile 21 ἰσχύει P 22 ἐννοιῶν] ἐνίων P 26 εἰ δὲ] puto ἔτι δὲ 32 δήπου] πρότερον addit B, praeferrem μᾶλλον 384, 16 puto πρώτου τόπου τῆς, nisi malis πρῶτον περὶ τῆς 20 διαιρεῖται] B, θεωρεῖται libri 385, 1 πολλαχοῦ] Gregorius VII, 1225, qui plerumque cum P consentit. 8 προειρημένων et προηγουμένων transponit F, cf. Rh. gr. IV, 426. VII, 1225. 25 ἀνάμνησιν] ἀπόδειξιν P 31 τόπους] τρόπους Gregorius 32 κεφαλαιωδῶς] ἐροῦμεν οὖν praemittit Gregorius, malim πρῶτον μὲν ἐπεδείξαμεν τοὺς P cf. qui haec descripsit Gregorius 386, 10 ἡ νομοθεσία tacite om B 387, 5 γενέσθαι P 11 προβαλεῖται] προβέβληται P 13 νηὸς P 14 ἐπαγγελίαι P 22 τιθέμενος P 25 κατασκευάσας Gregorius VII, 1226, 17 27 Λυκούργου] εὐβούλου που P 31 λιμένας] ἀπολλυμένας P 32 παῖδας] πόδας P 388, 1 τὴν ἀδελφὴν] Walzius, τὸν ἀδελφὸν libri 2 κελεύουσα P 3 αὐτὴν] Aldus, αὐτὸν P 8 scrib. ἔτι ἀναμνήσομεν καὶ 18 ζημιώσειν B 28 τοῦ πρόξενον Meier αὐτοῦ] scrib. ἀντ' αὐτοῦ, B ἀντεισφέρει 32 δι' ἃ] nescio an ita P, alii διὸ, ut διότι corrigas. 389, 3 καὶ λέγει καὶ ποιεῖ ὅτι γεννηθεὶς P 12 ἐπὶ] ἐκ F, fort. ἀπὸ 13 ἀνακεφαλαιούμενοι F 17—8 ὡς .. εἰσφορᾶς om P 22 εὐεργέτοις P 24 τούτου] τοῦ libri, ἀντεισφέρει B 26 τοὺς υἱοὺς ἀδικήσαντας F 29 ἔτι ἐπαναμνήσομεν P 390, 8 καὶ τῆς] F, καὶ τὴν libri 11 δι' ἃ] F, δι' ὃ P 14 γεγράφθαι P 16 πεύσεως] πίστεως P 17 φήσετε P, item v. 19 18 πεποίηται P 19 νόμιμον] νόμον P 29 θεωρουμένου] διαιρουμένου B, illud constanter libri p. 532, 5. 31 τῶν ἀμφοτέροις δικαίων B, fort. haec quoque includenda sunt, nam hic sufficit ἐκ τῆς κρίσεως 32 ἐξ ὑποτυπώσεως

ἐκ om libri 391, 13 πολὺ] πολιτικὸν B, πρᾳῦ F 392, 6 τόπῳ] τρόπῳ libri 7 προπαρασκευάσομεν B, αὐτοῖς addit P 13 δικαίων] B, δικῶν P, δεομένων ceteri 23 ἧττον] fort. αὐτοῦ .. ἧττον ἄξια 27 τόπον] F, τύπον P, τρόπον ceteri 393, 11 ἀπολαύειν P 20 ἔλεον] μᾶλλον P 31 δεινὰ] δὲ P 394, 1 δεῖξαι libri, correxit B 9 τρόπῳ libri, corr. B 13 ἀριθμῷ P 15 κομπάσει P 16 τυράννου P, num εἰς τυράννου? 20 παρήκουον P 22 ἐφερκίου P. ἐφ' ἑρκίῳ πυρᾷ ceteri 23 ναυσὶν P 395, 7 ἐθέλῃς B 9 εἰ] ἢ P 15 οὐ νόμους] ἀγνοεῖ νόμους P 17 φῶς om P, quem ἥλιον praestare probabile est 23 λῦπαι P 25 τὸ οἰκεῖον] τὸν οἶκτον F 30 μηδενὶ] puto μὴ 396, 3 λαμβ. παρακολουθοῦντες P 9 ἀλλὰ] μᾶλλον δὲ B, puto verba quae sequuntur, locum mutasse post δακρύειν ponenda. 14 γάμῳ χηρείᾳ B 26 δ' om P τις κοτύλη P 32 ἀριστεύσας F 397, 8 ἐπεὶ] ἐπὶ P 24 παραδείγματα Αἰσχίνου P 25 Θηβῶν B, item infra 29 ἔλεον] μενέλαον P 398, 8 ὧν] ὡς P 32 imo αὐτοὶ ἐπεπόνθεσαν 399, 2 λύτροις] F, λιταῖς libri 26 μετὰ ταῦτα] μετὰ ταῦτα P 400, 4 ἰὼ Κιθαιρὼν] F, Schneidew. Philol. V, 237. τῷ κιθαιρῶνι libri 16 ἄγοι δὲ] ἄστυδε F 18 γενόμενον om P 27 κυνῶν] B, κυνηγῶν P, κτημάτων ceteri 401, 5 malim ἐλπίδα 7 κοίτης] κύτει inesse ex Soph. El. v. 1142 vidit B 8 ὄφελε P et sic semper 9 ἔπειθ' ἃ ἔδει] Walzius, libri ἔπειτα praeter P in quo ἔπειτα δὲ δεῖ, fort. δὲ τὰ δέοντα 27 διεξιὼν τὰς] διεξιόντες P

402, 18 ἐπεξιέναι B 25 περὶ] B, παρὰ libri 27 Δημοσθένης] sic P, reliqui Αἰσχίνης τοῦτόν που κεκίνηκε τὸν τόπον, ὁποῖον γάρ φησίν ἐστιν ex fals. legat. § 182, indicante Bakio. 32 τινος P 403, 4 ὡς] πῶς P 5 λόγον] τόπον B 16 εἰς τὴν] ὑπὸ τὴν P 22 αὐτὴν] imo αὐτῆς vel αὐτῇ 25 δόμους] θρόνους τῆσδ' εἰσίδω Euripides. 404, 4 γῆς] B, τῆς libri, abesse malim. 8 ἀλλοτρίᾳ P, corr. B τῆς] τοῦ P 13 δὲ] δὴ B 29 τι] τε P 405, 1 titulum om P, hic locus aliunde translatus est, non Apsinis, sequi debebat tertia epilogi pars, ἡ δείνωσις, vid. p. 531 W. 8 δῶμεν P 10 πάθος] καὶ P 13 ἐξᾷσαι Eur. Troad. 487. ἐξετάσαι libri 20 ὅσον] οἷον P 406, 17 δικαστικοῖς] διαστατικοῖς F, coll. Aristid. IX, 349. VI, 592. 23 προπατόρων] P, προγόνων ceteri, πατέρων Thucyd. 3, 58. 407, 8 βουλομένων P 25 διερείδεται tacite B 27 ἐσχηματισμένων P, correxit B 408, 1 σπουδάζηται P προσποιῆται] Walz, καὶ κριῆται P, καὶ ποιεῖται ceteri 4 ἀνθυποτιμώμενος B διὰ] F, δὲ libri 19 ἔλαβε et διεφθάρη F 26 μεγάλην] B, μὲν ἄλλην libri 28 διδόντας libri, corr. B 31 γε] γὰρ F 409, 6 φαίνῃ] φαίνεται libri 10 διεξέρχεσθαι] Gud. Bodl. διεξέρχῃ ceteri. tum fort. μέχρι τίνος 12 ἑαυτῷ] deest aliquid, v. c. ἐπίπληττε ὅτι 21 πρότερον fort. ante πεπολιτευμένων inserendum est. 26 ἑαυτοῦ] σαυτοῦ B tacite

410, 2 κρατύνειν Gud. κρατύνει ceteri 26 διόπερ P, corr. F 411, 1 πολέμων libri, corr. F 29 τίς] τοιοῦτός τις B 412, 24 sic P, inesse videtur τὴν πολιτείαν πολιτεύσαντα διαμεῖναι ἐπὶ ὑπαρχούσης] ὑπερεχούσης P 413, 2 ἀριστεύσειν ἐπαγγειλάμενος recte

ponit Gregorius VII, 1171 supra post ἀποκτεῖναι 6 παραβολῇ P 7 περιγράφεται] Gregorius, παραγράφεται libri 8 φονεῦσαι] Gregorius, φονεύσειν P, φονεύειν reliqui 12 ἐκδυσώπησεν P, ἐδυσώπησεν Gregorius 13 Gregorius μόνον δυνατὸν τῷ πλουσίῳ κατεργάσασθαι 16 καὶ κατασιώπησιν P 18 ἀκμαζούσης] Gregorius, Gud. ἀκμαζόντων ceteri 20 φόνον] Gregorius, φόνου libri 28 σκληρῶν F, ἐκκλήρων libri 31 καθεῖλον P, corr. B 414, 8 fort. εὐσχήμονα, εὐγενῆ

VII. MINUCIANUS.

Hoc quoque fragmentum in eodem Paris. codice qui Apsinem exhibet, integrius exstare, exemplum a Seguerio XIV vol. excerptorum bib. Paris. p. 154 allatum (vid. p. 604, 8 W.) docet, quo fit ut aegre eius careamus varietate.

p. 417, 4 quidni χρῆται? 11 fort. λογικαί τε καὶ πραγματικαί. 23 ὅσαι om libri 418, 18 recte ad sensum Norrm. ἔνδοξον γὰρ καὶ .. Ἀθηναίων, καὶ τὸ πρᾶγμα, ἡ σωτηρία τῶν Λακεδαιμονίων 23 πρόσωπον] add μόνον ἐπὶ Ἀλκιβιάδην] fort. ἐστιν Ἀλκιβιάδης. Walz Ἀλκιβιάδου 419, 4 ἄττων τῇδε ... τὸ κέντρον addit P 8 imo τῇ παραβολῇ 420, 8 καὶ ὀνόματος] imo ἀπὸ ὀνόματος, itemque ἀπὸ ἀναπλασμοῦ, nisi καὶ deleveris. 18 τόποι ὁ] ὁ om libri 24 ἴδιον] Demosth. p. 362. ῥᾷον libri 25 ἐδεήθη] ἐδέησε Demosth. 421, 14 ὅτι] Dem. p. 710. οὐ libri 16 αἰτίᾳ] Thuc. 1, 69. αἴτιον libri 21 ὅσια ἃ] Demosth. p. 738. θεῖα libri 27 δὲ] Dem. p. 481. om libri 422, 11 ἔσται] ἔστι libri παραδειγμάτων] Norrmannus, πραγμάτων libri 21 ἐλάττονος] quidni ἀντικειμένου? 30 πῶς] item melius abest, nisi malis ὡς 35 malim ἀπαγγεῖλαι. 423, 6 lacunam loci ἀπὸ τῶν παρεπομένων indicavimus. 17 Πελοποννησίους] Norrm. πελοποννήσῳ libri 19 ἀναιρεῖ] imo ἀναιρεῖσθαι 25 εὔνοιαν] Dem. Ctes. init., ἔννοιαν libri, idem βούλεται καὶ προείρηται 36 ἐπιστώσατο] libri πιστώσῃ 424, 7 ταῖς τραπέζαις Demosth. p. 376. 23 προτοῦ πραγμάτων libri, tum τοῖς προτοῦ πράγμασιν 30 ἀπὸ δὲ τῶν ὕστερον] ὁ δὲ ὕστερος libri 33 ἡμᾶς] ἐρεῖν add Demosth. p. 299. 34 δηλοῦνται libri 35 ἐμφορώτερον libri

VIII.

Libellum incerti autoris inscriptum verbis τέχνη τοῦ πολιτικοῦ λόγου, bonae frugis plenum primus edidit M. Seguerius de Saint Brisson in notitiis codicum Parisiensium, vol. XIV, 2. p. 183—212.

P = Parisiensis cod. 1874. in Seg. editione.
Seg. = Seguerius.

quae a P distant, nos correximus.

p. 428, 4 τὰ προκείμενα] dicta in iis quae partibus orationis antecedebant. 15 καὶ ἑτέρας] melius ἑτέρας δ' 19 τὸν ῥητορικὸν .. λόγον] τῶν ῥητορικῶν .. λόγων P 428, 5 et 6 τοῦ αὐτοῦ bis P, malim τῶν αὐτοῦ, a sua persona. conf. Rh. VII, 53—4. 12 ὅτῳ Demosth. p. 1228. οὕτω P. 20 προσέχειν] fort. προσοχήν 24 μέλλει] μέλλῃ P προεκθῆται] Seg. προεκθήσεται P 29 ἐμοῦ] Seg. ex Aeschin. § 116. ἐμὲ P 30 τῆς κατηγορίας εἴδη] Aeschines. τὰς κατηγορίας P 429, 2 ἔπραξε] ἔπεισε Demosth. p. 342. 24 προάγειν] num ψέγειν? μηδενὶ] μὴ δεῖν P 25 καὶ τὸ τοῦ .. λαλεῖν potius post ἄχθεσθαι λέγειν ponenda 29 ἀπαγγείλαις? 430, 3 δοκῶν] δοκεῖν P 4 ὁρίζειν] fort. ὁρίζων 9 συγκεκινημένον] συγκεκινημένας P 13 malim ἐν τοῖς ἐπιλόγοις 19 αὐτῶν] Seg. αυτὸν P 23 ἀργυρίου] fort. ἀργυριδίου 25 θεραπεία? ᾖ] fort. εἴη 26 προσίηται] προίηται P 431, 7 ὅπερ κεφαλὴ] ὑπὲρ κεφαλὴν P 14 μὴ] καὶ P 24 αὐτοὺς] fort. αὐτῆς οὔσης καὶ τέχνης 25 ἐπιστημῶν] imo ἐπιστήμης 432, 2 fort. ἁρμόζεται 6 συνέταξαν] συνέγραψαν Seg. 13 malim διαφέρει 25 ἀντιπαρατεταγμένην P, corr. Seg. sed fort. excidit aliquid πρὸς τοὺς ἀκροατὰς vel κριτὰς 27 δὲ] δὴ P παραδειχθήσεται P, corr. Seg. 28 προσπαρασκευασμένον P, corr. Seg. 433, 26 ἔχειν] imo εἰπεῖν vel λέγειν 434, 2 Δημοσθένης] p. 622. 7 καὶ διὰ] διὰ καὶ P τὸ νέον εἶναι] Seg. νέον .. εἶναι γένεσιν P 10 τούτων] scrib. τοῦτο 11 μὲν] μὴ P 18 et 19 εἴς τινα] imo εἰς τὴν 21 ἔνδειξις .. πρόρρησις] praestat ἔνδειξιν .. πρόρρησιν 22 Ἀντιγόνῃ] ni fallor, Creontis ἔνδειξις intelligitur v. 162—210. 25 ῥέουσα] ῥέπουσα Rh. gr. III, 452. 435, 30 Τιμοκράτους] p. 701. 32 περὶ τὸ αὐτὸ] fort. παρ' αὐτὸ τὸ 436, 1 Μειδίου] p. 566. 24 ἐὰν Seg. addidisse videtur 27 ἔτι γε P 437, 11 ἐπεργάζεται P 15 τὲ] imo δὲ ἰσοπαλίαν] fort. ἰσοπολίτας 17 ἐσεσύλητο] Dem. p. 274. σεσύληται P 19 ὅτε] οὔτε P 20 εἶλεν] Dem. p. 401. 22 εὖ] οὐ P 32 ὅταν] Seg. ὅτι P 438, 24 ἀκολουθία P, corr. Seg. 26 scrib. γένοιτ' ἂν ἐὰν 28 αὐτὰ] αὐτῶν? 30 πρὸς τούτοις .. μάχεται infra ante ἐφ' ἅπασι ponenda.

439, 1 μέλας] Dem. p. 537. μέγας P 28 Ἀριστοτέλης] Rhet. III, 16. 440, 1 νομίζει] νομίζεται P 8 ἑπτὰ] Rhet. VII, 26, excidit εὐφημίας exemplum, si modo sanum est hoc nomen, et ἐπὶ τὸ χεῖρον φράσεως 12 σμίκρυνον P, corr. Seg. 17 scrib. ἐπανάμνησις 18 οὗτος] Dem. p. 344. οὕτω P 28 φασὶν] fort. φησίν, Alexander. 30 τοῦτο] τούτου P 31 ἐφ' οἷς αὐτὸν προυβαλόμην] Seg. ex Dem. p. 521. ἐφ' ἑαυτὸν προυλαβόμην P 441, 3 ἔσται] Seg. εἶναι P 26 ᾗ add. Seg. 32 scrib. διηγησόμεθα 442, 1 διηγησώμεθα] imo οὐ διηγησόμεθα 27 malim μερίσαντας 443, 11 τιθέναι] imo τίθεσθαι 14 μιᾶς P, corr. Seg. 22 ὃ] scr. δ' ὃ 26 πολλαὶ repetiit Seg. 29 μίαν] μία P 444, 15 ἔχουσα] ἔχουσι P 19 διακειμένῃ] fort. διακεκομμένης 445, 1 διῶξαι] puto σφάξαι. 3 ἀσαφὲς P, corr. Seg. 25 συμβόλαια χρησμοὶ] Seg. συμβουλίαι χρήσιμοι P 28 ἀλλὰ] ἀλλ' ἃ P κἂν] Seg. καὶ P 446, 4 ἐν-

Insunt in hoc volumine:

I.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ
ΤΕΧΝΗΣ ΡΗΤΟΡΙΚΗΣ Α.

Ἡ ῥητορική ἐστιν ἀντίστροφος τῇ διαλεκτικῇ· ἀμφό- ι γὰρ περὶ τοιούτων τινῶν εἰσὶν ἃ κοινὰ τρόπον τινὰ ων ἐστὶ γνωρίζειν καὶ οὐδεμιᾶς ἐπιστήμης ἀφω- ένης. διὸ καὶ πάντες τρόπον τινὰ μετέχουσιν ἀμ- · πάντες γὰρ μέχρι τινὸς καὶ ἐξετάζειν καὶ ὑπέχειν ν καὶ ἀπολογεῖσθαι καὶ κατηγορεῖν ἐγχειροῦσιν. τῶν ὺν πολλῶν οἱ μὲν εἰκῇ ταῦτα δρῶσιν, οἱ δὲ διὰ θειαν ἀπὸ ἕξεως. ἐπεὶ δ' ἀμφοτέρως ἐνδέχεται, δῆ- τι εἴη ἂν αὐτὰ καὶ ὁδοποιεῖν· δι' ὃ γὰρ ἐπιτυγχά- ιν οἵ τε διὰ συνήθειαν καὶ οἱ ἀπὸ ταὐτομάτου, τὴν ν θεωρεῖν ἐνδέχεται, τὸ δὲ τοιοῦτον ἤδη πάντες ἂν ογήσαιεν τέχνης ἔργον εἶναι. νῦν μὲν οὖν οἱ τὰς ς τῶν λόγων συντιθέντες ὀλίγον πεπορίκασιν αὐ- όριον· αἱ γὰρ πίστεις ἔντεχνόν ἐστι μόνον, τὰ δ' προσθῆκαι, οἱ δὲ περὶ μὲν ἐνθυμημάτων οὐδὲν λέ- ιν, ὅπερ ἐστὶ σῶμα τῆς πίστεως, περὶ δὲ τῶν ἔξω πράγματος τὰ πλεῖστα πραγματεύονται· διαβολὴ αὶ ἔλεος καὶ ὀργὴ καὶ τὰ τοιαῦτα πάθη τῆς ψυχῆς οὐ τοῦ πράγματός ἐστιν ἀλλὰ πρὸς τὸν δικαστήν. ὥστ' ρὶ πάσας ἦν τὰς κρίσεις καθάπερ ἐν ἐνίαις τε νῦν ῶν πόλεων καὶ μάλιστα ταῖς εὐνομουμέναις, οὐδὲν ον ὅ τι λέγωσιν· ἅπαντες γὰρ οἱ μὲν οἴονται δεῖν τοὺς νόμους ἀγορεύειν, οἱ δὲ καὶ χρῶνται καὶ κω- ιν ἔξω τοῦ πράγματος λέγειν, καθάπερ καὶ ἐν

1 Ἀρείῳ πάγῳ, ὀρθῶς τοῦτο νομίζοντες· οὐ γὰρ δεῖ τὸν δικάστὴν διαστρέφειν εἰς ὀργὴν προάγοντας ἢ φθόνον ἢ ἔλεον· ὅμοιον γὰρ κἂν εἴ τις ᾧ μέλλει χρῆσθαι κανόνι, τοῦτον ποιήσειε στρεβλόν. ἔτι δὲ φανερὸν ὅτι τοῦ μὲν ἀμφισβητοῦντος οὐδέν ἐστιν ἔξω τοῦ δεῖξαι τὸ πρᾶγμα ὅτι ἔστιν ἢ οὐκ ἔστιν ἢ γέγονεν ἢ οὐ γέγονεν· εἰ δὲ μέγα ἢ μικρὸν ἢ δίκαιον ἢ ἄδικον, ὅσα μὴ ὁ νομοθέτης διώρικεν, αὐτὸν δή που τὸν δικαστὴν δεῖ γινώσκειν καὶ οὐ μανθάνειν παρὰ τῶν ἀμφισβητούντων. μάλιστα μὲν οὖν προσήκει τοὺς ὀρθῶς κειμένους νόμους, ὅσα ἐνδέχεται, πάντα διορίζειν αὐτούς, καὶ ὅτι ἐλάχιστα καταλείπειν ἐπὶ τοῖς κρίνουσι, πρῶτον μὲν ὅτι ἕνα λαβεῖν καὶ ὀλίγους ῥᾷον ἢ πολλοὺς εὖ φρονοῦντας καὶ δυναμένους νομοθετεῖν καὶ δικάζειν· ἔπειθ' αἱ μὲν νομοθεσίαι ἐκ πολλοῦ χρόνου σκεψαμένων γίνονται, αἱ δὲ κρίσεις ἐξ ὑπογυίου, ὥστε χαλεπὸν ἀποδιδόναι τὸ δίκαιον καὶ τὸ συμφέρον καλῶς τοὺς κρίνοντας. τὸ δὲ πάντων μέγιστον, ὅτι ἡ μὲν τοῦ νομοθέτου κρίσις οὐ κατὰ μέρος ἀλλὰ περὶ μελλόντων τε καὶ καθόλου ἐστίν, ὁ δ' ἐκκλησιαστὴς καὶ δικαστὴς ἤδη περὶ παρόντων καὶ ἀφωρισμένων κρίνουσιν· πρὸς οὓς καὶ τὸ φιλεῖν ἤδη καὶ τὸ μισεῖν καὶ τὸ ἴδιον συμφέρον συνήρηται πολλάκις, ὥστε μηκέτι δύνασθαι θεωρεῖν ἱκανῶς τὸ ἀληθές, ἀλλ' ἐπισκοτεῖν τῇ κρίσει τὸ ἴδιον ἡδὺ ἢ λυπηρόν. περὶ μὲν οὖν τῶν ἄλλων, ὥσπερ λέγομεν, δεῖ ὡς ἐλαχίστων ποιεῖν κύριον τὸν κριτήν· περὶ δὲ τοῦ γεγονέναι ἢ μὴ γεγονέναι, ἢ ἔσεσθαι ἢ μὴ ἔσεσθαι, ἢ εἶναι ἢ μὴ εἶναι, ἀνάγκη ἐπὶ τοῖς κριταῖς καταλείπειν· οὐ γὰρ δυνατὸν ταῦτα τὸν νομοθέτην προιδεῖν. εἰ δὲ ταῦθ' οὕτως ἔχει, φανερὸν ὅτι τὰ ἔξω τοῦ πράγματος τεχνολογοῦσιν ὅσοι τἆλλα διορίζουσιν, οἷον τί δεῖ τὸ προοίμιον ἢ τὴν διήγησιν ἔχειν, καὶ τῶν ἄλλων ἕκαστον μορίων· οὐδὲν γὰρ ἐν αὐτοῖς ἄλλο πραγματεύον-

ται πλὴν ὅπως τὸν κριτὴν ποιόν τινα ποιήσωσιν. περὶ δὲ τῶν ἐντέχνων πίστεων οὐδὲν δεικνύουσιν· τοῦτο δ' ἐστὶν ὅθεν ἄν τις γένοιτο ἐνθυμηματικός. διὰ γὰρ τοῦτο τῆς αὐτῆς οὔσης μεθόδου περὶ τὰ δημηγορικὰ καὶ δικανικά, καὶ καλλίονος καὶ πολιτικωτέρας τῆς δημηγορικῆς πραγματείας οὔσης ἢ τῆς περὶ τὰ συναλλάγματα, περὶ μὲν ἐκείνης οὐδὲν λέγουσι, περὶ δὲ τοῦ δικάζεσθαι πάντες πειρῶνται τεχνολογεῖν, ὅτι ἧττόν ἐστι πρὸ ἔργου τὰ ἔξω τοῦ πράγματος λέγειν ἐν τοῖς δημηγορικοῖς καὶ ἧττόν ἐστι κακοῦργον ἡ δημηγορία δικολογίας, ἀλλὰ κοινότερον. ἐνταῦθα μὲν γὰρ ὁ κριτὴς περὶ οἰκείων κρίνει, ὥστ' οὐδὲν ἄλλο δεῖ πλὴν ἀποδεῖξαι ὅτι οὕτως ἔχει ὡς φησὶν ὁ συμβουλεύων· ἐν δὲ τοῖς δικανικοῖς οὐχ ἱκανὸν τοῦτο, ἀλλὰ πρὸ ἔργου ἐστὶν ἀναλαβεῖν τὸν ἀκροατήν· περὶ ἀλλοτρίων γὰρ ἡ κρίσις, ὥστε πρὸς τὸ αὑτῶν σκοπούμενοι καὶ πρὸς χάριν ἀκροώμενοι διδόασι τοῖς ἀμφισβητοῦσιν, ἀλλ' οὐ κρίνουσιν. διὸ καὶ πολλαχοῦ, ὥσπερ πρότερον εἴπομεν, ὁ νόμος κωλύει λέγειν ἔξω τοῦ πράγματος· ἐκεῖ δ' αὐτοὶ οἱ κριταὶ τοῦτο τηροῦσιν ἱκανῶς. ἐπεὶ δὲ φανερόν ἐστιν ὅτι ἡ μὲν ἔντεχνος μέθοδος περὶ τὰς πίστεις ἐστίν, ἡ δὲ πίστις ἀπόδειξίς τις (τότε γὰρ πιστεύομεν μάλιστα ὅταν ἀποδεδεῖχθαι ὑπολάβωμεν), ἔστι δ' ἀπόδειξις ῥητορικὴ ἐνθύμημα, καὶ ἔστι τοῦτο ὡς εἰπεῖν ἁπλῶς κυριώτατον τῶν πίστεων, τὸ δ' ἐνθύμημα συλλογισμός τις, περὶ δὲ συλλογισμοῦ ὁμοίως ἅπαντος τῆς διαλεκτικῆς ἐστὶν ἰδεῖν, ἢ αὐτῆς ὅλης ἢ μέρους τινός, δῆλον ὅτι ὁ μάλιστα τοῦτο δυνάμενος θεωρεῖν, ἐκ τίνων καὶ πῶς γίνεται συλλογισμός, οὗτος καὶ ἐνθυμηματικὸς ἂν εἴη μάλιστα, προσλαβὼν περὶ ποῖά τ' ἐστὶ τὰ ἐνθυμήματα καὶ τίνας ἔχει διαφορὰς πρὸς τοὺς λογικοὺς συλλογισμούς· τό τε γὰρ ἀληθὲς καὶ τὸ ὅμοιον τῷ ἀληθεῖ τῆς αὐτῆς ἐστὶ δυνάμεως ἰδεῖν, ἅμα δὲ καὶ οἱ ἄνθρωποι πρὸς τὸ ἀληθὲς

πεφύκασιν ἱκανῶς καὶ τὰ πλείω τυγχάνουσι τῆς ἀληθείας· διὸ πρὸς τὰ ἔνδοξα στοχαστικῶς ἔχειν τοῦ ὁμοίως ἔχοντος καὶ πρὸς τὴν ἀλήθειάν ἐστιν.

ὅτι μὲν οὖν τὰ ἔξω τοῦ πράγματος οἱ ἄλλοι τεχνολογοῦσι, καὶ διότι μᾶλλον ἀπονενεύκασι πρὸς τὸ δικολογεῖν, φανερόν· χρήσιμος δ' ἐστὶν ἡ ῥητορικὴ διά τε τὸ φύσει εἶναι κρείττω τἀληθῆ καὶ τὰ δίκαια τῶν ἐναντίων, ὥστε ἐὰν μὴ κατὰ τὸ προσῆκον αἱ κρίσεις γίγνωνται, ἀνάγκη δι' αὐτῶν ἡττᾶσθαι· τοῦτο δ' ἐστὶν ἄξιον ἐπιτιμήσεως. ἔτι δὲ πρὸς ἐνίους οὐδ' εἰ τὴν ἀκριβεστάτην ἔχομεν ἐπιστήμην, ῥᾴδιον ἀπ' ἐκείνης πεῖσαι λέγοντας· διδασκαλίας γάρ ἐστιν ὁ κατὰ τὴν ἐπιστήμην λόγος, τοῦτο δὲ ἀδύνατον, ἀλλ' ἀνάγκη διὰ τῶν κοινῶν ποιεῖσθαι τὰς πίστεις καὶ τοὺς λόγους, ὥσπερ καὶ ἐν τοῖς τοπικοῖς ἐλέγομεν περὶ τῆς πρὸς τοὺς πολλοὺς ἐντεύξεως. ἔτι δὲ τἀναντία δεῖ δύνασθαι πείθειν, καθάπερ καὶ ἐν τοῖς συλλογισμοῖς, οὐχ ὅπως ἀμφότερα πράττωμεν (οὐ γὰρ δεῖ τὰ φαῦλα πείθειν) ἀλλ' ἵνα μήτε λανθάνῃ πῶς ἔχει, καὶ ὅπως ἄλλου χρωμένου μὴ δικαίως τοῖς λόγοις αὐτοὺς λύειν ἔχωμεν. τῶν μὲν οὖν ἄλλων τεχνῶν οὐδεμία τἀναντία συλλογίζεται, ἡ δὲ διαλεκτικὴ καὶ ἡ ῥητορικὴ μόναι τοῦτο ποιοῦσιν· ὁμοίως γάρ εἰσιν ἀμφότεραι τῶν ἐναντίων. τὰ μέντοι ὑποκείμενα πράγματα οὐχ ὁμοίως ἔχει, ἀλλ' ἀεὶ τἀληθῆ καὶ τὰ βελτίω τῇ φύσει εὐσυλλογιστότερα καὶ πιθανώτερα ὡς ἁπλῶς εἰπεῖν. πρὸς δὲ τούτοις ἄτοπον εἰ τῷ σώματι μὲν αἰσχρὸν μὴ δύνασθαι βοηθεῖν ἑαυτῷ, λόγῳ δ' οὐκ αἰσχρόν· ὃ μᾶλλον ἴδιόν ἐστιν ἀνθρώπου τῆς τοῦ σώματος χρείας. εἰ δ' ὅτι μεγάλα βλάψειεν ἂν ὁ χρώμενος ἀδίκως τῇ τοιαύτῃ δυνάμει τῶν λόγων, τοῦτό γε κοινόν ἐστι κατὰ πάντων τῶν ἀγαθῶν πλὴν ἀρετῆς, καὶ μάλιστα κατὰ τῶν χρησιμωτάτων, οἷον ἰσχύος ὑγιείας πλούτου στρατηγίας· τούτοις γὰρ ἄν τις

ὠφελήσειε τὰ μέγιστα χρώμενος δικαίως καὶ βλάψειεν 1
ἀδίκως.

ὅτι μὲν οὖν οὐκ ἔστιν οὔτε ἑνός τινος γένους ἀφωρισμένου ἡ ῥητορική, ἀλλὰ καθάπερ ἡ διαλεκτική, καὶ ὅτι χρήσιμος, φανερόν, καὶ ὅτι οὐ τὸ πεῖσαι ἔργον αὐτῆς, ἀλλὰ τὸ ἰδεῖν τὰ ὑπάρχοντα πιθανὰ περὶ ἕκαστον, καθάπερ καὶ ἐν ταῖς ἄλλαις τέχναις πάσαις· οὐδὲ γὰρ ἰατρικῆς τὸ ὑγιᾶ ποιῆσαι, ἀλλὰ μέχρι οὗ ἐνδέχεται, μέχρι τούτου προαγαγεῖν· ἔστι γὰρ καὶ τοὺς ἀδυνάτους μεταλαβεῖν ὑγιείας ὅμως θεραπεῦσαι καλῶς. πρὸς δὲ τούτοις ὅτι τῆς αὐτῆς τό τε πιθανὸν καὶ τὸ φαινόμενον ἰδεῖν πιθανόν, ὥσπερ καὶ ἐπὶ τῆς διαλεκτικῆς συλλογισμόν τε καὶ φαινόμενον συλλογισμόν. ἡ γὰρ σοφιστικὴ οὐκ ἐν τῇ δυνάμει ἀλλ' ἐν τῇ προαιρέσει· πλὴν ἐνταῦθα μὲν ἔσται ὁ μὲν κατὰ τὴν ἐπιστήμην ὁ δὲ κατὰ τὴν προαίρεσιν ῥήτωρ, ἐκεῖ δὲ σοφιστὴς μὲν κατὰ τὴν προαίρεσιν, διαλεκτικὸς δὲ οὐ κατὰ τὴν προαίρεσιν ἀλλὰ κατὰ τὴν δύναμιν. περὶ δὲ αὐτῆς ἤδη τῆς μεθόδου πειρώμεθα λέγειν, πῶς τε καὶ ἐκ τίνων δυνησόμεθα τυγχάνειν τῶν προκειμένων. πάλιν οὖν οἷον ἐξ ὑπαρχῆς ὁρισάμενοι αὐτὴν τίς ἐστι, λέγωμεν τὰ λοιπά.

ἔστω δὴ ῥητορικὴ δύναμις περὶ ἕκαστον τοῦ θεωρῆ- 2
σαι τὸ ἐνδεχόμενον πιθανόν. τοῦτο γὰρ οὐδεμιᾶς ἑτέρας ἐστὶ τέχνης ἔργον· τῶν γὰρ ἄλλων ἑκάστη περὶ τὸ αὑτῇ ὑποκείμενόν ἐστι διδασκαλικὴ καὶ πειστική, οἷον ἰατρικὴ περὶ ὑγιεινὸν καὶ νοσερὸν καὶ γεωμετρία περὶ τὰ συμβεβηκότα πάθη τοῖς μεγέθεσι καὶ ἀριθμητικὴ περὶ ἀριθμόν, ὁμοίως δὲ καὶ αἱ λοιπαὶ τῶν τεχνῶν καὶ ἐπιστημῶν· ἡ δὲ ῥητορικὴ περὶ τοῦ δοθέντος ὡς εἰπεῖν δοκεῖ δύνασθαι θεωρεῖν τὸ πιθανόν. διὸ καί φαμεν αὐτὴν οὐ περί τι γένος ἴδιον ἀφωρισμένον ἔχειν τὸ τεχνικόν. τῶν δὲ πίστεων αἱ μὲν ἄτεχνοί εἰσιν αἱ δ' ἔντεχνοι. ἄτεχνα δὲ

2 λέγω ὅσα μὴ δι' ἡμῶν πεπόρισται ἀλλὰ προϋπῆρχεν, οἷον μάρτυρες βάσανοι συγγραφαὶ καὶ ὅσα τοιαῦτα, ἔντεχνα δὲ ὅσα διὰ τῆς μεθόδου καὶ δι' ἡμῶν κατασκευασθῆναι δυνατόν. ὥστε δεῖ τούτων τοῖς μὲν χρήσασθαι τὰ δὲ εὑρεῖν. τῶν δὲ διὰ τοῦ λόγου ποριζομένων πίστεων τρία εἴδη ἐστίν· αἱ μὲν γάρ εἰσιν ἐν τῷ ἤθει τοῦ λέγοντος, αἱ δὲ ἐν τῷ τὸν ἀκροατὴν διαθεῖναί πως, αἱ δὲ ἐν αὐτῷ τῷ λόγῳ διὰ τοῦ δεικνύναι ἢ φαίνεσθαι δεικνύναι. διὰ μὲν οὖν τοῦ ἤθους, ὅταν οὕτω λεχθῇ ὁ λόγος ὥστε ἀξιόπιστον ποιῆσαι τὸν λέγοντα· τοῖς γὰρ ἐπιεικέσι πιστεύομεν μᾶλλον καὶ θᾶττον, περὶ πάντων μὲν ἁπλῶς, ἐν οἷς δὲ τὸ ἀκριβὲς μή ἐστιν ἀλλὰ τὸ ἀμφιδοξεῖν, καὶ παντελῶς· (δεῖ δὲ καὶ τοῦτο συμβαίνειν διὰ τοῦ λόγου, ἀλλὰ μὴ διὰ τοῦ προδεδοξάσθαι ποιόν τινα εἶναι τὸν λέγοντα·) οὐ γὰρ ὥσπερ ἔνιοι τῶν τεχνολογούντων τιθέασιν ἐν τῇ τέχνῃ καὶ τὴν ἐπιείκειαν [τοῦ λέγοντος] ὡς οὐδὲν συμβαλλομένην πρὸς τὸ πιθανόν, ἀλλὰ σχεδὸν ὡς εἰπεῖν κυριωτάτην ἔχει πίστιν τὸ ἦθος. διὰ δὲ τῶν ἀκροατῶν, ὅταν εἰς πάθος ὑπὸ τοῦ λόγου προαχθῶσιν· οὐ γὰρ ὁμοίως ἀποδίδομεν τὰς κρίσεις λυπούμενοι καὶ χαίροντες ἢ φιλοῦντες καὶ μισοῦντες· πρὸς ὃ καὶ μόνον πειρᾶσθαί φαμεν πραγματεύεσθαι τοὺς νῦν τεχνολογοῦντας. περὶ μὲν οὖν τούτων δηλωθήσεται καθ' ἕκαστον, ὅταν περὶ τῶν παθῶν λέγωμεν· δι' αὐτοῦ δὲ τοῦ λόγου πιστεύουσιν, ὅταν ἀληθὲς ἢ φαινόμενον δείξωμεν ἐκ τῶν περὶ ἕκαστα πιθανῶν. ἐπεὶ δ' αἱ πίστεις διὰ τούτων εἰσί, φανερὸν ὅτι ταῦτα ἐστὶ λαβεῖν τοῦ συλλογίσασθαι δυναμένου καὶ τοῦ θεωρῆσαι περὶ τὰ ἤθη καὶ τὰς ἀρετὰς καὶ τρίτον τοῦ περὶ τὰ πάθη, τί τε ἕκαστόν ἐστι τῶν παθῶν καὶ ποῖόν τι, καὶ ἐκ τίνων ἐγγίνεται καὶ πῶς. ὥστε συμβαίνει τὴν ῥητορικὴν οἷον παραφυές τι τῆς διαλεκτικῆς εἶναι καὶ τῆς περὶ τὰ ἤθη πραγματείας, ἣν δίκαιόν ἐστι

προσαγορεύειν πολιτικήν. διὸ καὶ ὑποδύεται ὑπὸ τὸ 2
σχῆμα τὸ τῆς πολιτικῆς ἡ ῥητορικὴ καὶ οἱ ἀντιποιούμενοι ταύτης τὰ μὲν δι' ἀπαιδευσίαν τὰ δὲ δι' ἀλαζονείαν καὶ ἄλλας αἰτίας ἀνθρωπικάς· ἔστι γὰρ μόριόν τι τῆς διαλεκτικῆς καὶ ὁμοία, καθάπερ καὶ ἀρχόμενοι εἴπομεν· περὶ οὐδενὸς γὰρ ὡρισμένου οὐδετέρα αὐτῶν ἐστὶν ἐπιστήμη, [πῶς ἔχει,] ἀλλὰ δυνάμεις τινὲς τοῦ πορίσαι λόγους.

περὶ μὲν οὖν τῆς δυνάμεως αὐτῶν, καὶ πῶς ἔχουσι πρὸς ἀλλήλας, εἴρηται σχεδὸν ἱκανῶς. τῶν δὲ διὰ τοῦ δεικνύναι ἢ φαίνεσθαι δεικνύναι, καθάπερ καὶ ἐν τοῖς ἀναλυτικοῖς τὸ μὲν ἐπαγωγή ἐστι τὸ δὲ συλλογισμὸς τὸ δὲ φαινόμενος συλλογισμός, καὶ ἐνταῦθα ὁμοίως· ἔστι γὰρ τὸ μὲν παράδειγμα ἐπαγωγή, τὸ δ' ἐνθύμημα συλλογισμός, τὸ δὲ φαινόμενον ἐνθύμημα φαινόμενος συλλογισμός. καλῶ δ' ἐνθύμημα μὲν ῥητορικὸν συλλογισμόν, παράδειγμα δὲ ἐπαγωγὴν ῥητορικήν. πάντες δὲ τὰς πίστεις ποιοῦνται διὰ τοῦ δεικνύναι ἢ παραδείγματα λέγοντες ἢ ἐνθυμήματα, καὶ παρὰ ταῦτα οὐδέν [πως]· ὥστ' εἴπερ καὶ ὅλως ἀνάγκη ἢ συλλογιζόμενον ἢ ἐπάγοντα δεικνύναι ὁτιοῦν (δῆλον δ' ἡμῖν τοῦτο ἐκ τῶν ἀναλυτικῶν), ἀναγκαῖον ἑκάτερον αὐτῶν ἑκατέρῳ τούτων τὸ αὐτὸ εἶναι. τίς δ' ἐστὶ διαφορὰ παραδείγματος καὶ ἐνθυμήματος, φανερὸν ἐκ τῶν τοπικῶν· ἐκεῖ γὰρ περὶ συλλογισμοῦ καὶ ἐπαγωγῆς εἴρηται πρότερον, ὅτι τὸ μὲν τὸ ἐπὶ πολλῶν καὶ ὁμοίων δείκνυσθαι ὅτι οὕτως ἔχει ἐκεῖ μὲν ἐπαγωγή ἐστιν ἐνταῦθα δὲ παράδειγμα, τὸ δὲ τινῶν ὄντων ἕτερόν τι διὰ ταῦτα συμβαίνειν παρὰ ταῦτα τῷ ταῦτα εἶναι, ἢ καθόλου ἢ ὡς ἐπὶ τὸ πολύ, ἐκεῖ μὲν συλλογισμὸς ἐνταῦθα δὲ ἐνθύμημα καλεῖται. φανερὸν δ' ὅτι καὶ ἑκάτερον ἔχει ἀγαθὸν τὸ εἶδος τῆς ῥητορείας· καθάπερ γὰρ καὶ ἐν τοῖς μεθοδικοῖς εἴρηται, καὶ ἐν τούτοις

2 ὁμοίως ἔχει· εἰσὶ γὰρ αἱ μὲν παραδειγματώδεις ῥητορεῖαι αἱ δὲ ἐνθυμηματικαί, καὶ ῥήτορες ὁμοίως οἱ μὲν παραδειγματώδεις οἱ δὲ ἐνθυμηματικοί. πιθανοὶ μὲν οὖν οὐχ ἧττον οἱ λόγοι οἱ διὰ τῶν παραδειγμάτων, θορυβοῦνται δὲ μᾶλλον οἱ ἐνθυμηματικοί. τὴν δ' αἰτίαν αὐτῶν, καὶ πῶς ἑκατέρῳ χρηστέον, ἐροῦμεν ὕστερον· νῦν δὲ περὶ αὐτῶν τούτων μᾶλλον διορίσωμεν καθαρῶς.

ἐπεὶ γὰρ τὸ πιθανὸν τινὶ πιθανόν ἐστι, καὶ τὸ μὲν εὐθὺς ὑπάρχει δι' αὑτὸ πιθανὸν καὶ πιστὸν τὸ δὲ τῷ δείκνυσθαι δοκεῖν διὰ τοιούτων, οὐδεμία δὲ τέχνη σκοπεῖ τὸ καθ' ἕκαστον, οἷον ἡ ἰατρικὴ τί Σωκράτει τὸ ὑγιεινόν ἐστιν ἢ Καλλίᾳ, ἀλλὰ τί τῷ τοιῷδε ἢ τοῖς τοιοῖσδε (τοῦτο γὰρ ἔντεχνον, τὸ δὲ καθ' ἕκαστον ἄπειρον καὶ οὐκ ἐπιστητόν), οὐδὲ ἡ ῥητορικὴ τὸ καθ' ἕκαστον ἔνδοξον θεωρήσει, οἷον Σωκράτει ἢ Ἱππίᾳ, ἀλλὰ τὸ τοιοῖσδε, καθάπερ καὶ ἡ διαλεκτική. καὶ γὰρ ἐκείνη συλλογίζεται οὐκ ἐξ ὧν ἔτυχεν (φαίνεται γὰρ ἄττα καὶ τοῖς παραληροῦσιν), ἀλλ' ἐκείνη μὲν ἐκ τῶν λόγου δεομένων, ἡ δὲ ῥητορικὴ ἐκ τῶν ἤδη βουλεύεσθαι εἰωθότων. ἔστι δὲ τὸ ἔργον αὐτῆς περί τε τοιούτων περὶ ὧν βουλευόμεθα καὶ τέχνας μὴ ἔχομεν, καὶ ἐν τοῖς τοιούτοις ἀκροαταῖς οἳ οὐ δύνανται διὰ πολλῶν συνορᾶν οὐδὲ λογίζεσθαι πόρρωθεν. βουλευόμεθα δὲ περὶ τῶν φαινομένων ἐνδέχεσθαι ἀμφοτέρως ἔχειν· περὶ γὰρ τῶν ἀδυνάτων ἄλλως ἢ γενέσθαι ἢ ἔσεσθαι ἢ ἔχειν οὐδεὶς βουλεύεται οὕτως ὑπολαμβάνων· οὐδὲν γὰρ πλέον. ἐνδέχεται δὲ συλλογίζεσθαι καὶ συνάγειν τὰ μὲν ἐκ συλλελογισμένων πρότερον, τὰ δ' ἐξ ἀσυλλογίστων μὲν δεομένων δὲ συλλογισμοῦ διὰ τὸ μὴ εἶναι ἔνδοξα. ἀνάγκη δὲ τούτων τὸ μὲν μὴ εἶναι εὐεπακολούθητον διὰ τὸ μῆκος (ὁ γὰρ κριτὴς ὑπόκειται εἶναι ἁπλοῦς), τὰ δὲ μὴ πιθανὰ διὰ τὸ μὴ ἐξ ὁμολογουμένων εἶναι μηδ' ἐνδόξων, ὥστ' ἀναγκαῖον τό τε ἐνθύμημα εἶ-

ναι καὶ τὸ παράδειγμα περί τε τῶν ἐνδεχομένων ὡς τὰ 2
πολλὰ ἔχειν [καὶ] ἄλλως, τὸ μὲν παράδειγμα ἐπαγωγὴν τὸ δ' ἐνθύμημα συλλογισμόν, καὶ ἐξ ὀλίγων τε καὶ πολλάκις ἐλαττόνων ἢ ἐξ ὧν ὁ πρῶτος συλλογισμός· ἐὰν γὰρ ᾖ τι τούτων γνώριμον, οὐδὲ δεῖ λέγειν· αὐτὸς γὰρ τοῦτο προστίθησιν ὁ ἀκροατής. οἷον ὅτι Δωριεὺς στεφανίτην ἀγῶνα νενίκηκεν, ἱκανὸν εἰπεῖν ὅτι Ὀλύμπια νενίκηκεν· τὸ δ' ὅτι στεφανίτης τὰ Ὀλύμπια, οὐδὲ δεῖ προσθεῖναι· γινώσκουσι γὰρ πάντες. ἐπεὶ δ' ἐστὶν ὀλίγα μὲν τῶν ἀναγκαίων ἐξ ὧν οἱ ῥητορικοὶ συλλογισμοί εἰσι (τὰ γὰρ πολλὰ περὶ ὧν αἱ κρίσεις καὶ αἱ σκέψεις, ἐνδέχεται καὶ ἄλλως ἔχειν· περὶ ὧν μὲν γὰρ πράττουσι, βουλεύονται καὶ σκοποῦσι, τὰ δὲ πραττόμενα πάντα τοιούτου γένους ἐστί, καὶ οὐδὲν ὡς ἔπος εἰπεῖν ἐξ ἀνάγκης τούτων), τὰ δ' ὡς ἐπὶ τὸ πολὺ συμβαίνοντα καὶ ἐνδεχόμενα ἐκ τοιούτων ἀνάγκη ἑτέρων συλλογίζεσθαι, τὰ δ' ἀναγκαῖα ἐξ ἀναγκαίων (δῆλον δ' ἡμῖν καὶ τοῦτο ἐκ τῶν ἀναλυτικῶν), φανερὸν ὅτι ἐξ ὧν τὰ ἐνθυμήματα λέγεται, τὰ μὲν ἀναγκαῖα ἔσται, τὰ δὲ πλεῖστα ὡς ἐπὶ τὸ πολύ. λέγεται γὰρ ἐνθυμήματα ἐξ εἰκότων καὶ σημείων, ὥστε ἀνάγκη τούτων ἑκάτερον ἑκατέρῳ ταὐτὸ εἶναι. τὸ μὲν γὰρ εἰκός ἐστιν ὡς ἐπὶ τὸ πολὺ γινόμενον, οὐχ ἁπλῶς δέ, καθάπερ ὁρίζονταί τινες, ἀλλὰ τὸ περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν, οὕτως ἔχον πρὸς ἐκεῖνο πρὸς ὃ εἰκός, ὡς τὸ καθόλου πρὸς τὸ κατὰ μέρος· τῶν δὲ σημείων τὸ μὲν οὕτως ἔχει ὡς τῶν καθ' ἕκαστόν τι πρὸς τὸ καθόλου, τὸ δὲ ὡς τῶν καθόλου τι πρὸς τὸ κατὰ μέρος. τούτων δὲ τὸ μὲν ἀναγκαῖον τεκμήριον, τὸ δὲ μὴ ἀναγκαῖον ἀνώνυμόν ἐστι κατὰ τὴν διαφοράν. ἀναγκαῖα μὲν οὖν λέγω ἐξ ὧν γίνεται συλλογισμός· διὸ καὶ τεκμήριον τὸ τοιοῦτον τῶν σημείων ἐστίν· ὅταν γὰρ μὴ ἐνδέχεσθαι οἴωνται λῦσαι τὸ λεχθέν, τότε φέρειν οἴονται τεκμήριον ὡς δεδειγμένον καὶ πεπε-

2 ρασμένον· τὸ γὰρ τέκμαρ καὶ πέρας ταὐτόν ἐστι κατὰ τὴν ἀρχαίαν γλῶτταν. ἔστι δὲ τῶν σημείων τὸ μὲν ὡς τὸ καθ' ἕκαστον πρὸς τὸ καθόλου ὧδε, οἷον εἴ τις εἴπειεν σημεῖον εἶναι ὅτι οἱ σοφοὶ δίκαιοι, Σωκράτης γὰρ σοφὸς ἦν καὶ δίκαιος. τοῦτο μὲν οὖν σημεῖον, λυτὸν δέ, κἂν ἀληθὲς ᾖ τὸ εἰρημένον· ἀσυλλόγιστον γάρ. τὸ δέ, οἷον εἴ τις εἴπειεν σημεῖον ὅτι νοσεῖ, πυρέττει γάρ, ἢ τέτοκεν ὅτι γάλα ἔχει, ἀναγκαῖον. ὅπερ τῶν σημείων τεκμήριον μόνον ἐστίν· μόνον γάρ, ἂν ἀληθὲς ᾖ, ἄλυτόν ἐστιν. τὸ δὲ ὡς τὸ καθόλου πρὸς τὸ κατὰ μέρος ἔχον, οἷον εἴ τις εἴπειεν, ὅτι πυρέττει, σημεῖον εἶναι, πυκνὸν γὰρ ἀναπνεῖ. λυτὸν δὲ καὶ τοῦτο, κἂν ἀληθὲς ᾖ· ἐνδέχεται γὰρ καὶ μὴ πυρέττοντα πνευστιᾶν. τί μὲν οὖν εἰκός ἐστι καὶ τί σημεῖον καὶ τεκμήριον, καὶ τί διαφέρουσιν, εἴρηται μὲν καὶ νῦν· μᾶλλον δὲ φανερῶς καὶ περὶ τούτων, καὶ διὰ τίν' αἰτίαν τὰ μὲν ἀσυλλόγιστά ἐστι τὰ δὲ συλλελογισμένα, ἐν τοῖς ἀναλυτικοῖς διώρισται περὶ αὐτῶν. παράδειγμα δὲ ὅτι μέν ἐστιν ἐπαγωγὴ καὶ περὶ ποῖα ἐπαγωγή, εἴρηται. ἔστι δὲ οὔτε ὡς μέρος πρὸς ὅλον οὔθ' ὡς ὅλον πρὸς μέρος οὔθ' ὡς ὅλον πρὸς ὅλον, ἀλλ' ὡς μέρος πρὸς μέρος, ὅμοιον πρὸς ὅμοιον, ὅταν ἄμφω μὲν ᾖ ὑπὸ τὸ αὐτὸ γένος, γνωριμώτερον δὲ θάτερον ᾖ θατέρου, παράδειγμά ἐστιν. οἷον ὅτι ἐπεβούλευε τυραννίδι Διονύσιος αἰτῶν τὴν φυλακήν· καὶ γὰρ Πεισίστρατος πρότερον ἐπιβουλεύων ᾔτει φυλακὴν καὶ λαβὼν ἐτυράννευσε, καὶ Θεαγένης ἐν Μεγάροις· καὶ ἄλλοι ὅσους ἴσασι, παράδειγμα πάντες γίνονται τοῦ Διονυσίου, ὃν οὐκ ἴσασί πω εἰ διὰ τοῦτο αἰτεῖ. πάντα δὲ ταῦτα ὑπὸ τὸ αὐτὸ καθόλου, ὅτι ὁ ἐπιβουλεύων τυραννίδι φυλακὴν αἰτεῖ.

ἐξ ὧν μὲν οὖν λέγονται αἱ δοκοῦσαι εἶναι πίστεις ἀποδεικτικαί, εἴρηται. τῶν δὲ ἐνθυμημάτων μεγίστη διαφορὰ καὶ μάλιστα λεληθυῖα σχεδὸν πάντας ἐστὶν ἥπερ καὶ

περὶ τὴν διαλεκτικὴν μέθοδον τῶν συλλογισμῶν· τὰ μὲν 2
γὰρ αὐτῶν ἐστὶ κατὰ τὴν ῥητορικὴν ὥσπερ καὶ κατὰ τὴν διαλεκτικὴν [μέθοδον τῶν συλλογισμῶν], τὰ δὲ κατ' ἄλλας τέχνας καὶ δυνάμεις, τὰς μὲν οὔσας τὰς δ' οὔπω κατειλημμένας· διὸ καὶ λανθάνουσί τε [τοὺς ἀκροατάς], καὶ μᾶλλον ἁπτόμενοι κατὰ τρόπον μεταβαίνουσιν ἐξ αὐτῶν. μᾶλλον δὲ σαφὲς ἔσται τὸ λεγόμενον διὰ πλειόνων ῥηθέν. λέγω γὰρ διαλεκτικούς τε καὶ ῥητορικοὺς συλλογισμοὺς εἶναι περὶ ὧν τοὺς τόπους λέγομεν· οὗτοι δ' εἰσὶν οἱ κοινῇ περὶ δικαίων καὶ φυσικῶν καὶ περὶ πολιτικῶν καὶ περὶ πολλῶν διαφερόντων τῷ εἴδει, οἷον ὁ τοῦ μᾶλλον καὶ ἧττον τόπος· οὐδὲν γὰρ μᾶλλον ἔσται ἐκ τούτου συλλογίσασθαι ἢ ἐνθύμημα εἰπεῖν περὶ δικαίων ἢ περὶ φυσικῶν ἢ περὶ ὁτουοῦν· καίτοι ταῦτα εἴδει διαφέρει. ἴδια δέ, ὅσα ἐκ τῶν περὶ ἕκαστον εἶδος καὶ γένος προτάσεών ἐστιν, οἷον περὶ φυσικῶν εἰσὶ προτάσεις ἐξ ὧν οὔτε ἐνθύμημα οὔτε συλλογισμός ἐστι περὶ τῶν ἠθικῶν, καὶ περὶ τούτων ἄλλαι ἐξ ὧν οὐκ ἔσται περὶ τῶν φυσικῶν· ὁμοίως δὲ τοῦτ' ἔχει ἐπὶ πάντων. κἀκεῖνα μὲν οὐ ποιήσει περὶ οὐδὲν γένος ἔμφρονα· περὶ οὐδὲν γὰρ ὑποκείμενόν ἐστιν· ταῦτα δέ, ὅσῳ τις ἂν βέλτιον ἐκλέγηται τὰς προτάσεις, λήσει ποιήσας ἄλλην ἐπιστήμην τῆς διαλεκτικῆς καὶ ῥητορικῆς· ἂν γὰρ ἐντύχῃ ἀρχαῖς, οὐκέτι διαλεκτικὴ οὐδὲ ῥητορικὴ ἀλλ' ἐκείνη ἔσται ἧς ἔχει τὰς ἀρχάς. ἔστι δὲ τὰ πλεῖστα τῶν ἐνθυμημάτων ἐκ τούτων τῶν εἰδῶν λεγόμενα τῶν κατὰ μέρος καὶ ἰδίων, ἐκ δὲ τῶν κοινῶν ἐλάττω. καθάπερ οὖν καὶ ἐν τοῖς τοπικοῖς, καὶ ἐνταῦθα διαιρετέον τῶν ἐνθυμημάτων τά τε εἴδη καὶ τοὺς τόπους ἐξ ὧν ληπτέον. λέγω δ' εἴδη μὲν τὰς καθ' ἕκαστον γένος ἰδίας προτάσεις, τόπους δὲ τοὺς κοινοὺς ὁμοίως πάντων. πρότερον οὖν εἴπωμεν περὶ τῶν εἰδῶν· πρῶτον δὲ λάβωμεν τὰ γένη τῆς ῥητορικῆς, ὅπως διελόμενοι πόσα ἐστί,

2 περὶ τούτων χωρὶς λαμβάνωμεν τὰ στοιχεῖα καὶ τὰς προτάσεις.

3 ἔστι δὲ τῆς ῥητορικῆς [εἴδη] τρία τὸν ἀριθμόν· τοσοῦτοι γὰρ καὶ οἱ ἀκροαταὶ τῶν λόγων ὑπάρχουσιν ὄντες. σύγκειται μὲν γὰρ ἐκ τριῶν ὁ λόγος, ἔκ τε τοῦ λέγοντος καὶ περὶ οὗ λέγει καὶ πρὸς ὅν, καὶ τὸ τέλος πρὸς τοῦτόν ἐστι, λέγω δὲ τὸν ἀκροατήν. ἀνάγκη δὲ τὸν ἀκροατὴν ἢ θεωρὸν εἶναι ἢ κριτήν, κριτὴν δὲ ἢ τῶν γεγενημένων ἢ τῶν μελλόντων. ἔστι δ' ὁ μὲν περὶ τῶν μελλόντων κρίνων οἷον ἐκκλησιαστής, ὁ δὲ περὶ τῶν γεγενημένων οἷον [ὁ] δικαστής, ὁ δὲ τῆς δυνάμεως [ὁ] θεωρός· ὥστ' ἐξ ἀνάγκης ἂν εἴη τρία γένη τῶν λόγων τῶν ῥητορικῶν, συμβουλευτικόν, δικανικόν, ἐπιδεικτικόν. συμβουλῆς δὲ τὸ μὲν προτροπὴ τὸ δὲ ἀποτροπή· ἀεὶ γὰρ καὶ οἱ ἰδίᾳ συμβουλεύοντες καὶ οἱ κοινῇ δημηγοροῦντες τούτων θάτερον ποιοῦσιν. δίκης δὲ τὸ μὲν κατηγορία τὸ δ' ἀπολογία· τούτων γὰρ ὁποτερονοῦν ποιεῖν ἀνάγκη τοὺς ἀμφισβητοῦντας. ἐπιδεικτικοῦ δὲ τὸ μὲν ἔπαινος τὸ δὲ ψόγος. χρόνοι δὲ ἑκάστου τούτων εἰσὶ τῷ μὲν συμβουλεύοντι ὁ μέλλων (περὶ γὰρ τῶν ἐσομένων συμβουλεύει ἢ προτρέπων ἢ ἀποτρέπων), τῷ δὲ δικαζομένῳ ὁ γενόμενος (περὶ γὰρ τῶν πεπραγμένων ἀεὶ ὁ μὲν κατηγορεῖ ὁ δὲ ἀπολογεῖται), τῷ δ' ἐπιδεικτικῷ κυριώτατος μὲν ὁ παρών· κατὰ γὰρ τὰ ὑπάρχοντα ἐπαινοῦσιν ἢ ψέγουσι πάντες, προσχρῶνται δὲ πολλάκις καὶ τὰ γενόμενα ἀναμιμνήσκοντες καὶ τὰ μέλλοντα προεικάζοντες. τέλος δὲ ἑκάστοις τούτων ἕτερόν ἐστι, καὶ τρισὶν οὖσι τρία, τῷ μὲν συμβουλεύοντι τὸ συμφέρον καὶ βλαβερόν· ὁ μὲν γὰρ προτρέπων ὡς βέλτιον συμβουλεύει, ὁ δὲ ἀποτρέπων ὡς χεῖρον ἀποτρέπει, τὰ δ' ἄλλα πρὸς τοῦτο συμπαραλαμβάνει, ἢ δίκαιον ἢ ἄδικον, ἢ καλὸν ἢ αἰσχρόν· τοῖς δὲ δικαζομένοις τὸ δίκαιον καὶ τὸ ἄδικον, τὰ δ' ἄλλα καὶ οὗτοι συμ-

.αμβάνουσι πρὸς ταῦτα· τοῖς δ' ἐπαινοῦσι καὶ ψέ- 3
τὸ καλὸν καὶ τὸ αἰσχρόν, τὰ δ' ἄλλα καὶ οὗτοι πρὸς
ἐπαναφέρουσιν. σημεῖον δ' ὅτι τὸ εἰρημένον ἑκά-
τέλος· περὶ μὲν γὰρ τῶν ἄλλων ἐνίοτε οὐκ ἂν ἀμ-
τήσαιεν, οἷον ὁ δικαζόμενος ὡς οὐ γέγονεν ἢ οὐκ
εν· ὅτι δ' ἀδικεῖ, οὐδέ ποτ' ἂν ὁμολογήσειεν· οὐ-
ὶρ ἂν ἔδει δίκης. ὁμοίως δὲ καὶ οἱ συμβουλεύοντες
' ἄλλα πολλάκις προΐενται, ὡς δὲ ἀσύμφορα συμ-
ύουσιν ἢ ἀπ' ὠφελίμων ἀποτρέπουσιν οὐκ ἂν ὁμο-
αιεν· ὡς δ' οὐκ ἄδικον τοὺς ἀστυγείτονας κατα-
ῦσθαι καὶ τοὺς μηδὲν ἀδικοῦντας, πολλάκις οὐδὲν
ίζουσιν. ὁμοίως δὲ καὶ οἱ ἐπαινοῦντες καὶ οἱ ψέ-
; οὐ σκοποῦσιν εἰ συμφέροντα ἔπραξεν ἢ βλαβερά,
καὶ ἐν ἐπαίνῳ πολλάκις τιθέασιν ὅτι ὀλιγωρήσας
ῦτῷ λυσιτελοῦντος ἔπραξέ τι καλόν, οἷον Ἀχιλλέα
οῦσιν ὅτι ἐβοήθησε τῷ ἑταίρῳ Πατρόκλῳ εἰδὼς ὅτι
τὸν ἀποθανεῖν, ἐξὸν ζῆν. τούτῳ δὲ ὁ μὲν τοιοῦτος
ος κάλλιον, τὸ δὲ ζῆν συμφέρον. φανερὸν δὲ ἐκ
ρημένων ὅτι ἀνάγκη περὶ τούτων ἔχειν πρῶτον τὰς
σεις· τὰ γὰρ τεκμήρια καὶ τὰ εἰκότα καὶ τὰ σημεῖα
σεις εἰσὶ ῥητορικαί· ὅλος μὲν γὰρ συλλογισμὸς ἐκ
σεών ἐστι, τὸ δ' ἐνθύμημα συλλογισμός ἐστι συν-
ὼς ἐκ τῶν εἰρημένων προτάσεων. ἐπεὶ δὲ οὔτε
ῆναι οἷόν τε οὔτε πραχθήσεσθαι τὰ ἀδύνατα ἀλλὰ
νατά, οὐδὲ τὰ μὴ γενόμενα ἢ μὴ ἐσόμενα οὐχ οἷόν
μὲν πεπρᾶχθαι τὰ δὲ πραχθήσεσθαι, ἀναγκαῖον καὶ
μβουλεύοντι καὶ τῷ δικαζομένῳ καὶ τῷ ἐπιδεικτικῷ
προτάσεις περὶ δυνατοῦ καὶ ἀδυνάτου, καὶ εἰ γέγο-
μή, καὶ εἰ ἔσται ἢ μή. ἔτι δ' ἐπεὶ ἅπαντες καὶ ἐπαι-
ες καὶ ψέγοντες καὶ προτρέποντες καὶ ἀποτρέποντες
τηγοροῦντες καὶ ἀπολογούμενοι οὐ μόνον τὰ εἰρη-
δεικνύναι πειρῶνται ἀλλὰ καὶ ὅτι μέγα ἢ μικρὸν τὸ

3 ἀγαθὸν ἢ τὸ κακὸν ἢ τὸ καλὸν ἢ τὸ αἰσχρὸν ἢ τὸ δίκαιον ἢ τὸ ἄδικον, ἢ καθ' αὑτὰ λέγοντες ἢ πρὸς ἄλληλα ἀντιπαραβάλλοντες, δῆλον ὅτι δέοι ἂν καὶ περὶ μεγέθους καὶ μικρότητος καὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος προτάσεις ἔχειν, καὶ καθόλου καὶ περὶ ἑκάστου, οἷον τί μεῖζον ἀγαθὸν ἢ ἔλαττον ἢ ἀδίκημα ἢ δικαίωμα· ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων.

περὶ ὧν μὲν οὖν ἐξ ἀνάγκης δεῖ λαβεῖν τὰς προτάσεις, εἴρηται· μετὰ δὲ ταῦτα διαιρετέον ἰδίᾳ περὶ ἑκάστου τούτων, οἷον περὶ ὧν συμβουλὴ καὶ περὶ ὧν οἱ ἐπιδεικτικοὶ λόγοι, τρίτον δὲ περὶ ὧν αἱ δίκαι.

4 πρῶτον μὲν οὖν ληπτέον περὶ ποῖα ἀγαθὰ ἢ κακὰ ὁ συμβουλεύων συμβουλεύει, ἐπειδὴ οὐ περὶ ἅπαντα ἀλλ' ὅσα ἐνδέχεται καὶ γενέσθαι καὶ μή. ὅσα δὲ ἐξ ἀνάγκης ἢ ἔστιν ἢ ἔσται ἢ ἀδύνατον εἶναι ἢ γενέσθαι, περὶ δὲ τούτων οὐκ ἔστι συμβουλή. οὐδὲ δὴ περὶ τῶν ἐνδεχομένων ἁπάντων· ἔστι γὰρ καὶ φύσει ἔνια καὶ ἀπὸ τύχης γινόμενα ἀγαθὰ τῶν ἐνδεχομένων καὶ γίγνεσθαι καὶ μή, περὶ ὧν οὐδὲν πρὸ ἔργου τὸ συμβουλεύειν· ἀλλὰ δῆλον ὅτι περὶ ὅσων ἐστὶ τὸ βουλεύεσθαι. τοιαῦτα δ' ἐστὶν ὅσα πέφυκεν ἀνάγεσθαι εἰς ἡμᾶς, καὶ ὧν ἡ ἀρχὴ τῆς γενέσεως ἐφ' ἡμῖν ἐστίν· μέχρι γὰρ τούτου σκοποῦμεν, ἕως ἂν εὕρωμεν εἰ ἡμῖν δυνατὰ ἢ ἀδύνατα πρᾶξαι. καθ' ἕκαστον μὲν οὖν ἀκριβῶς διαριθμήσασθαι καὶ διαλαβεῖν εἰς εἴδη περὶ ὧν εἰώθασι χρηματίζειν, ἔτι δ' ὅσον ἐνδέχεται περὶ αὐτῶν διορίσαι κατὰ τὴν ἀλήθειαν, οὐ δεῖ κατὰ τὸν παρόντα καιρὸν ζητεῖν διὰ τὸ μήτε τῆς ῥητορικῆς εἶναι τέχνης ἀλλ' ἐμφρονεστέρας καὶ μᾶλλον ἀληθινῆς, πολλῷ δὲ πλείω δεδόσθαι καὶ νῦν αὐτῇ τῶν οἰκείων θεωρημάτων· ὅπερ γὰρ καὶ πρότερον εἰρηκότες τυγχάνομεν, ἀληθές ἐστιν, ὅτι ἡ ῥητορικὴ σύγκειται μὲν ἔκ τε τῆς ἀναλυτικῆς ἐπιστήμης καὶ τῆς περὶ τὰ ἤθη πολιτικῆς, ὁμοία δ' ἐστὶ

τὰ μὲν τῇ διαλεκτικῇ τὰ δὲ τοῖς σοφιστικοῖς λόγοις. ὅσῳ 4 δ' ἄν τις ἢ τὴν διαλεκτικὴν ἢ ταύτην μὴ καθάπερ ἂν δυνάμεις ἀλλ' ἐπιστήμας πειρᾶται κατασκευάζειν, λήσεται τὴν φύσιν αὐτῶν ἀφανίσας τῷ μεταβαίνειν ἐπισκευάζων εἰς ἐπιστήμας ὑποκειμένων τινῶν πραγμάτων, ἀλλὰ μὴ μόνον λόγων. ὅμως δ' ὅσα πρὸ ἔργου μέν ἐστι διελεῖν, ἔτι δ' ὑπολείπει σκέψιν τῇ πολιτικῇ ἐπιστήμῃ, εἴπωμεν καὶ νῦν.

σχεδὸν γάρ, περὶ ὧν βουλεύονται πάντες καὶ περὶ ἃ ἀγορεύουσιν οἱ συμβουλεύοντες, τὰ μέγιστα τυγχάνει πέντε τὸν ἀριθμὸν ὄντα· ταῦτα δ' ἐστὶ περί τε πόρων, καὶ πολέμου καὶ εἰρήνης, ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας, καὶ τῶν εἰσαγομένων καὶ ἐξαγομένων, καὶ περὶ νομοθεσίας. ὥστε περὶ μὲν πόρων τὸν μέλλοντα συμβουλεύσειν δέοι ἂν τὰς προσόδους τῆς πόλεως εἰδέναι τίνες καὶ πόσαι, ὅπως εἴτε τις παραλείπεται προστεθῇ καὶ εἴ τις ἐλάττων αὐξηθῇ, ἔτι δὲ τὰς δαπάνας τῆς πόλεως ἁπάσας, ὅπως εἴ τις περίεργος ἀφαιρεθῇ καὶ εἴ τις μείζων ἐλάττων γένηται· οὐ γὰρ μόνον πρὸς τὰ ὑπάρχοντα προστιθέντες πλουσιώτεροι γίνονται, ἀλλὰ καὶ ἀφαιροῦντες τῶν δαπανημάτων. ταῦτα δ' οὐ μόνον ἐκ τῆς περὶ τὰ ἴδια ἐμπειρίας ἐνδέχεται συνορᾶν, ἀλλ' ἀναγκαῖον καὶ τῶν παρὰ τοῖς ἄλλοις εὑρημένων ἱστορικὸν εἶναι πρὸς τὴν περὶ τούτων συμβουλήν. περὶ δὲ πολέμου καὶ εἰρήνης τὴν δύναμιν εἰδέναι τῆς πόλεως, ὁπόση τε ὑπάρχει ἤδη καὶ πόσην ἐνδέχεται ὑπάρξαι, καὶ ποία τις ἥ τε ὑπάρχουσά ἐστι καὶ ἥτις ἐνδέχεται προσγενέσθαι, ἔτι δὲ πολέμους τίνας καὶ πῶς πεπολέμηκεν. οὐ μόνον δὲ τῆς οἰκείας πόλεως ἀλλὰ καὶ τῶν ὁμόρων ταῦτα ἀναγκαῖον εἰδέναι. ἢ καὶ πρὸς οὓς ἐπίδοξον πολεμεῖν, ὅπως πρὸς μὲν τοὺς κρείττους εἰρηνεύηται, πρὸς δὲ τοὺς ἥττους ἐπ' αὐτοῖς ᾖ τὸ πολεμεῖν. καὶ τὰς δυνάμεις, πότερον ὅμοιαι

4 ἢ ἀνόμοιαι· ἔστι γὰρ καὶ ταύτῃ πλεονεκτεῖν ἢ ἐλαττοῦσθαι. ἀναγκαῖον δὲ καὶ πρὸς ταῦτα μὴ μόνον τοὺς οἰκείους πολέμους τεθεωρηκέναι ἀλλὰ καὶ τοὺς τῶν ἄλλων, πῶς ἀποβαίνουσιν· ἀπὸ γὰρ τῶν ὁμοίων τὰ ὅμοια γίγνεσθαι πέφυκεν. ἔτι δὲ περὶ φυλακῆς τῆς χώρας μὴ λανθάνειν πῶς φυλάττεται, ἀλλὰ καὶ τὸ πλῆθος εἰδέναι τῆς φυλακῆς καὶ τὸ εἶδος καὶ τοὺς τόπους τῶν φυλακτηρίων (τοῦτο δ' ἀδύνατον μὴ ἔμπειρον ὄντα τῆς χώρας), ἵν' εἴτ' ἐλάττων ἡ φυλακὴ προστεθῇ καὶ εἴ τις περίεργος ἀφαιρεθῇ καὶ τοὺς ἐπιτηδείους τόπους τηρῶσι μᾶλλον. ἔτι δὲ περὶ τροφῆς, πόση δαπάνη ἱκανὴ τῇ πόλει καὶ ποία ἡ αὐτοῦ τε γιγνομένη καὶ εἰσαγώγιμος, καὶ τίνων τ' ἐξαγωγῆς δέονται καὶ τίνων εἰσαγωγῆς, ἵνα πρὸς τούτους καὶ συνθῆκαι καὶ συμβολαὶ γίγνωνται· πρὸς δύο γὰρ διαφυλάττειν ἀναγκαῖον ἀνεγκλήτους τοὺς πολίτας, πρός τε τοὺς κρείττους καὶ πρὸς τοὺς εἰς ταῦτα χρησίμους. εἰς δ' ἀσφάλειαν ἅπαντα μὲν ταῦτα ἀναγκαῖον δύνασθαι θεωρεῖν, οὐκ ἐλάχιστον δὲ περὶ νομοθεσίας ἐπαΐειν· ἐν γὰρ τοῖς νόμοις ἐστὶν ἡ σωτηρία τῆς πόλεως, ὥστ' ἀναγκαῖον εἰδέναι πόσα τ' ἐστὶ πολιτειῶν εἴδη, καὶ ποῖα συμφέρει ἑκάστῃ, καὶ ὑπὸ τίνων φθείρεσθαι πέφυκε καὶ οἰκείων τῆς πολιτείας καὶ ἐναντίων. λέγω δὲ τὸ ὑπὸ οἰκείων φθείρεσθαι, ὅτι ἔξω τῆς βελτίστης πολιτείας αἱ ἄλλαι πᾶσαι καὶ ἀνιέμεναι καὶ ἐπιτεινόμεναι φθείρονται, οἷον δημοκρατία οὐ μόνον ἀνιεμένη ἀσθενεστέρα γίνεται ὥστε τέλος ἥξει εἰς ὀλιγαρχίαν, ἀλλὰ καὶ ἐπιτεινομένη σφόδρα, ὥσπερ καὶ ἡ γρυπότης καὶ ἡ σιμότης οὐ μόνον ἀνιέμενα ἔρχεται εἰς τὸ μέσον, ἀλλὰ καὶ σφόδρα γρυπὰ γινόμενα ἢ σιμὰ οὕτω διατίθεται ὥστε μηδὲ μυκτῆρα δοκεῖν εἶναι. χρήσιμον δὲ πρὸς τὰς νομοθεσίας τὸ μὴ μόνον ἐπαΐειν τίς πολιτεία συμφέρει ἐκ τῶν παρεληλυθότων θεωροῦντι, ἀλλὰ καὶ τὰς παρὰ τοῖς ἄλλοις εἰδέ-

ναι, αἱ ποῖαι τοῖς ποίοις ἁρμόττουσιν. ὥστε δῆλον ὅτι 4
πρὸς μὲν τὴν νομοθεσίαν αἱ τῆς γῆς περίοδοι χρήσιμοι (ἐντεῦθεν γὰρ λαβεῖν ἔστι τοὺς τῶν ἐθνῶν νόμους), πρὸς δὲ τὰς πολιτικὰς συμβουλὰς αἱ τῶν περὶ τὰς πράξεις γραφόντων ἱστορίαι· ἅπαντα δὲ ταῦτα πολιτικῆς ἀλλ' οὐ ῥητορικῆς ἔργον ἐστίν.

περὶ ὧν μὲν οὖν ἔχειν δεῖ τὸν μέλλοντα συμβουλεύειν, τὰ μέγιστα τοσαῦτά ἐστιν· ἐξ ὧν δὲ δεῖ καὶ περὶ τούτων καὶ περὶ τῶν ἄλλων προτρέπειν ἢ ἀποτρέπειν, λέγωμεν πάλιν.

σχεδὸν δὲ καὶ ἰδίᾳ ἑκάστῳ καὶ κοινῇ πᾶσι σκοπός τις 5
ἐστίν, οὗ στοχαζόμενοι καὶ αἱροῦνται καὶ φεύγουσιν· καὶ τοῦτ' ἐστὶν ἐν κεφαλαίῳ εἰπεῖν ἥ τ' εὐδαιμονία καὶ τὰ μόρια αὐτῆς. ὥστε παραδείγματος χάριν λάβωμεν τί ἐστιν ὡς ἁπλῶς εἰπεῖν ἡ εὐδαιμονία, καὶ ἐκ τίνων τὰ μόρια ταύτης· περὶ γὰρ ταύτης καὶ τῶν εἰς ταύτην συντεινόντων καὶ τῶν ἐναντίων ταύτῃ αἵ τε προτροπαὶ καὶ αἱ ἀποτροπαὶ πᾶσαί εἰσιν· τὰ μὲν γὰρ παρασκευάζοντα ταύτην ἢ τῶν μορίων τι, ἢ μεῖζον ἀντ' ἐλάττονος ποιοῦντα, δεῖ πράττειν, τὰ δὲ φθείροντα ἢ ἐμποδίζοντα ἢ τὰ ἐναντία ποιοῦντα μὴ πράττειν. ἔστω δὴ εὐδαιμονία εὐπραξία μετ' ἀρετῆς, ἢ αὐτάρκεια ζωῆς, ἢ ὁ βίος ὁ μετ' ἀσφαλείας ἥδιστος, ἢ εὐθηνία κτημάτων καὶ σωμάτων μετὰ δυνάμεως φυλακτικῆς τε καὶ πρακτικῆς τούτων· σχεδὸν γὰρ τούτων ἓν ἢ πλείω τὴν εὐδαιμονίαν ὁμολογοῦσιν εἶναι ἅπαντες. εἰ δή ἐστιν ἡ εὐδαιμονία τοιοῦτον, ἀνάγκη αὐτῆς εἶναι μέρη εὐγένειαν, πολυφιλίαν, χρηστοφιλίαν, πλοῦτον, εὐτεκνίαν, πολυτεκνίαν, εὐγηρίαν, ἔτι τὰς τοῦ σώματος ἀρετάς, οἷον ὑγίειαν κάλλος ἰσχὺν μέγεθος δύναμιν ἀγωνιστικήν, δόξαν, τιμήν, εὐτυχίαν, ἀρετήν· οὕτω γὰρ ἂν αὐταρκέστατος εἴη, εἰ ὑπάρχοι αὐτῷ τά τ' ἐν αὐτῷ καὶ τὰ ἐκτὸς ἀγαθά· οὐ γὰρ ἔστιν ἄλλα παρὰ

5 ταῦτα. ἔστι δ' ἐν αὐτῷ μὲν τὰ περὶ ψυχὴν καὶ τὰ ἐν σώματι, ἔξω δὲ εὐγένεια καὶ φίλοι καὶ χρήματα καὶ τιμή. ἔτι δὲ προσήκειν οἰόμεθα δυνάμεις ὑπάρχειν καὶ τύχην· οὕτω γὰρ ἂν ἀσφαλέστατος ὁ βίος εἴη. λάβωμεν τοίνυν ὁμοίως καὶ τούτων ἕκαστον τί ἐστιν.

εὐγένεια μὲν οὖν ἐστὶν ἔθνει μὲν καὶ πόλει τὸ αὐτόχθονας ἢ ἀρχαίους εἶναι, καὶ ἡγεμόνας τοὺς πρώτους ἐπιφανεῖς, καὶ πολλοὺς ἐπιφανεῖς γεγονέναι ἐξ αὐτῶν ἐπὶ τοῖς ζηλουμένοις· ἰδίᾳ δὲ εὐγένεια ἢ ἀπ' ἀνδρῶν ἢ ἀπὸ γυναικῶν, καὶ γνησιότης ἀπ' ἀμφοῖν, καὶ ὥσπερ ἐπὶ πόλεως τούς τε πρώτους γνωρίμους ἢ ἐπ' ἀρετῇ ἢ πλούτῳ ἢ ἄλλῳ τῳ τῶν τιμωμένων, καὶ πολλοὺς ἐπιφανεῖς ἐκ τοῦ γένους καὶ ἄνδρας καὶ γυναῖκας καὶ νέους καὶ πρεσβυτέρους. εὐτεκνία δὲ καὶ πολυτεκνία οὐκ ἄδηλα· ἔστι δὲ τῷ κοινῷ μὲν [εὐτεκνία] νεότης ἂν ᾖ πολλὴ καὶ ἀγαθή, ἀγαθὴ δὲ κατ' ἀρετὴν σώματος, οἷον μέγεθος κάλλος ἰσχὺν δύναμιν ἀγωνιστικήν· ψυχῆς δὲ σωφροσύνη καὶ ἀνδρία νέου ἀρεταί. ἰδίᾳ δὲ εὐτεκνία καὶ πολυτεκνία τὸ τὰ ἴδια τέκνα πολλὰ καὶ τοιαῦτα εἶναι, καὶ θήλεα καὶ ἄρρενα· θηλειῶν δὲ ἀρετὴ σώματος μὲν κάλλος καὶ μέγεθος, ψυχῆς δὲ σωφροσύνη καὶ φιλεργία ἄνευ ἀνελευθερίας. ὁμοίως δὲ καὶ ἰδίᾳ καὶ κοινῇ καὶ κατ' ἄνδρας καὶ κατὰ γυναῖκας δεῖ ζητεῖν ἕκαστον ὑπάρχειν τῶν τοιούτων· ὅσοις γὰρ τὰ κατὰ γυναῖκας φαῦλα ὥσπερ Λακεδαιμονίοις, σχεδὸν κατὰ τὸ ἥμισυ οὐκ εὐδαιμονοῦσιν. πλούτου δὲ μέρη νομίσματος πλῆθος, γῆς, χωρίων κτῆσις, ἔτι δὲ ἐπίπλων κτῆσις καὶ βοσκημάτων καὶ ἀνδραπόδων πλήθει καὶ μεγέθει καὶ κάλλει διαφερόντων, ταῦτα δὲ πάντα ἀσφαλῆ καὶ ἐλευθέρια καὶ χρήσιμα. ἔστι δὲ χρήσιμα μὲν μᾶλλον τὰ κάρπιμα, ἐλευθέρια δὲ τὰ πρὸς ἀπόλαυσιν· κάρπιμα δὲ λέγω ἀφ' ὧν αἱ πρόσοδοι, ἀπολαυστικὰ δὲ ἀφ' ὧν μηδὲν παρὰ τὴν χρῆσιν γίγνεται,

τι καὶ ἄξιον. ὅρος δὲ ἀσφαλείας μὲν τὸ ἐνταῦθα καὶ ἵτω κεκτῆσθαι ὥστ' ἐφ' αὑτῷ εἶναι τὴν χρῆσιν αὐτῶν· ιῦ τε οἰκεῖα εἶναι ἢ μή, ὅταν ἐφ' αὑτῷ τὸ ἀλλοτριῶσαι· 'γω δὲ ἀπαλλοτρίωσιν δόσιν καὶ πρᾶσιν. ὅλως δὲ τὸ λουτεῖν ἐστὶν ἐν τῷ χρῆσθαι μᾶλλον ἢ ἐν τῷ κεκτῆσθαι· ιὶ γὰρ ἐνέργειά ἐστι τῶν τοιούτων καὶ ἡ χρῆσις πλοῦις. εὐδοξία δ' ἐστὶ τὸ ὑπὸ πάντων σπουδαῖον ὑποιμβάνεσθαι, ἢ τοιοῦτόν τι ἔχειν οὗ πάντες ἐφίενται ἢ ; πολλοὶ ἢ οἱ ἀγαθοὶ ἢ οἱ φρόνιμοι. τιμὴ δ' ἐστὶ μὲν ημεῖον εὐεργετικῆς εὐδοξίας, τιμῶνται δὲ δικαίως μὲν ιὶ μάλιστα οἱ εὐεργετηκότες, οὐ μὴν ἀλλὰ τιμᾶται καὶ δυνάμενος εὐεργετεῖν· εὐεργεσία δὲ ἢ εἰς σωτηρίαν καὶ ια αἴτια τοῦ εἶναι, ἢ εἰς πλοῦτον, ἢ εἴς τι τῶν ἄλλων γαθῶν, ὧν μὴ ῥᾳδία ἡ κτῆσις ἢ ὅλως ἢ ἐνταῦθα ἢ ποτέ· ολλοὶ γὰρ διὰ μικρὰ δοκοῦντα τιμῆς τυγχάνουσιν, ἀλλ' ; τόποι καὶ οἱ καιροὶ αἴτιοι. μέρη δὲ τιμῆς θυσίαι, μνῆαι ἐν μέτροις καὶ ἄνευ μέτρων, γέρα, τεμένη, προεδρίαι, άφοι, εἰκόνες, τροφαὶ δημόσιαι, τὰ βαρβαρικά, οἷον ροσκυνήσεις καὶ ἐκστάσεις, δῶρα τὰ παρ' ἑκάστοις τίια. καὶ γὰρ τὸ δῶρόν ἐστι κτήματος δόσις καὶ τιμῆς σηιεῖον, διὸ καὶ οἱ φιλοχρήματοι καὶ οἱ φιλότιμοι ἐφίενται ὐτῶν· ἀμφοτέροις γὰρ ἔχει ὧν δέονται· καὶ γὰρ κτῆμά στιν, οὗ ἐφίενται οἱ φιλοχρήματοι, καὶ τιμὴν ἔχει, οὗ οἱ ιλότιμοι. σώματος δὲ ἀρεταὶ ὑγίεια, αὕτη δὲ οὕως ὥστε ἀνόσους εἶναι χρωμένους τοῖς σώμασιν· πολλοὶ ὰρ ὑγιαίνουσιν ὥσπερ Ἡρόδικος λέγεται, οὓς οὐδεὶς ἂν ὐδαιμονίσειε τῆς ὑγιείας διὰ τὸ πάντων ἀπέχεσθαι τῶν ἀνθρωπίνων ἢ τῶν πλείστων. κάλλος δὲ ἕτερον καθ' ἑκάστην ἡλικίαν ἐστίν. νέου μὲν οὖν κάλλος τὸ πρὸς τοὺς πόνους χρήσιμον ἔχειν τὸ σῶμα τούς τε πρὸς δρόμον καὶ πρὸς βίαν, ἡδὺν ὄντα ἰδεῖν πρὸς ἀπόλαυσιν, διὸ οἱ πένταθλοι κάλλιστοι, ὅτι πρὸς βίαν καὶ πρὸς τάχος

5 ἅμα πεφύκασιν· ἀκμάζοντος δὲ πρὸς μὲν πόνους το πολεμικούς, ηδὺν δὲ εἶναι δοκεῖν μετὰ φοβερότητος· γ ροντος δὲ πρὸς μὲν πόνους τοὺς ἀναγκαίους ἱκανόν, ἄλ πον δὲ διὰ τὸ μηδὲν ἔχειν ὧν τὸ γῆρας λωβᾶται. ἰσχὺς ἐστὶ μὲν δύναμις τοῦ κινεῖν ἕτερον ὡς βούλεται, ἀνάγ δὲ κινεῖν ἕτερον ἢ ἕλκοντα ἢ ὠθοῦντα ἢ αἴροντα ἢ πι ζοντα ἢ συνθλίβοντα, ὥστε ὁ ἰσχυρὸς ἢ πᾶσιν ἢ τούτι τισίν ἐστιν ἰσχυρός. μεγέθους δὲ ἀρετὴ τὸ ὑπερέχε κατὰ μῆκος καὶ βάθος καὶ πλάτος τῶν πολλῶν τοσού μείζονι ὥστε μὴ βραδυτέρας ποιεῖν τὰς κινήσεις διὰ τ ὑπερβολήν. ἀγωνιστικὴ δὲ σώματος ἀρετὴ σύγκε ται ἐκ μεγέθους καὶ ἰσχύος [καὶ τάχους]· καὶ γὰρ ὁ ταχ ἰσχυρός ἐστιν· ὁ γὰρ δυνάμενος τὰ σκέλη ῥιπτεῖν πι καὶ κινεῖν ταχὺ καὶ πόρρω δρομικός, ὁ δὲ θλίβειν κ κατέχειν παλαιστικός, ὁ δὲ ὦσαι τῇ πληγῇ πυκτικός, ὁ ἀμφοτέροις τούτοις παγκρατιαστικός, ὁ δὲ πᾶσι πέντι θλος. εὐγηρία δ' ἐστὶ βραδυτὴς γήρως μετ' ἀλυπία οὔτε γὰρ εἰ ταχὺ γηράσκει, εὔγηρως, οὔτ' εἰ μόγις μ λυπηρῶς δέ. ἔστι δὲ καὶ ἐκ τῶν τοῦ σώματος ἀρετῶν κ τύχης· μὴ ἄνοσος γὰρ ὢν μηδὲ ἰσχυρὸς οὐκ ἔσται ἀπι θὴς οὐδ' ἄλυπος, καὶ πολυχρόνιος οὐκ ἄνευ τύχης δι μείνειεν ἄν. ἔστι δέ τις καὶ χωρὶς ἰσχύος καὶ ὑγιείας ἄλλ δύναμις μακροβιότητος· πολλοὶ γὰρ ἄνευ τῶν τοῦ σώ ματος ἀρετῶν μακρόβιοί εἰσιν· ἀλλ' οὐδὲν ἡ ἀκριβολο γία χρήσιμος ἡ περὶ τούτων εἰς τὰ νῦν. πολυφιλί δὲ καὶ χρηστοφιλία οὐκ ἄδηλα τοῦ φίλου ὡρισμένου, ὅτ ἔστιν ὁ τοιοῦτος φίλος ὅστις, ἃ οἴεται ἀγαθὰ εἶναι ἐκει νῳ, πρακτικός ἐστιν αὐτῶν δι' ἐκεῖνον. ᾧ δὴ πολλ τοιοῦτοι, πολύφιλος, ᾧ δὲ καὶ ἐπιεικεῖς ἄνδρες, χρηστό φιλος. εὐτυχία δ' ἐστίν, ὧν ἡ τύχη ἀγαθῶν αἰτί ταῦτα γίγνεσθαι καὶ ὑπάρχειν ἢ πάντα ἢ τὰ πλεῖστα ἢ τ μέγιστα. αἰτία δ' ἐστὶν ἡ τύχη ἐνίων μὲν ὧν καὶ αἱ τέχνα

πολλῶν δὲ καὶ ἀτέχνων, οἷον ὅσων ἡ φύσις· ἐνδέχεται δὲ 5
καὶ παρὰ φύσιν εἶναι· ὑγιείας μὲν γὰρ τέχνη αἰτία, κάλλους δὲ καὶ μεγέθους φύσις. ὅλως δὲ τὰ τοιαῦτα τῶν ἀγαθῶν ἐστὶν ἀπὸ τύχης, ἐφ' οἷς ἐστὶν ὁ φθόνος. ἔστι δὲ καὶ τῶν παρὰ λόγον ἀγαθῶν αἰτία τύχη, οἷον εἰ οἱ ἄλλοι αἰσχροὶ ἀδελφοί, ὁ δὲ καλός, ἢ οἱ ἄλλοι μὴ εἶδον τὸν θησαυρόν, ὁ δ' εὗρεν, ἢ εἰ τοῦ πλησίον ἔτυχε τὸ βέλος, τούτου δὲ μή, ἢ εἰ μὴ ἦλθε μόνος ἀεὶ φοιτῶν, οἱ δὲ ἅπαξ ἐλθόντες διεφθάρησαν· πάντα γὰρ τὰ τοιαῦτα εὐτυχήματα δοκεῖ εἶναι. περὶ δὲ ἀρετῆς, ἐπείπερ οἰκειότατος ὁ περὶ τοὺς ἐπαίνους τόπος, ὅταν περὶ ἐπαίνου ποιώμεθα τὸν λόγον, τότε διοριστέον.

ὧν μὲν οὖν δεῖ στοχάζεσθαι προτρέποντα ὡς ἐσομένων ἢ ὑπαρχόντων, καὶ ὧν ἀποτρέποντα, φανερόν· τὰ 6
γὰρ ἐναντία τούτων ἐστίν. ἐπεὶ δὲ πρόκειται τῷ συμβουλεύοντι σκοπὸς τὸ συμφέρον, βουλεύονται γὰρ οὐ περὶ τοῦ τέλους ἀλλὰ περὶ τῶν πρὸς τὸ τέλος, ταῦτα δ' ἐστὶ τὰ συμφέροντα κατὰ τὰς πράξεις, τὸ δὲ συμφέρον ἀγαθόν, ληπτέον ἂν εἴη τὰ στοιχεῖα περὶ ἀγαθοῦ καὶ συμφέροντος ἁπλῶς. ἔστω δὴ ἀγαθὸν ὃ ἂν αὐτὸ ἑαυτοῦ ἕνεκα ᾖ αἱρετόν, καὶ οὗ ἕνεκα ἄλλο αἱρούμεθα, καὶ οὗ ἐφίεται πάντα ἢ πάντα τὰ αἴσθησιν ἔχοντα ἢ νοῦν, ἢ εἰ λάβοι νοῦν· καὶ ὅσα ὁ νοῦς ἂν ἑκάστῳ ἀποδοίη, καὶ ὅσα ὁ περὶ ἕκαστον νοῦς ἀποδίδωσιν ἑκάστῳ, τοῦτό ἐστιν ἑκάστῳ ἀγαθόν, καὶ οὗ παρόντος εὖ διάκειται καὶ αὐτάρκως ἔχει, καὶ τὸ αὔταρκες, καὶ τὸ ποιητικὸν ἢ φυλακτικὸν τῶν τοιούτων, καὶ ᾧ ἀκολουθεῖ τὰ τοιαῦτα, καὶ τὰ κωλυτικὰ τῶν ἐναντίων καὶ τὰ φθαρτικά. ἀκολουθεῖ δὲ διχῶς· ἢ γὰρ ἅμα ἢ ὕστερον, οἷον τῷ μὲν μανθάνειν τὸ ἐπίστασθαι ὕστερον, τῷ δὲ ὑγιαίνειν τὸ ζῆν ἅμα. καὶ τὰ ποιητικὰ [τριχῶς,] τὰ μὲν ὡς τὸ ὑγιαίνειν ὑγιείας, τὰ δὲ ὡς σιτία ὑγιείας, τὰ δὲ ὡς τὸ γυμνάζεσθαι, ὅτι ὡς ἐπὶ τὸ

6 πολὺ ποιεῖ ὑγίειαν. τούτων δὲ κειμένων ἀνάγκη τάς τε λήψεις τῶν ἀγαθῶν ἀγαθὰς εἶναι καὶ τὰς τῶν κακῶν ἀποβολάς· ἀκολουθεῖ γὰρ τῷ μὲν τὸ μὴ ἔχειν τὸ κακόν, τῷ δὲ τὸ ἔχειν ἀγαθὸν ὕστερον. καὶ ἡ ἀντ' ἐλάττονος ἀγαθοῦ μείζονος λῆψις καὶ ἀντὶ μείζονος κακοῦ ἐλάττονος· ᾧ γὰρ ὑπερέχει τὸ μεῖζον τοῦ ἐλάττονος, τοῦτο γίνεται τοῦ μὲν λῆψις τοῦ δ' ἀποβολή. καὶ τὰς ἀρετὰς δὲ ἀνάγκη ἀγαθὸν εἶναι· κατὰ γὰρ ταύτας εὖ τε διάκεινται οἱ ἔχοντες, καὶ ποιητικαὶ τῶν ἀγαθῶν εἰσὶ καὶ πρακτικαί. περὶ ἑκάστης δέ, καὶ τίς καὶ ποία, χωρὶς ῥητέον. καὶ τὴν ἡδονὴν ἀγαθὸν εἶναι· πάντα γὰρ ἐφίεται τὰ ζῷα αὐτῆς τῇ φύσει. ὥστε καὶ τὰ ἡδέα καὶ τὰ καλὰ ἀνάγκη ἀγαθὰ εἶναι· τὰ μὲν γὰρ ἡδονῆς ποιητικά, τῶν δὲ καλῶν τὰ μὲν ἡδέα τὰ δὲ αὐτὰ καθ' ἑαυτὰ αἱρετά ἐστιν.

ὡς δὲ καθ' ἓν εἰπεῖν, ἀνάγκη ἀγαθὰ εἶναι τάδε. εὐδαιμονία· καὶ γὰρ καθ' αὑτὸ αἱρετὸν καὶ αὔταρκες, καὶ ἕνεκα αὐτῆς πολλὰ αἱρούμεθα. δικαιοσύνη, ἀνδρία, σωφροσύνη, μεγαλοψυχία, μεγαλοπρέπεια καὶ αἱ ἄλλαι αἱ τοιαῦται ἕξεις· ἀρεταὶ γὰρ ψυχῆς. καὶ ὑγίεια καὶ κάλλος καὶ τὰ τοιαῦτα· ἀρεταὶ γὰρ σώματος καὶ ποιητικαὶ πολλῶν, οἷον ἡ ὑγίεια καὶ ἡδονῆς καὶ τοῦ ζῆν, διὸ καὶ ἄριστον δοκεῖ εἶναι, ὅτι δύο τῶν τοῖς πολλοῖς τιμιωτάτων αἴτιόν ἐστιν, ἡδονῆς καὶ τοῦ ζῆν. πλοῦτος· ἀρετὴ γὰρ κτήσεως καὶ ποιητικὸν πολλῶν. φίλος καὶ φιλία· καὶ γὰρ καθ' αὑτὸν αἱρετὸς ὁ φίλος καὶ ποιητικὸς πολλῶν. τιμή, δόξα· καὶ γὰρ ἡδέα καὶ ποιητικὰ πολλῶν, καὶ ἀκολουθεῖ αὐτοῖς ὡς ἐπὶ τὸ πολὺ τὸ ὑπάρχειν ἐφ' οἷς τιμῶνται. δύναμις τοῦ λέγειν, τοῦ πράττειν· ποιητικὰ γὰρ πάντα τὰ τοιαῦτα ἀγαθῶν. ἔτι εὐφυΐα, μνῆμαι, εὐμάθεια, ἀγχίνοια, πάντα τὰ τοιαῦτα· ποιητικαὶ γὰρ αὗται ἀγαθῶν αἱ δυνάμεις εἰσίν. ὁμοίως δὲ καὶ αἱ ἐπιστῆμαι πᾶσαι καὶ αἱ τέχναι καὶ τὸ ζῆν· εἰ γὰρ μηδὲν ἄλλο ἕποιτο ἀγαθόν,

καθ' αὑτὸ αἱρετόν ἐστιν. καὶ τὸ δίκαιον· συμφέρον γάρ 6
τι κοινῇ ἐστίν.

ταῦτα μὲν οὖν σχεδὸν τὰ ὁμολογούμενα ἀγαθά ἐστιν· ἐν δὲ τοῖς ἀμφισβητησίμοις ἐκ τῶνδε οἱ συλλογισμοί. ᾧ τὸ ἐναντίον κακόν, τοῦτ' ἀγαθόν. καὶ οὗ τὸ ἐναντίον τοῖς ἐχθροῖς συμφέρει· οἷον εἰ τὸ δειλοὺς εἶναι μάλιστα συμφέρει τοῖς ἐχθροῖς, δῆλον ὅτι ἀνδρία μάλιστα ὠφέλιμον τοῖς πολίταις. καὶ ὅλως ὃ οἱ ἐχθροὶ βούλονται ἢ ἐφ' ᾧ χαίρουσι, τοὐναντίον τούτῳ ὠφέλιμον φαίνεται· διὸ εἴρηται

ἦ κεν γηθήσαι Πρίαμος.

ἔστι δ' οὐκ ἀεὶ τοῦτο, ἀλλ' ὡς ἐπὶ τὸ πολύ· οὐδὲν γὰρ κωλύει ἐνίοτε ταὐτὸ συμφέρειν τοῖς ἐναντίοις· ὅθεν λέγεται ὡς τὰ κακὰ συνάγει τοὺς ἀνθρώπους, ὅταν ᾖ ταὐτὸ βλαβερὸν ἀμφοῖν. καὶ οὗ μή ἐστιν ὑπερβολή, τοῦτο ἀγαθόν, ὃ δ' ἂν ᾖ μεῖζον ἢ δεῖ, κακόν. καὶ οὗ ἕνεκα πολλὰ πεπόνηται ἢ δεδαπάνηται· φαινόμενον γὰρ ἀγαθὸν ἤδη, καὶ ὡς τέλος τὸ τοιοῦτον ὑπολαμβάνεται, καὶ τέλος πολλῶν· τὸ δὲ τέλος ἀγαθόν. ὅθεν ταῦτ' εἴρηται,

καδδέ κεν εὐχωλὴν Πριάμῳ

καὶ

αἰσχρόν τοι δηρόν τε μένειν·

καὶ ἡ παροιμία δέ, τὸ ἐπὶ θύραις τὴν ὑδρίαν. καὶ οὗ οἱ πολλοὶ ἐφίενται, καὶ τὸ περιμάχητον φαινόμενον· οὗ γὰρ πάντες ἐφίενται, τὸ ἀγαθὸν ἦν, οἱ δὲ πολλοὶ ὥσπερ πάντες φαίνονται. καὶ τὸ ἐπαινετόν· οὐδεὶς γὰρ τὸ μὴ ἀγαθὸν ἐπαινεῖ. καὶ ὃ οἱ ἐχθροὶ [καὶ οἱ φαῦλοι] ἐπαινοῦσιν· ὥσπερ γὰρ πάντες ἤδη ὁμολογοῦσιν, εἰ καὶ οἱ κακῶς πεπονθότες· διὰ γὰρ τὸ φανερὸν ὁμολογοῖεν ἄν, ὥσπερ καὶ φαῦλοι [οὓς οἱ φίλοι ψέγουσι καὶ ἀγαθοὶ] οὓς οἱ ἐχθροὶ μὴ ψέγουσιν. διὸ λελοιδορῆσθαι ὑπέλαβον Κορίνθιοι ὑπὸ Σιμωνίδου ποιήσαντος

6 *Κορινθίοις δ' οὐ μέμφεται τὸ Ἴλιον.*

καὶ ὃ τῶν φρονίμων τις ἢ τῶν ἀγαθῶν ἀνδρῶν ἢ γυνι κῶν προέκρινεν, οἷον Ὀδυσσέα Ἀθηνᾶ καὶ Ἑλένην Θ σεὺς καὶ Ἀλέξανδρον αἱ θεαὶ καὶ Ἀχιλλέα Ὅμηρος. ὅλως τὰ προαιρετά· προαιροῦνται δὲ πράττειν τά τε εἰρ μένα καὶ τὰ τοῖς ἐχθροῖς κακὰ καὶ τὰ τοῖς φίλοις ἀγα καὶ τὰ δυνατά. ταῦτα δὲ διχῶς ἐστί, τά τε γενόμενα [καὶ τὰ ῥᾳδίως γιγνόμενα. ῥᾴδια δὲ ὅσα ἢ ἄνευ λύπη ἐν ὀλίγῳ χρόνῳ· τὸ γὰρ χαλεπὸν ὁρίζεται ἢ λύπῃ ἢ πλ θει χρόνου. καὶ ἐὰν ὡς βούλονται· βούλονται δὲ ἢ μηδ κακὸν ἢ ἔλαττον τοῦ ἀγαθοῦ· τοῦτο δ' ἔσται, ἐὰν ἢ λα θάνῃ [ἡ τιμωρία] ἢ μικρὰ ᾖ. καὶ τὰ ἴδια, καὶ ἃ μηδε καὶ τὰ περιττά· τιμὴ γὰρ οὕτω μᾶλλον. καὶ τὰ ἁρμ τοντα αὐτοῖς· τοιαῦτα δὲ τά τε προσήκοντα κατὰ γέ καὶ δύναμιν, καὶ ὧν ἐλλείπειν οἴονται, κἂν μικρὰ ᾖ· ο δὲν γὰρ ἧττον προαιροῦνται ταῦτα πράττειν. καὶ εὐκατέργαστα· δυνατὰ γὰρ ὡς ῥᾴδια· εὐκατέργαστα ἃ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ ὅμοιοι ἢ οἱ ἥττους κατώρθωσ καὶ ἃ χαριοῦνται τοῖς φίλοις, ἢ ἃ ἀπεχθήσονται τοῖς ἐ θροῖς. καὶ ὅσα οὓς θαυμάζουσι προαιροῦνται πράττε καὶ πρὸς ἃ εὐφυεῖς εἰσὶ καὶ ἔμπειροι· ῥᾷον γὰρ κατο θώσειν οἴονται. καὶ ἃ μηδεὶς φαῦλος· ἐπαινετὰ γὰρ μᾶ λον. καὶ ὧν ἐπιθυμοῦντες τυγχάνουσιν· οὐ γὰρ μόν ἡδὺ ἀλλὰ καὶ βέλτιον φαίνεται. καὶ μάλιστα ἕκαστοι πρ ἃ τοιοῦτοι, οἷον οἱ φιλόνικοι εἰ νίκη ἔσται, οἱ φιλότιμ εἰ τιμή, οἱ φιλοχρήματοι εἰ χρήματα, καὶ οἱ ἄλλοι ὡσαύτ

περὶ μὲν οὖν ἀγαθοῦ καὶ τοῦ συμφέροντος ἐκ τούτ
7 *ληπτέον τὰς πίστεις· ἐπεὶ δὲ πολλάκις ὁμολογοῦν ἄμφω συμφέρειν περὶ τοῦ μᾶλλον ἀμφισβητοῦσιν, ἐφ ξῆς ἂν εἴη λεκτέον περὶ τοῦ μείζονος ἀγαθοῦ καὶ τ μᾶλλον συμφέροντος. ἔστω δὴ ὑπερέχον μὲν τοσοῦτ καὶ ἔτι, ὑπερεχόμενον δὲ τὸ ἐνυπάρχον. καὶ μεῖζον μ*

: πλεῖον πρὸς ἔλαττον, μέγα δὲ καὶ μικρὸν καὶ πολὺ 7 ίγον πρὸς τὸ τῶν πολλῶν μέγεθος, καὶ ὑπερέχον μέγα, τὸ δὲ ἐλλεῖπον μικρόν, καὶ πολὺ καὶ ὀλίγον ως. ἐπεὶ οὖν ἀγαθὸν λέγομεν τό τε αὐτὸ αὑτοῦ καὶ μὴ ἄλλου αἱρετόν, καὶ οὗ πάντ' ἐφίεται, καὶ ὃ ·ν καὶ φρόνησιν λαβόντα ἕλοιτο, καὶ τὸ ποιητικὸν ρυλακτικόν, ἢ ᾧ ἕπεται τὰ τοιαῦτα, τὸ δ' οὗ ἕνεκα τὸ ·στί, τέλος δ' ἐστὶν οὗ ἕνεκα τὰ ἄλλα, αὐτῷ δὲ ἀγα- πρὸς αὐτὸ ταῦτα πεπονθός, ἀνάγκη τά τε πλείω τοῦ αἱ τῶν ἐλαττόνων, συναριθμουμένου τοῦ ἑνὸς ἢ αττόνων, μεῖζον ἀγαθὸν εἶναι· ὑπερέχει γάρ, τὸ τάρχον ὑπερέχεται. καὶ ἐὰν τὸ μέγιστον τοῦ με- ὑπερέχῃ, καὶ αὐτὰ αὐτῶν· καὶ ὅσα αὐτὰ αὐτῶν, μέγιστον τοῦ μεγίστου· οἷον εἰ ὁ μέγιστος ἀνὴρ ὸς τῆς μεγίστης μείζων, καὶ ὅλως οἱ ἄνδρες τῶν ῶν μείζους· καὶ εἰ οἱ ἄνδρες ὅλως τῶν γυναικῶν ;, καὶ ἀνὴρ ὁ μέγιστος τῆς μεγίστης γυναικὸς · ἀνάλογον γὰρ ἔχουσιν αἱ ὑπεροχαὶ τῶν γενῶν ν μεγίστων ἐν αὐτοῖς. καὶ ὅταν τόδε μὲν τῷδε , ἐκεῖνο δὲ τούτῳ μή· ἕπεται δὲ ἢ τῷ ἅμα ἢ τῷ ἢ τῇ δυνάμει· ἐνυπάρχει γὰρ ἡ χρῆσις ἡ τοῦ ου ἐν τῇ θατέρου. ἕπεται δὲ ἅμα μὲν τῷ ὑγιαίνειν τούτῳ δὲ ἐκεῖνο οὔ, ὕστερον δὲ τῷ μανθάνειν τὸ ϑαι, δυνάμει δὲ τῷ ἱεροσυλεῖν τὸ ἀποστερεῖν· ὁ οσυλήσας κἂν ἀποστερήσειεν. καὶ τὰ ὑπερέχοντα τοῦ μείζονι μείζω· ἀνάγκη γὰρ ὑπερέχειν καὶ τοῦ ς. καὶ τὰ μείζονος ἀγαθοῦ ποιητικὰ μείζω· τοῦτο τὸ μείζονος ποιητικῷ εἶναι. καὶ οὗ τὸ ποιητικὸν ὡσαύτως· εἰ γὰρ τὸ ὑγιεινὸν αἱρετώτερον τοῦ αἱ μεῖζον ἀγαθόν, καὶ ἡ ὑγίεια τῆς ἡδονῆς μείζων. αἱρετώτερον καθ' αὑτὸ τοῦ μὴ καθ' αὑτό, οἷον ὑγιεινοῦ· τὸ μὲν γὰρ οὐχ αὑτοῦ ἕνεκα, τὸ δὲ

7 αὐτοῦ, ὅπερ ἦν τὸ ἀγαθόν. κἂν ᾖ τὸ μὲν τέλος, τὸ δὲ μὴ τέλος· τὸ μὲν γὰρ ἄλλου ἕνεκα, τὸ δὲ αὐτοῦ, οἷον τὸ γυμνάζεσθαι τοῦ εὖ ἔχειν τὸ σῶμα. καὶ τὸ ἧττον προςδεόμενον θατέρου ἢ ἑτέρων· αὐταρκέστερον γάρ· ἧττον δὲ προσδεῖται τὸ ἐλαττόνων ἢ ῥᾳόνων προσδεόμενον. καὶ ὅταν τόδε μὲν ἄνευ τοῦδε μὴ ᾖ ἢ μὴ δυνατὸν ᾖ γενέσθαι, θάτερον δὲ ἄνευ τούτου· αὐταρκέστερον δὲ τὸ μὴ δεόμενον, ὥστε φαίνεται μεῖζον ἀγαθόν. κἂν ᾖ ἀρχή, τὸ δὲ μὴ ἀρχή. κἂν ᾖ αἴτιον, τὸ δ' οὐκ αἴτιον, διὰ τὸ αὐτό· ἄνευ γὰρ αἰτίου καὶ ἀρχῆς ἀδύνατον εἶναι ἢ γενέσθαι. καὶ δυοῖν ἀρχαῖν τὸ ἀπὸ τῆς μείζονος μεῖζον, καὶ δυοῖν αἰτίοιν τὸ ἀπὸ τοῦ μείζονος αἰτίου μεῖζον. καὶ ἀνάπαλιν δὴ δυοῖν ἀρχαῖν ἡ τοῦ μείζονος ἀρχὴ μείζων καὶ δυοῖν αἰτίοιν τὸ τοῦ μείζονος αἴτιον μεῖζον. δῆλον οὖν ἐκ τῶν εἰρημένων ὅτι ἀμφοτέρως μεῖζόν ἐστιν· καὶ γὰρ εἰ ἀρχή, τὸ δὲ μὴ ἀρχή, δόξει μεῖζον εἶναι, καὶ εἰ μὴ ἀρχή, τὸ δὲ ἀρχή· τὸ γὰρ τέλος μεῖζον καὶ οὐκ ἀρχή, ὥσπερ ὁ Λεωδάμας κατηγορῶν ἔφη Καλλιστράτου τὸν βουλεύσαντα τοῦ πράξαντος μᾶλλον ἀδικεῖν· οὐ γὰρ ἂν πραχθῆναι μὴ βουλευσαμένου· πάλιν δὲ καὶ Χαβρίου, τὸν πράξαντα τοῦ βουλεύσαντος· οὐ γὰρ ἂν γενέσθαι, εἰ μὴ ἦν ὁ πράξων· τούτου γὰρ ἕνεκα ἐπιβουλεύειν, ὅπως πράξωσιν. καὶ τὸ σπανιώτερον τοῦ ἀφθόνου, οἷον χρυσὸς σιδήρου ἀχρηστότερος ὤν· μεῖζον γὰρ ἡ κτῆσις· διὰ τὸ χαλεπωτέραν εἶναι. ἄλλον δὲ τρόπον τὸ ἄφθονον τοῦ σπανίου, ὅτι ἡ χρῆσις ὑπερέχει· τὸ γὰρ πολλάκις τοῦ ὀλιγάκις ὑπερέχει· ὅθεν λέγεται

ἄριστον μὲν ὕδωρ.

καὶ ὅλως τὸ χαλεπώτερον τοῦ ῥᾴονος· σπανιώτερον γάρ. ἄλλον δὲ τρόπον τὸ ῥᾷον τοῦ χαλεπωτέρου· ἔχει γὰρ ὡς βουλόμεθα. καὶ ᾧ τὸ ἐναντίον μεῖζον, καὶ οὗ ἡ στέρησις μείζων. καὶ ἀρετὴ μὴ ἀρετῆς καὶ κακία μὴ κακίας μεί-

ὶ μὲν γὰρ τέλη, τὰ δ' οὐ τέλη. καὶ ὧν τὰ ἔργα καλ- 7
ίσχίω, μείζω αὐτά. καὶ ὧν αἱ κακίαι καὶ αἱ ἀρεταὶ
;, καὶ τὰ ἔργα μείζω, ἐπείπερ ὡς τὰ αἴτια καὶ αἱ
καὶ τὰ ἀποβαίνοντα, καὶ ὡς τὰ ἀποβαίνοντα, καὶ
α καὶ αἱ ἀρχαί. καὶ ὧν ἡ ὑπεροχὴ αἱρετωτέρα ἢ
ν, οἷον τὸ ἀκριβῶς ὁρᾶν αἱρετώτερον τοῦ ὀσφραί-
· καὶ γὰρ ὄψις ὀσφρήσεως· καὶ τὸ φιλέταιρον εἶ-
φιλοχρήματον μᾶλλον κάλλιον, ὥστε καὶ φιλε-
φιλοχρηματίας. καὶ ἀντικειμένως δὲ τῶν βελτιό-
ὑπερβολαὶ βελτίους καὶ καλλιόνων καλλίους. καὶ
ἐπιθυμίαι καλλίους ἢ βελτίους· αἱ γὰρ μείζους
μειζόνων εἰσίν. καὶ τῶν καλλιόνων δὲ ἢ καὶ βελ-
αἱ ἐπιθυμίαι βελτίους καὶ καλλίους διὰ τὸ αὐτό.
αἱ ἐπιστῆμαι καλλίους ἢ σπουδαιότεραι, καὶ τὰ
ιτα καλλίω καὶ σπουδαιότερα· ὡς γὰρ ἔχει ἡ ἐπι-
καὶ τὸ ἀληθές· κελεύει δὲ τὸ αὐτῆς ἑκάστη. καὶ
ουδαιοτέρων δὲ καὶ καλλιόνων αἱ ἐπιστῆμαι ἀνά-
ιὰ ταῦτα. καὶ ὃ κρίνειαν ἂν ἢ κεκρίκασιν οἱ φρό-
πάντες ἢ οἱ πολλοὶ ἢ οἱ πλείους ἢ οἱ κράτιστοι
ἢ μεῖζον, ἀνάγκη οὕτως ἔχειν, ἢ ἁπλῶς ἢ ᾗ κατὰ
όνησιν ἔκριναν. ἔστι δὲ τοῦτο κοινὸν καὶ κατὰ
λων· καὶ γὰρ τὶ καὶ ποσὸν καὶ ποιὸν οὕτως ἔχει
ἐπιστήμη καὶ ἡ φρόνησις εἴποι. ἀλλ' ἐπ' ἀγαθῶν
ιεν· ὥρισται γὰρ ἀγαθὸν εἶναι, ὃ λαβόντα τὰ
ιτα φρόνησιν ἕλοιτ' ἂν ἕκαστον· δῆλον οὖν ὅτι
ζον, ὃ μᾶλλον ἡ φρόνησις λέγει. καὶ τὸ τοῖς βελ-
ὑπάρχον, ἢ ἁπλῶς ἢ ᾗ βελτίους, οἷον ἡ ἀνδρία
καὶ ὃ ἕλοιτ' ἂν ὁ βελτίων, ἢ ἁπλῶς ἢ ᾗ βελτίων,
ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν· τοῦτο γὰρ ὁ δικαιό-
ν ἕλοιτο. καὶ τὸ ἥδιον τοῦ ἧττον ἡδέος· τὴν γὰρ
πάντα διώκει, καὶ αὐτοῦ ἕνεκα τοῦ ἥδεσθαι ὀρέ-
, ὥρισται δὲ τούτοις τὸ ἀγαθὸν καὶ τὸ τέλος. ἥδιον

7 δὲ τό τε ἀλυπότερον καὶ τὸ πολυχρονιώτερον ἡδύ. τὸ κάλλιον τοῦ ἧττον καλοῦ· τὸ γὰρ καλόν ἐστιν ἤτοι ἡδὺ ἢ τὸ καθ' αὑτὸ αἱρετόν. καὶ ὅσων αὐτοὶ αὑτοῖς ἢ λοις βούλονται αἴτιοι εἶναι μᾶλλον, ταῦτα μείζω ἀγα ὅσων δὲ ἥκιστα, μείζω κακά. καὶ τὰ πολυχρονιώτ τῶν ὀλιγοχρονιωτέρων καὶ τὰ βεβαιότερα τῶν μὴ βαιοτέρων· ὑπερέχει γὰρ ἡ χρῆσις τῶν μὲν τῷ χρό τῶν δὲ τῇ βουλήσει· ὅταν γὰρ βούλωνται, ὑπάρχει μ λον ἡ τοῦ βεβαίου. καὶ ὡς ἂν ἐκ τῶν συστοίχων καὶ τ ὁμοίων πτώσεων, καὶ τἆλλ' ἀκολουθεῖ· οἷον εἰ τὸ ἀ δρείως κάλλιον καὶ αἱρετώτερον τοῦ σωφρόνως, καὶ ἀ δρία σωφροσύνης αἱρετωτέρα καὶ τὸ ἀνδρεῖον εἶναι τ σωφρονεῖν. καὶ ὃ πάντες αἱροῦνται τοῦ μὴ ὃ πάντες. ὃ οἱ πλείους ἢ οἱ ἐλάττους· ἀγαθὸν γὰρ ἦν οὗ πάν ἐφίενται, ὥστε καὶ μεῖζον οὗ μᾶλλον. καὶ ὃ οἱ ἀμφισβ τοῦντες ἢ οἱ ἐχθροὶ ἢ οἱ κρίνοντες ἢ οὓς οὗτοι κρίνο σιν· τὸ μὲν γὰρ ὡς ἂν εἰ πάντες φαῖεν ἐστί, τὸ δὲ οἱ κ ριοι καὶ οἱ εἰδότες. καὶ ὁτὲ μὲν οὗ πάντες μετέχουσι μ ζον· ἀτιμία γὰρ τὸ μὴ μετέχειν· ὁτὲ δὲ οὗ μηδεὶς ἢ ὀλίγοι· σπανιώτερον γάρ. καὶ τὰ ἐπαινετώτερα· καλλ γάρ. καὶ ὧν αἱ τιμαὶ μείζους, ὡσαύτως· ἡ γὰρ τιμὴ ὥ περ ἀξία τις ἐστίν. καὶ ὧν αἱ ζημίαι μείζους. καὶ τὰ τ ὁμολογουμένων ἢ φαινομένων μεγάλων μείζω. καὶ δια ρούμενα δὲ εἰς τὰ μέρη τὰ αὐτὰ μείζω φαίνεται· πλει νων γὰρ ὑπερέχειν φαίνεται. ὅθεν καὶ ὁ ποιητής φη πεῖσαι [λέγουσαν] τὸν Μελέαγρον ἀναστῆναι

ὅσσα κάκ' ἀνθρώποισι πέλει τῶν ἄστυ ἁλώῃ·
λαοὶ μὲν φθινύθουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουσιν.

καὶ τὸ συντιθέναι καὶ ἐποικοδομεῖν, ὥσπερ Ἐπίχαρμ διά τε τὸ αὐτὸ τῇ διαιρέσει (ἡ γὰρ σύνθεσις ὑπεροχ δείκνυσι πολλήν) καὶ ὅτι ἀρχὴ φαίνεται μεγάλων καὶ

τιον. ἐπεὶ δὲ τὸ χαλεπώτερον καὶ σπανιώτερον μεῖζον, 7
καὶ οἱ καιροὶ καὶ αἱ ἡλικίαι καὶ οἱ τόποι καὶ οἱ χρόνοι καὶ αἱ δυνάμεις ποιοῦσι μεγάλα· εἰ γὰρ παρὰ δύναμιν καὶ παρ' ἡλικίαν καὶ παρὰ τοὺς ὁμοίους, καὶ εἰ οὕτως ἢ ἐνταῦθα ἢ τόθ', ἕξει μέγεθος καὶ καλῶν καὶ ἀγαθῶν καὶ δικαίων καὶ τῶν ἐναντίων. ὅθεν καὶ τὸ ἐπίγραμμα τῷ ὀλυμπιονίκῃ·

πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν
ἰχθῦς ἐξ Ἄργους εἰς Τέγεαν ἔφερον.

καὶ ὁ Ἰφικράτης αὑτὸν ἐνεκωμίαζε λέγων ἐξ ὧν ὑπῆρξε ταῦτα. καὶ τὸ αὐτοφυὲς τοῦ ἐπικτήτου· χαλεπώτερον γάρ. ὅθεν καὶ ὁ ποιητής φησιν

αὐτοδίδακτος δ' εἰμί.

καὶ τὸ μεγάλου μέγιστον μέρος· οἷον Περικλῆς τὸν ἐπιτάφιον λέγων, τὴν νεότητα ἐκ τῆς πόλεως ἀνῃρῆσθαι ὥσπερ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ εἰ ἐξαιρεθείη. καὶ τὰ ἐν χρείᾳ μείζονι χρήσιμα, οἷον τὰ ἐν γήραι καὶ νόσοις. καὶ δυοῖν τὸ ἐγγύτερον τοῦ τέλους. καὶ τὸ αὐτῷ καὶ ἁπλῶς. καὶ τὸ δυνατὸν τοῦ ἀδυνάτου· τὸ μὲν γὰρ αὐτῷ, τὸ δ' οὔ. καὶ τὰ ἐν τέλει τοῦ βίου· τέλη γὰρ μᾶλλον τὰ πρὸς τῷ τέλει. καὶ τὰ πρὸς ἀλήθειαν τῶν πρὸς δόξαν. ὅρος δὲ τοῦ πρὸς δόξαν, ὃ λανθάνειν μέλλων οὐκ ἂν ἕλοιτο. διὸ καὶ τὸ εὖ πάσχειν τοῦ εὖ ποιεῖν δόξειεν ἂν αἱρετώτερον εἶναι· τὸ μὲν γὰρ κἂν λανθάνῃ αἱρήσεται, ποιεῖν δ' εὖ λανθάνων οὐ δοκεῖ ἂν ἑλέσθαι. καὶ ὅσα εἶναι μᾶλλον ἢ δοκεῖν βούλονται· πρὸς ἀλήθειαν γὰρ μᾶλλον. διὸ καὶ τὴν δικαιοσύνην φασὶ μικρὸν εἶναι, ὅτι δοκεῖν ἢ εἶναι αἱρετώτερον· τὸ δὲ ὑγιαίνειν οὔ. καὶ τὸ πρὸς πολλὰ χρησιμώτερον, οἷον τὸ πρὸς τὸ ζῆν καὶ εὖ ζῆν καὶ τὴν ἡδονὴν καὶ τὸ πράττειν τὰ καλά. διὸ ὁ πλοῦτος καὶ ἡ ὑγίεια μέγιστα δοκεῖ εἶναι· ἅπαντα γὰρ ἔχει ταῦτα. καὶ τὸ ἀλυπότερον καὶ τὸ μεθ' ἡδονῆς· πλείω γὰρ ἑνός,

7 ὥστε ὑπάρχει καὶ ἡ ἡδονὴ ἀγαθὸν καὶ ἡ ἀλυπία. καὶ δυοῖν ὃ τῷ αὐτῷ προστιθέμενον μεῖζον τὸ ὅλον ποιεῖ. καὶ ἃ μὴ λανθάνει παρόντα ἢ ἃ λανθάνει· πρὸς ἀλήθειαν γὰρ τείνει ταῦτα. διὸ τὸ πλουτεῖν φανείη ἂν μεῖζον ἀγαθὸν τοῦ δοκεῖν. καὶ τὸ ἀγαπητόν, καὶ τοῖς μὲν μόνον τοῖς δὲ μετ' ἄλλων. διὸ καὶ οὐκ ἴση ζημία, ἄν τις τὸν ἑτερόφθαλμον τυφλώσῃ καὶ τὸν δύ' ἔχοντα· ἀγαπητὸν γὰρ ἀφῄρηται.

8 ἐκ τίνων μὲν οὖν δεῖ τὰς πίστεις φέρειν ἐν τῷ προτρέπειν καὶ ἀποτρέπειν, σχεδὸν εἴρηται· μέγιστον δὲ καὶ κυριώτατον ἁπάντων πρὸς τὸ δύνασθαι πείθειν καὶ καλῶς συμβουλεύειν, τὰς πολιτείας ἁπάσας λαβεῖν καὶ τὰ ἑκάστης ἔθη καὶ νόμιμα καὶ συμφέροντα διελεῖν. πείθονται γὰρ ἅπαντες τῷ συμφέροντι, συμφέρει δὲ τὸ σῶζον τὴν πολιτείαν. ἔτι δὲ κυρία μέν ἐστιν ἡ τοῦ κυρίου ἀπόφασις, τὰ δὲ κύρια διῄρηται κατὰ τὰς πολιτείας· ὅσαι γὰρ αἱ πολιτεῖαι, τοσαῦτα καὶ τὰ κύριά ἐστιν. εἰσὶ δὲ πολιτεῖαι τέτταρες, δημοκρατία ὀλιγαρχία ἀριστοκρατία μοναρχία· ὥστε τὸ μὲν κύριον καὶ τὸ κρῖνον τούτων τί ἐστιν ἀεὶ μόριον, ἢ ὅλον τούτων. ἔστι δὲ δημοκρατία μὲν πολιτεία ἐν ᾗ κλήρῳ διανέμονται τὰς ἀρχάς, ὀλιγαρχία δὲ ἐν ᾗ [οἱ] ἀπὸ τιμημάτων, ἀριστοκρατία δὲ ἐν ᾗ κατὰ τὴν παιδείαν. παιδείαν δὲ λέγω τὴν ὑπὸ τοῦ νόμου κειμένην· οἱ γὰρ ἐμμεμενηκότες ἐν τοῖς νομίμοις ἐν τῇ ἀριστοκρατίᾳ ἄρχουσιν. ἀνάγκη δὲ τούτους φαίνεσθαι ἀρίστους· ὅθεν καὶ τοὔνομα εἴληφε τοῦτο. μοναρχία δ' ἐστὶ κατὰ τοὔνομα ἐν ᾗ εἷς ἁπάντων κύριός ἐστιν· τούτων δὲ ἡ μὲν κατὰ τάξιν τινὰ βασιλεία, ἡ δ' ἀόριστος τυραννίς. τὸ δὴ τέλος ἑκάστης πολιτείας οὐ δεῖ λανθάνειν· αἱροῦνται γὰρ τὰ πρὸς τὸ τέλος. ἔστι δὲ δημοκρατίας μὲν τέλος ἐλευθερία, ὀλιγαρχίας δὲ πλοῦτος, ἀριστοκρατίας δὲ τὰ περὶ παιδείαν καὶ τὰ νόμιμα, ** τυραννίδος δὲ φυλακή.

δῆλον οὖν ὅτι τὰ πρὸς τὸ τέλος ἑκάστης ἔθη καὶ νόμιμα 8 καὶ συμφέροντα διαιρετέον, εἴπερ αἱροῦνται πρὸς τοῦτο ἐπαναφέροντες. ἐπεὶ δὲ οὐ μόνον αἱ πίστεις γίνονται δι' ἀποδεικτικοῦ λόγου ἀλλὰ καὶ δι' ἠθικοῦ (τῷ γὰρ ποιόν τινα φαίνεσθαι τὸν λέγοντα πιστεύομεν, τοῦτο δ' ἐστὶν ἂν ἀγαθὸς φαίνηται ἢ εὔνους ἢ ἄμφω), δέοι ἂν τὰ ἤθη τῶν πολιτειῶν ἑκάστης ἔχειν ἡμᾶς· τὸ μὲν γὰρ ἑκάστης ἦθος πιθανώτατον ἀνάγκη πρὸς ἑκάστην εἶναι. ταῦτα δὲ ληφθήσεται διὰ τῶν αὐτῶν· τὰ μὲν γὰρ ἤθη φανερὰ κατὰ τὴν προαίρεσιν, ἡ δὲ προαίρεσις ἀναφέρεται πρὸς τὸ τέλος.

ὧν μὲν οὖν δεῖ ὀρέγεσθαι προτρέποντας ὡς ἐσομένων ἢ ὄντων, καὶ ἐκ τίνων δεῖ τὰς περὶ τοῦ συμφέροντος πίστεις λαμβάνειν, ἔτι δὲ περὶ τῶν περὶ τὰς πολιτείας ἠθῶν καὶ νομίμων διὰ τίνων τε καὶ πῶς εὐπορήσομεν, ἐφ' ὅσον ἦν τῷ παρόντι καιρῷ σύμμετρον, εἴρηται· διηκρίβωται γὰρ ἐν τοῖς πολιτικοῖς περὶ τούτων.

μετὰ δὲ ταῦτα λέγωμεν περὶ ἀρετῆς καὶ κακίας καὶ 9 καλοῦ καὶ αἰσχροῦ· οὗτοι γὰρ σκοποὶ τῷ ἐπαινοῦντι καὶ ψέγοντι· συμβήσεται γὰρ ἅμα περὶ τούτων λέγοντας κἀκεῖνα δηλοῦν ἐξ ὧν ποιοί τινες ὑποληφθησόμεθα κατὰ τὸ ἦθος, ἥπερ ἦν δευτέρα πίστις· ἐκ τῶν αὐτῶν γὰρ ἡμᾶς τε καὶ ἄλλον ἀξιόπιστον δυνησόμεθα ποιεῖν πρὸς ἀρετήν. ἐπεὶ δὲ συμβαίνει καὶ χωρὶς σπουδῆς καὶ μετὰ σπουδῆς ἐπαινεῖν πολλάκις οὐ μόνον ἄνθρωπον ἢ θεὸν ἀλλὰ καὶ ἄψυχα καὶ τῶν ἄλλων ζῴων τὸ τυχόν, τὸν αὐτὸν τρόπον καὶ περὶ τούτων ληπτέον τὰς προτάσεις, ὥστε ὅσον παραδείγματος χάριν εἴπωμεν καὶ περὶ τούτων.

καλὸν μὲν οὖν ἐστίν, ὃ ἂν δι' αὑτὸ αἱρετὸν ὂν ἐπαινετὸν ᾖ, ἢ ὃ ἂν ἀγαθὸν ὂν ἡδὺ ᾖ, ὅτι ἀγαθόν. εἰ δὲ τοῦτό ἐστι τὸ καλόν, ἀνάγκη τὴν ἀρετὴν καλὸν εἶναι· ἀγαθὸν

9 γὰρ ὂν ἐπαινετόν ἐστιν. ἀρετὴ δ' ἐστὶ μὲν δύναμις, ὡς δοκεῖ, ποριστικὴ ἀγαθῶν καὶ φυλακτική, καὶ δύναμις εὐεργετικὴ πολλῶν καὶ μεγάλων, καὶ πάντων περὶ πάντα. μέρη δὲ ἀρετῆς δικαιοσύνη, ἀνδρία, σωφροσύνη, μεγαλοπρέπεια, μεγαλοψυχία, ἐλευθεριότης, πραότης, φρόνησις, σοφία. ἀνάγκη δὲ μεγίστας εἶναι ἀρετὰς τὰς τοῖς ἄλλοις χρησιμωτάτας, εἴπερ ἐστὶν ἡ ἀρετὴ δύναμις εὐεργετική. διὰ τοῦτο τοὺς δικαίους καὶ ἀνδρείους μάλιστα τιμῶσιν· ἡ μὲν γὰρ ἐν πολέμῳ ἡ δὲ καὶ ἐν εἰρήνῃ χρήσιμος ἄλλοις. εἶτα ἡ ἐλευθεριότης· προΐενται γὰρ καὶ οὐκ ἀνταγωνίζονται περὶ τῶν χρημάτων, ὧν μάλιστα ἐφίενται ἄλλοι. ἔστι δὲ δικαιοσύνη μὲν ἀρετὴ δι' ἣν τὰ αὑτῶν ἕκαστοι ἔχουσι, καὶ ὡς ὁ νόμος, ἀδικία δὲ δι' ἣν τὰ ἀλλότρια, οὐχ ὡς ὁ νόμος. ἀνδρία δὲ δι' ἣν πρακτικοί εἰσι τῶν καλῶν ἔργων ἐν τοῖς κινδύνοις, καὶ ὡς ὁ νόμος κελεύει, καὶ ὑπηρετικοὶ τῷ νόμῳ· δειλία δὲ τοὐναντίον. σωφροσύνη δὲ ἀρετὴ δι' ἣν πρὸς τὰς ἡδονὰς τὰς τοῦ σώματος οὕτως ἔχουσιν ὡς ὁ νόμος κελεύει· ἀκολασία δὲ τοὐναντίον. ἐλευθεριότης δὲ περὶ χρήματα εὐποιητική, ἀνελευθερία δὲ τοὐναντίον. μεγαλοψυχία δὲ ἀρετὴ μεγάλων ποιητικὴ εὐεργετημάτων, [μικροψυχία δὲ τοὐναντίον]. μεγαλοπρέπεια δὲ ἀρετὴ ἐν δαπανήμασι μεγέθους ποιητική· μικροψυχία δὲ καὶ μικροπρέπεια τἀναντία. φρόνησις δ' ἐστὶν ἀρετὴ διανοίας, καθ' ἣν εὖ βουλεύεσθαι δύνανται περὶ ἀγαθῶν καὶ κακῶν τῶν εἰρημένων εἰς εὐδαιμονίαν. * *

περὶ μὲν οὖν ἀρετῆς καὶ κακίας καθόλου καὶ περὶ τῶν μορίων εἴρηται κατὰ τὸν ἐνεστῶτα καιρὸν ἱκανῶς, περὶ δὲ τῶν ἄλλων οὐ χαλεπὸν ἰδεῖν· φανερὸν γὰρ ὅτι ἀνάγκη τά τε ποιητικὰ τῆς ἀρετῆς εἶναι καλά (πρὸς ἀρετὴν γάρ) καὶ τὰ ἀπ' ἀρετῆς γινόμενα, τοιαῦτα δὲ τά τε σημεῖα τῆς ἀρετῆς καὶ τὰ ἔργα. ἐπεὶ δὲ τὰ σημεῖα καὶ τὰ τοιαῦτα ἃ

ἐστιν ἀγαθοῦ ἔργα ἢ πάθη, καλά, ἀνάγκη ὅσα τε ἀνδρίας 9 ἔργα ἢ σημεῖα ἀνδρίας ἢ ἀνδρείως πέπρακται καλὰ εἶναι, καὶ τὰ δίκαια καὶ τὰ δικαίως ἔργα (πάθη δὲ οὔ· ἐν μόνῃ γὰρ ταύτῃ τῶν ἀρετῶν οὐκ ἀεὶ τὸ δικαίως καλόν, ἀλλ' ἐπὶ τοῦ ζημιοῦσθαι αἰσχρὸν τὸ δικαίως μᾶλλον ἢ τὸ ἀδίκως), καὶ κατὰ τὰς ἄλλας δὲ ἀρετὰς ὡσαύτως. καὶ ἐφ' ὅσοις τὰ ἆθλα τιμή, καλά. καὶ ἐφ' ὅσοις τιμὴ μᾶλλον ἢ χρήματα. καὶ ὅσα μὴ αὑτοῦ ἕνεκα πράττει τις τῶν αἱρετῶν. καὶ τὰ ἁπλῶς ἀγαθά, ὅσα ὑπέρ τε πατρίδος τις ἐποίησε, παριδὼν τὸ αὑτοῦ. καὶ τὰ τῇ φύσει ἀγαθά, καὶ ἃ μὴ αὑτῷ ἀγαθά· αὑτοῦ γὰρ ἕνεκα τὰ τοιαῦτα. καὶ ὅσα τεθνεῶτι ἐνδέχεται ὑπάρχειν μᾶλλον ἢ ζῶντι· τὸ γὰρ αὑτοῦ ἕνεκα μᾶλλον ἔχει τὰ ζῶντι. καὶ ὅσα ἔργα τῶν ἄλλων ἕνεκα· ἧττον γὰρ αὑτοῦ. καὶ ὅσαι εὐπραγίαι περὶ ἄλλους, ἀλλὰ μὴ περὶ αὑτόν. καὶ περὶ τοὺς εὖ ποιήσαντας· δίκαιον γάρ. καὶ τὰ εὐεργετήματα· οὐ γὰρ εἰς αὑτόν. καὶ τὰ ἐναντία ἢ ἐφ' οἷς αἰσχύνονται· τὰ γὰρ αἰσχρὰ αἰσχύνονται καὶ λέγοντες καὶ ποιοῦντες καὶ μέλλοντες, ὥσπερ καὶ Σαπφὼ πεποίηκεν, εἰπόντος τοῦ Ἀλκαίου

θέλω τι Fειπῆν, ἀλλά με κωλύει
αἰδώς,

αἰ δ' ἦχες ἐσθλῶν ἵμερον ἢ καλῶν
καὶ μή τι Fειπῆν γλῶσσ' ἐκύκα κακόν,
αἰδώς κέ σ' οὐκ ἂν εἶχεν ὄμματ',
ἀλλ' ἔλεγες περὶ τῶ δικαίω.

καὶ περὶ ὧν ἀγωνιῶσι μὴ φοβούμενοι· περὶ γὰρ τῶν πρὸς δόξαν φερόντων ἀγαθῶν τοῦτο πάσχουσιν. καὶ αἱ τῶν φύσει σπουδαιοτέρων ἀρεταὶ καλλίους καὶ τὰ ἔργα, οἷον ἀνδρὸς ἢ γυναικός. καὶ αἱ ἀπολαυστικαὶ ἄλλοις μᾶλλον ἢ αὐτοῖς· διὸ τὸ δίκαιον καὶ ἡ δικαιοσύνη καλόν. καὶ τὸ τοὺς ἐχθροὺς τιμωρεῖσθαι μᾶλλον καὶ μὴ καταλλάττε-

9 σθαι· τό τε γὰρ ἀνταποδιδόναι δίκαιον, τὸ δὲ δίκαιον καλόν, καὶ ἀνδρείου τὸ μὴ ἡττᾶσθαι. καὶ νίκη καὶ τιμὴ τῶν καλῶν· αἱρετά τε γὰρ ἄκαρπα ὄντα, καὶ ὑπεροχὴν ἀρετῆς δηλοῖ. καὶ τὰ μνημονευτά, καὶ τὰ μᾶλλον μᾶλλον. καὶ ἃ μὴ ζῶντι ἕπεται. καὶ οἷς τιμὴ ἀκολουθεῖ. καὶ τὰ περιττά. καὶ τὰ μόνῳ ὑπάρχοντα καλλίω· εὐμνημονευτότερα γάρ. καὶ κτήματα ἄκαρπα· ἐλευθεριώτερα γάρ. καὶ τὰ παρ' ἑκάστοις δὲ ἴδια καλά, καὶ ὅσα σημεῖά ἐστι τῶν παρ' ἑκάστοις ἐπαινουμένων, οἷον ἐν Λακεδαίμονι κομᾶν καλόν· ἐλευθέρου γὰρ σημεῖον· οὐ γάρ ἐστι κομῶντα ῥᾴδιον οὐδὲν ποιεῖν ἔργον θητικόν. καὶ τὸ μηδεμίαν ἐργάζεσθαι βάναυσον τέχνην· ἐλευθέρου γὰρ τὸ μὴ πρὸς ἄλλον ζῆν. ληπτέον δὲ καὶ τὰ σύνεγγυς τοῖς ὑπάρχουσιν ὡς ταὐτὰ ὄντα καὶ πρὸς ἔπαινον καὶ πρὸς ψόγον, οἷον τὸν εὐλαβῆ ψυχρὸν καὶ ἐπίβουλον καὶ τὸν ἠλίθιον χρηστὸν ἢ τὸν ἀνάλγητον πρᾶον. καὶ ἕκαστον δ' ἐκ τῶν παρακολουθούντων ἀεὶ κατὰ τὸ βέλτιστον, οἷον τὸν ὀργίλον καὶ τὸν μανικὸν ἁπλοῦν καὶ τὸν αὐθάδη μεγαλοπρεπῆ καὶ σεμνόν. καὶ τοὺς ἐν ταῖς ὑπερβολαῖς ὡς ἐν ταῖς ἀρεταῖς ὄντας, οἷον τὸν θρασὺν ἀνδρεῖον καὶ τὸν ἄσωτον ἐλευθέριον· δόξει τε γὰρ τοῖς πολλοῖς, καὶ ἅμα παραλογιστικὸν ἐκ τῆς αἰτίας. εἰ γὰρ οὗ μὴ ἀνάγκη κινδυνευτικός, πολλῷ μᾶλλον ἂν δόξειεν ὅπου καλόν, καὶ εἰ προετικὸς τοῖς τυχοῦσι, καὶ τοῖς φίλοις· ὑπερβολὴ γὰρ ἀρετῆς τὸ πάντας εὖ ποιεῖν. σκοπεῖν δὲ καὶ παρ' οἷς ὁ ἔπαινος· ὥσπερ γὰρ ὁ Σωκράτης ἔλεγεν, οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν. δεῖ δὲ τὸ παρ' ἑκάστοις τίμιον ὂν λέγειν ὡς ὑπάρχει, οἷον ἐν Σκύθαις ἢ Λάκωσιν ἢ φιλοσόφοις. καὶ ὅλως δὲ τὸ τίμιον ἄγειν εἰς τὸ καλόν, ἐπείπερ γε δοκεῖ γειτνιᾶν. καὶ ὅσα κατὰ τὸ προσῆκον, οἷον εἰ ἄξια τῶν προγόνων καὶ τῶν προϋπηργμένων· εὐδαιμονικὸν γὰρ καὶ καλὸν τὸ προσεπικτᾶ-

σθαι τιμήν. καὶ εἰ παρὰ τὸ προσῆκον δὲ ἐπὶ τὸ βέλτιον 9 καὶ τὸ κάλλιον, οἷον εἰ εὐτυχῶν μὲν μέτριος ἀτυχῶν δὲ μεγαλόψυχος, ἢ μείζων γιγνόμενος βελτίων καὶ καταλλακτικώτερος. τοιοῦτον δὲ τὸ τοῦ Ἰφικράτους, ἐξ οἵων εἰς οἷα, καὶ τὸ τοῦ ὀλυμπιονίκου

πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν,

καὶ τὸ τοῦ Σιμωνίδου

ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων.

ἐπεὶ δ' ἐκ τῶν πράξεων ὁ ἔπαινος, ἴδιον δὲ τοῦ σπουδαίου τὸ κατὰ προαίρεσιν, πειρατέον δεικνύναι πράττοντα κατὰ προαίρεσιν. χρήσιμον δὲ τὸ πολλάκις φαίνεσθαι πεπραχότα. διὸ καὶ τὰ συμπτώματα καὶ τὰ ἀπὸ τύχης ὡς ἐν προαιρέσει ληπτέον· ἂν γὰρ πολλὰ καὶ ὅμοια προφέρηται, σημεῖον ἀρετῆς εἶναι δόξει καὶ προαιρέσεως. ἔστι δ' ἔπαινος λόγος ἐμφανίζων μέγεθος ἀρετῆς. δεῖ οὖν τὰς πράξεις ἐπιδεικνύναι ὡς τοιαῦται. τὸ δ' ἐγκώμιον τῶν ἔργων ἐστίν, τὰ δὲ κύκλῳ εἰς πίστιν, οἷον εὐγένεια καὶ παιδεία· εἰκὸς γὰρ ἐξ ἀγαθῶν ἀγαθοὺς καὶ τὸν οὕτω τραφέντα τοιοῦτον εἶναι. διὸ καὶ ἐγκωμιάζομεν πράξαντας. τὰ δ' ἔργα σημεῖα τῆς ἕξεώς ἐστιν, ἐπεὶ ἐπαινοῖμεν ἂν καὶ μὴ πεπραγότα, εἰ πιστεύοιμεν εἶναι τοιοῦτον. μακαρισμὸς δὲ καὶ εὐδαιμονισμὸς αὐτοῖς μὲν ταὐτά, τούτοις δ' οὐ ταὐτά, ἀλλ' ὥσπερ ἡ εὐδαιμονία τὴν ἀρετήν, καὶ ὁ εὐδαιμονισμὸς περιέχει ταῦτα.

ἔχει δὲ κοινὸν εἶδος ὁ ἔπαινος καὶ αἱ συμβουλαί· ἃ γὰρ ἐν τῷ συμβουλεύειν ὑπόθοιο ἄν, ταῦτα μετατεθέντα τῇ λέξει ἐγκώμια γίγνεται. ἐπεὶ οὖν ἔχομεν ἃ δεῖ πράττειν καὶ ποῖόν τινα εἶναι δεῖ, ταῦτα ὡς ὑποθήκας λέγοντας τῇ λέξει μετατιθέναι δεῖ καὶ στρέφειν, οἷον ὅτι οὐ δεῖ μέγα φρονεῖν ἐπὶ τοῖς διὰ τύχην ἀλλὰ τοῖς δι' αὑτόν. οὕτω μὲν οὖν λεχθὲν ὑποθήκην δύναται, ὡδὶ δ' ἔπαινον „μέγα φρονῶν οὐ τοῖς διὰ τύχην [ὑπάρχουσιν] ἀλλὰ τοῖς

9 δι' αὐτόν.“ ὥστε ὅταν ἐπαινεῖν βούλῃ, ὅρα τί ἂν ὑπόθοιο, καὶ ὅταν ὑποθέσθαι, ὅρα τί ἂν ἐπαινέσειας. ἡ δὲ λέξις ἔσται ἀντικειμένη ἐξ ἀνάγκης, ὅταν τὸ μὲν κωλῦον τὸ δὲ μὴ κωλῦον μετατεθῇ.

χρηστέον δὲ καὶ τῶν αὐξητικῶν πολλοῖς, οἷον εἰ μόνος ἢ πρῶτος ἢ μετ' ὀλίγων ἢ καὶ [ὃ] μάλιστα πεποίηκεν· ἅπαντα γὰρ ταῦτα καλά. καὶ τὰ ἐκ τῶν χρόνων καὶ τῶν καιρῶν· ταῦτα δὲ παρὰ τὸ προσῆκον. καὶ εἰ πολλάκις τὸ αὐτὸ κατώρθωκεν· μέγα γάρ, καὶ οὐκ ἀπὸ τύχης ἀλλὰ δι' αὐτὸν ἂν δόξειεν. καὶ εἰ τὰ προτρέποντα καὶ τιμῶντα διὰ τοῦτον εὕρηται καὶ κατεσκευάσθη. καὶ εἰς ὃν πρῶτον ἐγκώμιον ἐποιήθη, οἷον εἰς Ἱππόλοχον καὶ Ἁρμόδιον καὶ Ἀριστογείτονα τὸ ἐν ἀγορᾷ σταθῆναι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐναντίων. κἂν μὴ καθ' αὐτὸν εὐπορῇς, πρὸς ἄλλους ἀντιπαραβάλλειν· ὅπερ Ἰσοκράτης ἐποίει διὰ τὴν ἀσυνήθειαν τοῦ δικολογεῖν. δεῖ δὲ πρὸς ἐνδόξους συγκρίνειν· αὐξητικὸν γὰρ καὶ καλόν, εἰ σπουδαίων βελτίων. πίπτει δ' εὐλόγως ἡ αὔξησις εἰς τοὺς ἐπαίνους· ἐν ὑπεροχῇ γάρ ἐστιν, ἡ δ' ὑπεροχὴ τῶν καλῶν. διὸ κἂν μὴ πρὸς τοὺς ἐνδόξους, ἀλλὰ πρὸς τοὺς ἄλλους δεῖ παραβάλλειν, ἐπείπερ ἡ ὑπεροχὴ δοκεῖ μηνύειν ἀρετήν. ὅλως δὲ τῶν κοινῶν εἰδῶν ἅπασι τοῖς λόγοις ἡ μὲν αὔξησις ἐπιτηδειοτάτη τοῖς ἐπιδεικτικοῖς· τὰς γὰρ πράξεις ὁμολογουμένας λαμβάνουσιν, ὥστε λοιπὸν μέγεθος περιθεῖναι καὶ κάλλος· τὰ δὲ παραδείγματα τοῖς συμβουλευτικοῖς· ἐκ γὰρ τῶν προγεγονότων τὰ μέλλοντα καταμαντευόμενοι κρίνομεν· τὰ δ' ἐνθυμήματα τοῖς δικανικοῖς· αἰτίαν γὰρ καὶ ἀπόδειξιν μάλιστα δέχεται τὸ γεγονὸς διὰ τὸ ἀσαφές.

ἐκ τίνων μὲν οὖν οἱ ἔπαινοι καὶ οἱ ψόγοι λέγονται σχεδὸν πάντες, καὶ πρὸς ποῖα δεῖ βλέποντας ἐπαινεῖν καὶ ψέγειν, καὶ ἐκ τίνων τὰ ἐγκώμια γίγνεται καὶ τὰ ὀνείδη,

ταῦτ᾽ ἐστίν· ἐχομένων γὰρ τούτων τὰ ἐναντία τούτοις 9
φανερά· ὁ γὰρ ψόγος ἐκ τῶν ἐναντίων ἐστίν. περὶ δὲ 10
κατηγορίας καὶ ἀπολογίας, ἐκ πόσων καὶ ποίων ποιεῖσθαι δεῖ τοὺς συλλογισμούς, ἐχόμενον ἂν εἴη λέγειν. δεῖ δὴ λαβεῖν τρία, ἓν μὲν τίνων καὶ πόσων ἕνεκα ἀδικοῦσι, δεύτερον δὲ πῶς αὐτοὶ διακείμενοι, τρίτον δὲ τοὺς ποίους καὶ πῶς ἔχοντας. διορισάμενοι οὖν τὸ ἀδικεῖν λέγωμεν ἑξῆς.

Ἔστω δὴ τὸ ἀδικεῖν τὸ βλάπτειν ἑκόντα παρὰ τὸν νόμον. νόμος δ᾽ ἐστὶν ὁ μὲν ἴδιος ὁ δὲ κοινός. λέγω δὲ ἴδιον μὲν καθ᾽ ὃν γεγραμμένον πολιτεύονται, κοινὸν δὲ ὅσα ἄγραφα παρὰ πᾶσιν ὁμολογεῖσθαι δοκεῖ. ἑκόντες δὲ ποιοῦσιν ὅσα εἰδότες καὶ μὴ ἀναγκαζόμενοι. ὅσα μὲν οὖν ἑκόντες, οὐ πάντα προαιρούμενοι, ὅσα δὲ προαιρούμενοι, εἰδότες ἅπαντα· οὐδεὶς γὰρ ὃ προαιρεῖται ἀγνοεῖ. δι᾽ ἃ δὲ προαιροῦνται βλάπτειν καὶ φαῦλα ποιεῖν παρὰ τὸν νόμον, κακία ἐστὶ καὶ ἀκρασία· ἐὰν γάρ τινες ἔχωσι μοχθηρίαν ἢ μίαν ἢ πλείους, περὶ τοῦτο ὃ μοχθηροὶ τυγχάνουσιν ὄντες, καὶ ἄδικοί εἰσιν, οἷον ὁ μὲν ἀνελεύθερος περὶ χρήματα, ὁ δ᾽ ἀκόλαστος περὶ τὰς τοῦ σώματος ἡδονάς, ὁ δὲ μαλακὸς περὶ τὰ ῥᾴθυμα, ὁ δὲ δειλὸς περὶ τοὺς κινδύνους· [τοὺς γὰρ συγκινδυνεύοντας] ἐγκαταλιμπάνουσι γὰρ διὰ τὸν φόβον, ὁ δὲ φιλότιμος διὰ τιμήν, ὁ δ᾽ ὀξύθυμος δι᾽ ὀργήν, ὁ δὲ φιλόνικος διὰ νίκην, ὁ δὲ πικρὸς διὰ τιμωρίαν, ὁ δ᾽ ἄφρων διὰ τὸ ἀπατᾶσθαι περὶ τὸ δίκαιον καὶ ἄδικον, ὁ δ᾽ ἀναίσχυντος δι᾽ ὀλιγωρίαν δόξης. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστος περὶ ἕκαστον τῶν ὑποκειμένων.

ἀλλὰ περὶ μὲν τούτων δῆλον, τὰ μὲν ἐκ τῶν περὶ τὰς ἀρετὰς εἰρημένων, τὰ δ᾽ ἐκ τῶν περὶ τὰ πάθη ῥηθησομένων· λοιπὸν δ᾽ εἰπεῖν τίνος ἕνεκα καὶ πῶς ἔχοντες ἀδικοῦσι, καὶ τίνας. πρῶτον μὲν οὖν διελώμεθα τίνων ὀρε-

10 γόμενοι καὶ ποῖα φεύγοντες ἐγχειροῦσιν ἀδικεῖν· δῆλον γὰρ ὡς τῷ μὲν κατηγοροῦντι πόσα καὶ ποῖα τούτων ὑπάρχει τῷ ἀντιδίκῳ σκεπτέον, ὧν ἐφιέμενοι πάντες τοὺς πλησίον ἀδικοῦσι, τῷ δ' ἀπολογουμένῳ ποῖα καὶ πόσα τούτων οὐχ ὑπάρχει. πάντες δὴ πράττουσι πάντα τὰ μὲν οὐ δι' αὑτοὺς τὰ δὲ δι' αὑτούς. τῶν μὲν οὖν μὴ δι' αὑτοὺς τὰ μὲν διὰ τύχην πράττουσι τὰ δ' ἐξ ἀνάγκης, τῶν δ' ἐξ ἀνάγκης τὰ μὲν βίᾳ τὰ δὲ φύσει. ὥστε πάντα ὅσα μὴ δι' αὑτοὺς πράττουσι, τὰ μὲν ἀπὸ τύχης τὰ δὲ φύσει τὰ δὲ βίᾳ. ὅσα δὲ δι' αὑτούς, καὶ ὧν αὐτοὶ αἴτιοι, τὰ μὲν δι' ἔθος τὰ δὲ δι' ὄρεξιν, * τὰ μὲν διὰ λογιστικὴν ὄρεξιν τὰ δὲ δι' ἄλογον· ἔστι δ' ἡ μὲν βούλησις * ἀγαθοῦ ὄρεξις (οὐδεὶς γὰρ βούλεται ἀλλ' ἢ ὅταν οἰηθῇ εἶναι ἀγαθόν), ἄλογοι δ' ὀρέξεις ὀργὴ καὶ ἐπιθυμία, ὥστε πάντα ὅσα πράττουσιν ἀνάγκη πράττειν δι' αἰτίας ἑπτά, διὰ τύχην, διὰ φύσιν, διὰ βίαν, δι' ἔθος, διὰ λογισμόν, διὰ θυμόν, δι' ἐπιθυμίαν. τὸ δὲ προσδιαιρεῖσθαι καθ' ἡλικίαν ἢ ἕξεις ἢ ἄλλ' ἄττα τὰ πραττόμενα περίεργον· εἰ γὰρ συμβέβηκε τοῖς νέοις ὀργίλοις εἶναι ἢ ἐπιθυμητικοῖς, οὐ διὰ τὴν νεότητα πράττουσι τὰ τοιαῦτα ἀλλὰ δι' ὀργὴν καὶ ἐπιθυμίαν. οὐδὲ διὰ πλοῦτον καὶ πενίαν, ἀλλὰ συμβέβηκε τοῖς μὲν πένησι διὰ τὴν ἔνδειαν ἐπιθυμεῖν χρημάτων, τοῖς δὲ πλουσίοις διὰ τὴν ἐξουσίαν ἐπιθυμεῖν τῶν μὴ ἀναγκαίων ἡδονῶν. ἀλλὰ πράξουσι καὶ οὗτοι οὐ διὰ πλοῦτον καὶ πενίαν ἀλλὰ διὰ τὴν ἐπιθυμίαν. ὁμοίως δὲ καὶ οἱ δίκαιοι καὶ οἱ ἄδικοι, καὶ οἱ ἄλλοι οἱ λεγόμενοι κατὰ τὰς ἕξεις πράττειν, διὰ ταῦτα πράξουσιν· ἢ γὰρ διὰ λογισμὸν ἢ διὰ πάθος· ἀλλ' οἱ μὲν δι' ἤθη καὶ πάθη χρηστά, οἱ δὲ διὰ τἀναντία. συμβαίνει μέντοι ταῖς μὲν τοιαύταις ἕξεσι τὰ τοιαῦτα ἀκολουθεῖν, ταῖς δὲ τοιαῖσδε τὰ τοιάδε· εὐθὺς γὰρ ἴσως τῷ μὲν σώφρονι διὰ τὸ σώφρονα εἶναι δόξαι τε καὶ ἐπιθυμίαι χρησταὶ ἐπακολου-

θοῦσι περὶ τῶν ἡδέων, τῷ δ' ἀκολάστῳ αἱ ἐναντίαι περὶ τῶν αὐτῶν τούτων. διὸ τὰς μὲν τοιαύτας διαιρέσεις ἐατέον, σκεπτέον δὲ ποῖα ποίοις εἴωθεν ἕπεσθαι· εἰ μὲν γὰρ λευκὸς ἢ μέλας ἢ μέγας ἢ μικρός, οὐδὲν τέτακται τῶν τοιούτων ἀκολουθεῖν, εἰ δὲ νέος ἢ πρεσβύτης ἢ δίκαιος ἢ ἄδικος, ἤδη διαφέρει. καὶ ὅλως ὅσα τῶν συμβαινόντων ποιεῖ διαφέρειν τὰ ἤθη τῶν ἀνθρώπων, οἷον πλουτεῖν δοκῶν ἑαυτῷ ἢ πένεσθαι διοίσει τι, καὶ εὐτυχεῖν ἢ ἀτυχεῖν. ταῦτα μὲν οὖν ὕστερον ἐροῦμεν, νῦν δὲ περὶ τῶν λοιπῶν εἴπωμεν πρῶτον.

ἔστι δ' ἀπὸ τύχης μὲν τὰ τοιαῦτα γιγνόμενα, ὅσων ἥ τε αἰτία ἀόριστος καὶ μὴ ἕνεκά του γίγνεται καὶ μήτε ἀεὶ μήτε ὡς ἐπὶ τὸ πολὺ μήτε τεταγμένως· δῆλον δ' ἐκ τοῦ ὁρισμοῦ τῆς τύχης περὶ τούτων. φύσει δέ, ὅσων ἥ τ' αἰτία ἐν αὐτοῖς καὶ τεταγμένη· ἢ γὰρ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ ὡσαύτως ἀποβαίνει. τὰ γὰρ παρὰ φύσιν οὐδὲν δεῖ ἀκριβολογεῖσθαι, πότερα κατὰ φύσιν τινὰ ἢ ἄλλην αἰτίαν γίγνεται· δόξειε δ' ἂν καὶ ἡ τύχη αἰτία εἶναι τῶν τοιούτων. βίᾳ δέ, ὅσα παρ' ἐπιθυμίαν ἢ τοὺς λογισμοὺς γίγνεται δι' αὐτῶν τῶν πραττόντων. ἔθει δέ, ὅσα διὰ τὸ πολλάκις πεποιηκέναι ποιοῦσιν. διὰ λογισμὸν δὲ τὰ δοκοῦντα συμφέρειν ἐκ τῶν εἰρημένων ἀγαθῶν ἢ ὡς τέλος ἢ ὡς πρὸς τὸ τέλος, ὅταν διὰ τὸ συμφέρειν πράττηται· ἔνια γὰρ καὶ οἱ ἀκόλαστοι συμφέροντα πράττουσιν, ἀλλ' οὐ διὰ τὸ συμφέρειν ἀλλὰ δι' ἡδονήν. διὰ θυμὸν δὲ καὶ ὀργὴν τὰ τιμωρητικά. διαφέρει δὲ τιμωρία καὶ κόλασις· ἡ μὲν γὰρ κόλασις τοῦ πάσχοντος ἕνεκά ἐστιν, ἡ δὲ τιμωρία τοῦ ποιοῦντος, ἵνα ἀποπληρωθῇ. τί μὲν οὖν ἐστὶν ἡ ὀργή, δῆλον ἔσται ἐν τοῖς περὶ παθῶν, δι' ἐπιθυμίαν δὲ πράττεται ὅσα φαίνεται ἡδέα. ἔστι δὲ καὶ τὸ σύνηθες καὶ τὸ ἐθιστὸν ἐν τοῖς ἡδέσιν· πολλὰ γὰρ καὶ τῶν φύσει μὴ ἡδέων, ὅταν συνεθισθῶσιν, ἡδέως ποιοῦσιν. ὥστε

10 συλλαβόντι εἰπεῖν, ὅσα δι' αὐτοὺς πράττουσιν, ἅπαντ' ἐστὶν ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθὰ ἢ ἡδέα ἢ φαινόμενα ἡδέα. ἐπεὶ δ' ὅσα δι' αὐτούς, ἑκόντες πράττουσιν, οὐχ ἑκόντες δὲ ὅσα μὴ δι' αὐτούς, πάντ' ἂν εἴη, ὅσα ἑκόντες πράττουσιν, ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθὰ ἢ ἡδέα ἢ φαινόμενα ἡδέα· τίθημι γὰρ καὶ τὴν τῶν κακῶν ἢ φαινομένων κακῶν ἢ ἀπαλλαγὴν ἢ ἀντὶ μείζονος ἐλάττονος μετάληψιν ἐν τοῖς ἀγαθοῖς (αἱρετὰ γάρ πως), καὶ τὴν τῶν λυπηρῶν ἢ φαινομένων ἢ ἀπαλλαγὴν ἢ μετάληψιν ἀντὶ μειζόνων ἐλαττόνων ἐν τοῖς ἡδέσιν ὡσαύτως. ληπτέον ἄρα τὰ συμφέροντα καὶ ἡδέα, πόσα καὶ ποῖα. περὶ μὲν οὖν τοῦ συμφέροντος ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον, περὶ δὲ τοῦ ἡδέος εἴπωμεν νῦν. δεῖ δὲ νομίζειν ἱκανοὺς εἶναι τοὺς ὅρους, ἐὰν ὦσι περὶ ἑκάστου μήτε ἀσαφεῖς μήτε ἀκριβεῖς.

11 ὑποκείσθω δὴ ἡμῖν εἶναι τὴν ἡδονὴν κίνησίν τινα τῆς ψυχῆς καὶ κατάστασιν ἀθρόαν καὶ αἰσθητὴν εἰς τὴν ὑπάρχουσαν φύσιν, λύπην δὲ τοὐναντίον. εἰ δ' ἐστὶν ἡδονὴ τὸ τοιοῦτον, δῆλον ὅτι καὶ ἡδύ ἐστι τὸ ποιητικὸν τῆς εἰρημένης διαθέσεως, τὸ δὲ φθαρτικὸν ἢ τῆς ἐναντίας καταστάσεως ποιητικὸν λυπηρόν. ἀνάγκη οὖν ἡδὺ εἶναι τό τε εἰς τὸ κατὰ φύσιν ἰέναι ὡς ἐπὶ τὸ πολύ, καὶ μάλιστα ὅταν ἀπειληφότα ᾖ τὴν ἑαυτῶν φύσιν τὰ κατ' αὐτὴν γιγνόμενα, καὶ τὰ ἔθη· καὶ γὰρ τὸ εἰθισμένον ὥσπερ πεφυκὸς ἤδη γίγνεται· ὅμοιον γάρ τι τὸ ἔθος τῇ φύσει· ἐγγὺς γὰρ καὶ τὸ πολλάκις τῷ ἀεί, ἔστι δ' ἡ μὲν φύσις τοῦ ἀεί, τὸ δὲ ἔθος τοῦ πολλάκις. καὶ τὸ μὴ βίαιον· παρὰ φύσιν γὰρ ἡ βία. διὸ τὸ ἀναγκαῖον λυπηρόν, καὶ ὀρθῶς εἴρηται

πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ.

τὰς δ' ἐπιμελείας καὶ τὰς σπουδὰς καὶ τὰς συντονίας λυπηράς· ἀναγκαῖα γὰρ καὶ βίαια ταῦτα, ἐὰν μὴ ἐθισθῶ-

σιν· οὕτω δὲ τὸ ἔθος ποιεῖ ἡδύ. τὰ δ' ἐναντία ἡδέα· διὸ 11
αἱ ῥαθυμίαι καὶ αἱ ἀπονίαι καὶ αἱ ἀμέλειαι καὶ αἱ παιδιαὶ καὶ αἱ ἀναπαύσεις καὶ ὁ ὕπνος τῶν ἡδέων· οὐδὲν γὰρ πρὸς ἀνάγκην τούτων. καὶ οὗ ἂν ἡ ἐπιθυμία ἐνῇ, ἅπαν ἡδύ· ἡ γὰρ ἐπιθυμία τοῦ ἡδέος ἐστὶν ὄρεξις. τῶν δὲ ἐπιθυμιῶν αἱ μὲν ἄλογοί εἰσιν αἱ δὲ μετὰ λόγου. λέγω δὲ ἀλόγους, ὅσας μὴ ἐκ τοῦ ὑπολαμβάνειν ἐπιθυμοῦσιν· εἰσὶ δὲ τοιαῦται ὅσαι εἶναι λέγονται φύσει, ὥσπερ αἱ διὰ τοῦ σώματος ὑπάρχουσαι, οἷον ἡ τροφῆς δίψη καὶ πείνη, καὶ καθ' ἕκαστον [τροφῆς] εἶδος ἐπιθυμίας καὶ περὶ τὰ γευστὰ καὶ ἀφροδίσια καὶ ὅλως τὰ ἁπτά, καὶ περὶ ὀσμὴν εὐωδίας καὶ ἀκοὴν καὶ ὄψιν. μετὰ λόγου δὲ ὅσας ἐκ τοῦ πεισθῆναι ἐπιθυμοῦσιν· πολλὰ γὰρ καὶ θεάσασθαι καὶ κτήσασθαι ἐπιθυμοῦσιν ἀκούσαντες καὶ πεισθέντες. ἐπεὶ δ' ἐστὶ τὸ ἥδεσθαι ἐν τῷ αἰσθάνεσθαί τινος πάθους, ἡ δὲ φαντασία ἐστὶν αἴσθησίς τις ἀσθενής, ἀεὶ ἐν τῷ μεμνημένῳ καὶ τῷ ἐλπίζοντι ἀκολουθοῖ ἂν φαντασία τις οὗ μέμνηται ἢ ἐλπίζει. εἰ δὲ τοῦτο, δῆλον ὅτι καὶ ἡδοναὶ ἅμα μεμνημένοις καὶ ἐλπίζουσιν, ἐπείπερ καὶ αἴσθησις. ὥστ' ἀνάγκη πάντα τὰ ἡδέα ἢ ἐν τῷ αἰσθάνεσθαι εἶναι παρόντα ἢ ἐν τῷ μεμνῆσθαι γεγενημένα ἢ ἐν τῷ ἐλπίζειν μέλλοντα· αἰσθάνονται μὲν γὰρ τὰ παρόντα, μέμνηνται δὲ τὰ γενόμενα, ἐλπίζουσι δὲ τὰ μέλλοντα. τὰ μὲν οὖν μνημονευτὰ ἡδέα ἐστὶν οὐ μόνον ὅσα ἐν τῷ παρόντι, ὅτε παρῆν, ἡδέα ἦν, ἀλλ' ἔνια καὶ οὐχ ἡδέα, ἂν ᾖ ὕστερον καλὸν καὶ ἀγαθὸν τὸ μετὰ τοῦτο· ὅθεν καὶ τοῦτ' εἴρηται,

ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων,

καὶ

μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ
μνησάμενος ὅτε πολλὰ πάθῃ καὶ πολλὰ ἐόργῃ.

τούτου δ' αἴτιον ὅτι ἡδὺ καὶ τὸ μὴ ἔχειν κακόν. τὰ δ' ἐν ἐλπίδι, ὅσα παρόντα ἢ εὐφραίνειν ἢ ὠφελεῖν φαίνεται

11 μεγάλα, καὶ ἄνευ λύπης ὠφελεῖν. ὅλως δ' ὅσα παρόντα εὐφραίνει, καὶ ἐλπίζοντας καὶ μεμνημένους ὡς ἐπὶ τὸ πολύ. διὸ καὶ τὸ ὀργίζεσθαι ἡδύ, ὥσπερ καὶ Ὅμηρος ἐποίησε περὶ τοῦ θυμοῦ

ὅστε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο·

οὐθεὶς γὰρ ὀργίζεται τῷ ἀδυνάτῳ φαινομένῳ τιμωρίας τυχεῖν, οὐδὲ τοῖς πολὺ ὑπὲρ αὑτοὺς τῇ δυνάμει· ἢ οὐκ ὀργίζονται ἢ ἧττον. καὶ ἐν ταῖς πλείσταις ἐπιθυμίαις ἀκολουθεῖ τις ἡδονή· ἢ γὰρ μεμνημένοι ὡς ἔτυχον ἢ ἐλπίζοντες ὡς τεύξονται χαίρουσί τινα ἡδονήν, οἷον οἵ τ' ἐν τοῖς πυρετοῖς ἐχόμενοι ταῖς δίψαις καὶ μεμνημένοι ὡς ἔπιον καὶ ἐλπίζοντες πιεῖσθαι χαίρουσιν, καὶ οἱ ἐρῶντες καὶ διαλεγόμενοι καὶ γράφοντες καὶ ποιοῦντές τι ἀεὶ περὶ τοῦ ἐρωμένου χαίρουσιν· ἐν ἅπασι γὰρ τοῖς τοιούτοις μεμνημένοι οἷον αἰσθάνεσθαι οἴονται τοῦ ἐρωμένου. καὶ ἀρχὴ δὲ τοῦ ἔρωτος αὕτη γίγνεται πᾶσιν, ὅταν μὴ μόνον παρόντος χαίρωσιν, ἀλλὰ καὶ ἀπόντος μεμνημένοι [ἐρῶσιν] λύπη προσγένηται τῷ μὴ παρεῖναι. καὶ ἐν πένθεσι καὶ θρήνοις ὡσαύτως ἐπιγίγνεταί τις ἡδονή· ἡ μὲν γὰρ λύπη ἐπὶ τῷ μὴ ὑπάρχειν, ἡδονὴ δ' ἐν τῷ μεμνῆσθαι καὶ ὁρᾶν πως ἐκεῖνον, καὶ ἃ ἔπραττε, καὶ οἷος ἦν. διὸ καὶ τοῦτ' εἰκότως εἴρηται,

ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.

καὶ τὸ τιμωρεῖσθαι ἡδύ· οὗ γὰρ τὸ μὴ τυγχάνειν λυπηρόν, τὸ τυγχάνειν ἡδύ· οἱ δ' ὀργιζόμενοι λυποῦνται ἀνυπερβλήτως μὴ τιμωρούμενοι, ἐλπίζοντες δὲ χαίρουσιν. καὶ τὸ νικᾶν ἡδύ, οὐ μόνον τοῖς φιλονίκοις ἀλλὰ πᾶσιν· φαντασία γὰρ ὑπεροχῆς γίγνεται, οὗ πάντες ἔχουσιν ἐπιθυμίαν ἢ ἠρέμα ἢ μᾶλλον. ἐπεὶ δὲ τὸ νικᾶν ἡδύ, ἀνάγκη καὶ τὰς παιδιὰς ἡδείας εἶναι τὰς μαχητικὰς καὶ τὰς ἐριστικάς (πολλάκις γὰρ ἐν ταύταις γίγνεται τὸ νικᾶν) καὶ ἀστραγαλίσεις καὶ σφαιρίσεις καὶ κυβείας καὶ

κεττείας. καὶ περὶ τὰς ἐσπουδασμένας δὲ παιδιὰς ὁμοίως· 11 αἱ μὲν γὰρ ἡδεῖαι γίγνονται, ἄν τις ᾖ συνήθης, αἱ δ' εὐθὺς ἡδεῖαι, οἷον κυνηγία καὶ πᾶσα θηρευτική· ὅπου γὰρ ἅμιλλα, ἐνταῦθα καὶ νίκη ἐστίν. διὸ καὶ ἡ δικανικὴ καὶ ἐριστικὴ ἡδεῖα τοῖς εἰθισμένοις καὶ δυναμένοις. καὶ τιμὴ καὶ εὐδοξία τῶν ἡδίστων διὰ τὸ γίγνεσθαι φαντασίαν ἑκάστῳ ὅτι τοιοῦτος οἷος ὁ σπουδαῖος, καὶ μᾶλλον ὅταν φῶσιν οὓς οἴεται ἀληθεύειν. τοιοῦτοι δ' οἱ ἐγγὺς μᾶλλον τῶν πόρρω, καὶ οἱ συνήθεις καὶ οἱ πολῖται τῶν ἄπωθεν, καὶ οἱ ὄντες τῶν μελλόντων, καὶ οἱ φρόνιμοι ἀφρόνων, καὶ πολλοὶ ὀλίγων· μᾶλλον γὰρ εἰκὸς ἀληθεύειν τοὺς εἰρημένους τῶν ἐναντίων· ἐπεὶ ὧν τις πολὺ καταφρονεῖ, ὥσπερ παιδίων ἢ θηρίων, οὐδὲν μέλει τῆς τούτων τιμῆς καὶ τῆς δόξης αὐτῆς γε τῆς δόξης χάριν, ἀλλ' εἴπερ, δι' ἄλλο τι. καὶ ὁ φίλος τῶν ἡδέων· τό τε γὰρ φιλεῖν ἡδύ (οὐδεὶς γὰρ φίλοινος μὴ χαίρων οἴνῳ) καὶ τὸ φιλεῖσθαι ἡδύ· φαντασία γὰρ καὶ ἐνταῦθα τοῦ ὑπάρχειν αὐτῷ ἀγαθὸν εἶναι, οὗ πάντες ἐπιθυμοῦσιν οἱ αἰσθανόμενοι· τὸ δὲ φιλεῖσθαι ἀγαπᾶσθαί ἐστιν αὐτὸν δι' αὐτόν. καὶ τὸ θαυμάζεσθαι ἡδὺ δι' αὐτὸ τὸ τιμᾶσθαι. καὶ τὸ κολακεύεσθαι καὶ ὁ κόλαξ ἡδύ· φαινόμενος γὰρ θαυμαστὴς καὶ φαινόμενος φίλος ὁ κόλαξ ἐστίν. καὶ τὸ ταὐτὰ πράττειν πολλάκις ἡδύ· τὸ γὰρ σύνηθες ἡδὺ ἦν. καὶ τὸ μεταβάλλειν ἡδύ· εἰς φύσιν γὰρ γίγνεται μεταβάλλειν· τὸ γὰρ αὐτὸ ἀεὶ ὑπερβολὴν ποιεῖ τῆς καθεστώσης ἕξεως· ὅθεν εἴρηται

μεταβολὴ πάντων γλυκύ.

διὰ τοῦτο καὶ τὰ διὰ χρόνου ἡδέα ἐστί, καὶ ἄνθρωποι καὶ πράγματα· μεταβολὴ γὰρ ἐκ τοῦ παρόντος ἐστίν, ἅμα δὲ καὶ σπάνιον τὸ διὰ χρόνου. καὶ τὸ μανθάνειν καὶ τὸ θαυμάζειν ἡδὺ ὡς ἐπὶ τὸ πολύ· ἐν μὲν γὰρ τῷ θαυμάζειν τὸ ἐπιθυμεῖν [μαθεῖν] ἐστίν, ὥστε τὸ θαυμαστὸν ἐπι-

11 θυμητόν, ἐν δὲ τῷ μανθάνειν εἰς τὸ κατὰ φύσιν καθίστασθαι. καὶ τὸ εὖ ποιεῖν καὶ τὸ εὖ πάσχειν τῶν ἡδέων· τὸ μὲν γὰρ εὖ πάσχειν τυγχάνειν ὧν ἐπιθυμοῦσι, τὸ δὲ εὖ ποιεῖν ἔχειν καὶ ὑπερέχειν, ὧν ἀμφοτέρων ἐφίενται. διὰ δὲ τὸ ἡδὺ εἶναι τὸ εὐποιητικόν, καὶ τὸ ἐπανορθοῦν ἡδὺ τοῖς ἀνθρώποις ἐστὶ τοὺς πλησίον, καὶ τὸ τὰ ἐλλιπῆ ἐπιτελεῖν. ἐπεὶ δὲ τὸ μανθάνειν τε ἡδὺ καὶ τὸ θαυμάζειν, καὶ τὰ τοιάδε ἀνάγκη ἡδέα εἶναι οἷον τό τε μεμιμημένον, ὥσπερ γραφικὴ καὶ ἀνδριαντοποιία καὶ ποιητική, καὶ πᾶν ὃ ἂν εὖ μεμιμημένον ᾖ, κἂν ᾖ μὴ ἡδὺ αὐτὸ τὸ μεμιμημένον· οὐ γὰρ ἐπὶ τούτῳ χαίρει, ἀλλὰ συλλογισμός ἐστιν ὅτι τοῦτο ἐκεῖνο, ὥστε μανθάνειν τι συμβαίνει. καὶ αἱ περιπέτειαι καὶ τὸ παρὰ μικρὸν σώζεσθαι ἐκ τῶν κινδύνων· πάντα γὰρ θαυμαστὰ ταῦτα. καὶ ἐπεὶ τὸ κατὰ φύσιν ἡδύ, τὰ συγγενῆ δὲ κατὰ φύσιν ἀλλήλοις ἐστίν, πάντα τὰ συγγενῆ καὶ ὅμοια ἡδέα ὡς ἐπὶ τὸ πολύ, οἷον ἄνθρωπος ἀνθρώπῳ ἵππος ἵππῳ καὶ νέος νέῳ. ὅθεν καὶ αἱ παροιμίαι εἴρηνται, ὡς ἧλιξ ἥλικα τέρπει, καὶ ὡς αἰεὶ τὸν ὁμοῖον, καὶ ἔγνω δὲ θὴρ θῆρα, καὶ γὰρ κολοιὸς παρὰ κολοιόν, καὶ ὅσα ἄλλα τοιαῦτα. ἐπεὶ δὲ τὸ ὅμοιον καὶ τὸ συγγενὲς ἡδὺ ἑαυτῷ ἅπαν, μάλιστα δ' αὐτὸς πρὸς ἑαυτὸν ἕκαστος τοῦτο πέπονθεν, ἀνάγκη πάντας φιλαύτους εἶναι ἢ μᾶλλον ἢ ἧττον· πάντα γὰρ τὰ τοιαῦτα ὑπάρχει πρὸς αὐτὸν μάλιστα. ἐπεὶ δὲ φίλαυτοι πάντες, καὶ τὰ αὑτῶν ἀνάγκη ἡδέα εἶναι πᾶσιν, οἷον ἔργα καὶ λόγους. διὸ καὶ φιλοκόλακες ὡς ἐπὶ τὸ πολὺ [καὶ φιλερασταὶ] καὶ φιλότιμοι καὶ φιλότεκνοι· αὑτῶν γὰρ ἔργα τὰ τέκνα. καὶ τὰ ἐλλιπῆ ἐπιτελεῖν ἡδύ· αὑτῶν γὰρ ἔργον ἤδη γίγνεται. καὶ ἐπεὶ τὸ ἄρχειν ἥδιστον, καὶ τὸ σοφὸν δοκεῖν εἶναι ἡδύ· ἀρχικὸν γὰρ τὸ φρονεῖν, ἔστι δ' ἡ σοφία πολλῶν καὶ θαυμαστῶν ἐπιστήμη. ἔτι ἐπεὶ φιλότιμοι ὡς ἐπὶ τὸ πολύ, ἀνάγκη καὶ τὸ ἐπιτιμᾶν τοῖς πέλας ἡδὺ εἶναι καὶ τὸ

ἄρχειν. καὶ τὸ ἐν ᾧ δοκεῖ βέλτιστος αὐτὸς αὑτοῦ εἶναι, 11
ἐνταῦθα διατρίβειν, ὥσπερ καὶ ὁ ποιητής φησι

κἀπὶ τοῦτ' ἐπείγεται,
νέμων ἑκάστης ἡμέρας πλεῖστον μέρος,
ἵν' αὐτὸς αὑτοῦ τυγχάνει βέλτιστος ὤν.

ὁμοίως δὲ καὶ ἐπεὶ ἡ παιδιὰ τῶν ἡδέων καὶ πᾶσα ἄνεσις, [καὶ ὁ γέλως τῶν ἡδέων,] ἀνάγκη καὶ τὰ γελοῖα ἡδέα εἶναι, καὶ ἀνθρώπους καὶ λόγους καὶ ἔργα· διώρισται δὲ περὶ γελοίων χωρὶς ἐν τοῖς περὶ ποιητικῆς.

περὶ μὲν οὖν ἡδέων εἰρήσθω ταῦτα, τὰ δὲ λυπηρὰ ἐκ τῶν ἐναντίων τούτοις φανερά.

ὧν μὲν οὖν ἕνεκα ἀδικοῦσι, ταῦτ' ἐστίν· πῶς δ' ἔχον- 12
τες καὶ τίνας, λέγωμεν νῦν. αὐτοὶ μὲν οὖν ὅταν οἴωνται δυνατὸν εἶναι τὸ πρᾶγμα πραχθῆναι καὶ αὑτοῖς δυνατόν, εἴτε ἂν λαθεῖν πράξαντες, ἢ μὴ λαθόντες μὴ δοῦναι δίκην, ἢ δοῦναι μὲν ἀλλ' ἐλάττω τὴν ζημίαν εἶναι τοῦ κέρδους αὑτοῖς ἢ ὧν κήδονται. ποῖα μὲν οὖν δυνατὰ φαίνεται καὶ ποῖα ἀδύνατα, ἐν τοῖς ὕστερον ῥηθήσεται (κοινὰ γὰρ ταῦτα πάντων τῶν λόγων), αὐτοὶ δ' οἴονται δυνατοὶ εἶναι [μάλιστα ἀζήμιοι] ἀδικεῖν οἱ εἰπεῖν δυνάμενοι καὶ οἱ πρακτικοὶ καὶ ἔμπειροι πολλῶν ἀγώνων, κἂν πολύφιλοι ὦσιν, κἂν πλούσιοι. καὶ μάλιστα μέν, ἂν αὐτοὶ ὦσιν ἐν τοῖς εἰρημένοις, οἴονται δύνασθαι, εἰ δὲ μή, κἂν ὑπάρχωσιν αὐτοῖς τοιοῦτοι φίλοι ἢ ὑπηρέται ἢ κοινωνοί· διὰ γὰρ ταῦτα δύνανται καὶ πράττειν καὶ λανθάνειν καὶ μὴ δοῦναι δίκην. καὶ ἐὰν φίλοι ὦσι τοῖς ἀδικουμένοις ἢ τοῖς κριταῖς· οἱ μὲν γὰρ φίλοι ἀφύλακτοί τε πρὸς τὸ ἀδικεῖσθαι καὶ προσκαταλλάττονται πρὶν ἐπεξελθεῖν, οἱ δὲ κριταὶ χαρίζονται οἷς ἂν φίλοι ὦσι, καὶ ἢ ὅλως ἀφιᾶσιν ἢ μικροῖς ζημιοῦσιν. λαθητικοὶ δ' εἰσὶν οἵ τ' ἐναντίοι τοῖς ἐγκλήμασιν, οἷον ἀσθενὴς περὶ αἰκίας καὶ ὁ πένης καὶ ὁ αἰσχρὸς περὶ μοιχείας. καὶ τὰ λίαν ἐν φανερῷ καὶ ἐν

12 ὀφθαλμοῖς· ἀφύλακτα γὰρ διὰ τὸ ὅλως μηδένα ἂν ... σθαι. καὶ τὰ τηλικαῦτα καὶ τὰ τοιαῦτα οἷα μηδ' ἂν ... ἀφύλακτα γὰρ καὶ ταῦτα· πάντες γὰρ τὰ εἰωθότα ὥσ... ἀρρωστήματα φυλάττονται καὶ τἀδικήματα, ὃ δὲ μηδ... πω ἠρρώστηκεν, οὐδεὶς εὐλαβεῖται. καὶ οἷς μηδεὶς ἐχθ... ἢ πολλοί· οἱ μὲν γὰρ οἴονται λήσειν διὰ τὸ μὴ φυλάτ... σθαι, οἱ δὲ λανθάνουσι διὰ τὸ μὴ δοκεῖν ἂν ἐπιχειρῆ... φυλαττομένοις, καὶ διὰ τὸ ἀπολογίαν ἔχειν ὅτι οὐκ ... ἐνεχείρησαν. καὶ οἷς ὑπάρχει κρύψις ἢ τρόποις ἢ τόπ... ἢ διαθέσεις εὔποροι. καὶ ὅσοις μὴ λανθάνουσιν ἐστὶ δι... σις δίκης ἢ ἀναβολὴ χρόνου ἢ διαφθοραὶ κριτῶν. καὶ ... ἐὰν γένηται ζημία, ἐστὶ δίωσις τῆς ἐκτίσεως ἢ ἀναβ... χρόνιος, ἢ δι' ἀπορίαν μηδὲν ἕξει ὅ τι ἀπολέσῃ. καὶ ... τὰ μὲν κέρδη φανερὰ ἢ μεγάλα ἢ ἐγγύς, αἱ δὲ ζημίαι ... κραὶ ἢ ἀφανεῖς ἢ πόρρω. καὶ ὧν μή ἐστι τιμωρία ἴση ... ὠφελείᾳ, οἷον δοκεῖ ἡ τυραννίς. καὶ ὅσοις τὰ μὲν ἀδικ... ματα λήμματα, αἱ δὲ ζημίαι ὀνείδη μόνον. καὶ οἷς τ... ναντίον τὰ μὲν ἀδικήματα εἰς ἔπαινόν τινα, οἷον εἰ σ... έβη ἅμα τιμωρήσασθαι ὑπὲρ πατρὸς ἢ μητρός, ὥσπ... Ζήνωνι, αἱ δὲ ζημίαι εἰς χρήματα ἢ φυγὴν ἢ τοιοῦτόν ... δι' ἀμφότερα γὰρ ἀδικοῦσι καὶ ἀμφοτέρως ἔχοντες, πλ... οὐχ οἱ αὐτοὶ ἀλλ' οἱ ἐναντίοι τοῖς ἤθεσιν. καὶ οἱ πολλά... ἢ λεληθότες ἢ μὴ ἐζημιωμένοι. καὶ οἱ πολλάκις ἀποτετ... χηκότες· εἰσὶ γάρ τινες καὶ ἐν τοῖς τοιούτοις, ὥσπερ ... τοῖς πολεμικοῖς, οἷοι ἀναμάχεσθαι. καὶ οἷς ἂν παραχρῆ... ᾖ τὸ ἡδύ, τὸ δὲ λυπηρὸν ὕστερον, ἢ τὸ κέρδος, ἡ δὲ ζ... μία ὕστερον· οἱ γὰρ ἀκρατεῖς τοιοῦτοι, ἔστι δ' ἀκρασ... περὶ πάντα ὅσων ὀρέγονται. καὶ οἷς ἂν τοὐναντίον ... μὲν λυπηρὸν ἤδη ᾖ ἢ ἡ ζημία, τὸ δὲ ἡδὺ καὶ ὠφέλιμ... ὕστερα καὶ χρονιώτερα· οἱ γὰρ ἐγκρατεῖς καὶ φρονιμ... τεροι τὰ τοιαῦτα διώκουσιν. καὶ οἷς ἂν ἐνδέχηται ... τύχην δόξαι πρᾶξαι ἢ δι' ἀνάγκην ἢ διὰ φύσιν ἢ δι' ἔθ...

; ἁμαρτεῖν ἀλλὰ μὴ ἀδικεῖν. καὶ οἷς ἂν ᾖ τοῦ ἐπι- 12 υχεῖν. καὶ ὅσοι ἂν ἐνδεεῖς ὦσιν. διχῶς δ' εἰσὶν ἢ γὰρ ὡς ἀναγκαίου, ὥσπερ οἱ πένητες, ἢ ὡς lῆς, ὥσπερ οἱ πλούσιοι. καὶ οἱ σφόδρα εὐδοκι- καὶ οἱ σφόδρα ἀδοξοῦντες, οἱ μὲν ὡς οὐ δόξον- ι' ὡς οὐδὲν μᾶλλον ἀδοξοῦντες.

ιὶ μὲν οὖν οὕτως ἔχοντες ἐπιχειροῦσιν, ἀδικοῦσι τοιούτους καὶ τὰ τοιαῦτα τοὺς ἔχοντας ὧν αὐτοὶ ἢ εἰς τἀναγκαῖα ἢ εἰς ὑπεροχὴν ἢ εἰς ἀπόλαυσιν, ; πόρρω καὶ τοὺς ἐγγύς· τῶν μὲν γὰρ ἡ λῆψις τῶν δ' ἡ τιμωρία βραδεῖα, οἷον οἱ συλῶντες τοὺς ονίους. καὶ τοὺς μὴ εὐλαβεῖς μηδὲ φυλακτικοὺς ιστευτικούς· ῥᾴδιον γὰρ πάντας λαθεῖν. καὶ τοὺς υς· ἐπιμελοῦς γὰρ τὸ ἐπεξελθεῖν. καὶ τοὺς αἰ- ούς· οὐ γὰρ μαχητικοὶ περὶ κέρδους. καὶ τοὺς λῶν ἀδικηθέντας καὶ μὴ ἐπεξελθόντας ὡς ὄντας ν παροιμίαν τούτους Μυσῶν λείαν. καὶ οὓς μη- τε καὶ οὓς πολλάκις· ἀμφότεροι γὰρ ἀφύλακτοι, ς οὐδέποτε, οἱ δ' ὡς οὐκ ἂν ἔτι. καὶ τοὺς διαβε- υς ἢ εὐδιαβόλους· οἱ τοιοῦτοι γὰρ οὔτε προαι- , φοβούμενοι τοὺς κριτάς, οὔτε δύνανται πεί- ν οἱ μισούμενοι καὶ φθονούμενοί εἰσιν. καὶ πρὸς υσι πρόφασιν ἢ προγόνων ἢ αὐτῶν ἢ φίλων ἢ των κακῶς ἢ μελλησάντων ἢ αὐτοὺς ἢ προγό- ὶν κήδονται· ὥσπερ γὰρ ἡ παροιμία, προφάσεως όνου ἡ πονηρία. καὶ τοὺς ἐχθροὺς καὶ τοὺς φί- οὺς μὲν γὰρ ῥᾴδιον, τοὺς δ' ἡδύ. καὶ τοὺς ἀφί- κὶ τοὺς μὴ δεινοὺς εἰπεῖν ἢ πρᾶξαι· ἢ γὰρ οὐκ ὴσιν ἐπεξιέναι, ἢ καταλλάττονται, ἢ οὐδὲν περαί- καὶ οἷς μὴ λυσιτελεῖ διατρίβειν ἐπιτηροῦσιν ἢ ἔκτισιν, οἷον οἱ ξένοι καὶ αὐτουργοί· ἐπὶ μικρῷ διαλύονται καὶ ῥᾳδίως καταπαύονται. καὶ τοὺς

12 πολλὰ ἠδικηκότας, ἢ τοιαῦτα οἷα ἀδικοῦνται· ἐγγὺς γ τι δοκεῖ τοῦ μὴ ἀδικεῖν εἶναι, ὅταν τι τοιοῦτον ἀδικη τις οἷον εἰώθει καὶ αὐτὸς ἀδικεῖν· λέγω δ' ὅτι εἴ τις ι εἰωθότα ὑβρίζειν αἰκίσαιτο. καὶ τοὺς ἢ πεποιηκότας κ κῶς ἢ βουληθέντας ἢ βουλομένους ἢ ποιήσοντας· ἔ γὰρ καὶ τὸ ἡδὺ καὶ τὸ καλόν, καὶ ἐγγὺς τοῦ μὴ ἀδικ φαίνεται. καὶ οἷς χαριοῦνται ἢ φίλοις ἢ θαυμαζομέν ἢ ἐρωμένοις ἢ κυρίοις ἢ ὅλως πρὸς οὓς ζῶσιν αὐτοί. πρὸς οὓς ἔστιν ἐπιεικείας τυχεῖν. καὶ οἷς ἂν ἐγκεκλη τες ὦσι καὶ προδιακεχωρηκότες, οἷον Κάλλιππος ἐπο τὰ περὶ Δίωνα· καὶ γὰρ τὰ τοιαῦτα ἐγγὺς τοῦ μὴ ἀδικ φαίνεται. καὶ τοὺς ὑπ' ἄλλων μέλλοντας, ἂν μὴ αὐτ ὡς οὐκέτι ἐνδεχόμενον βουλεύσασθαι, ὥσπερ λέγεται Α νεσίδημος Γέλωνι πέμψαι κοττάβια ἀνδραποδισαμέ ὅτι ἔφθασεν, ὡς καὶ αὐτὸς μέλλων. καὶ οὓς ἀδικήσαν δυνήσονται πολλὰ δίκαια πράττειν, ὡς ῥᾳδίως ἰασόμ νοι, ὥσπερ ἔφη Ἰάσων ὁ Θετταλὸς δεῖν ἀδικεῖν ἔν ὅπως δύνηται καὶ δίκαια πολλὰ ποιεῖν. καὶ ἃ πάντες πολλοὶ ἀδικεῖν εἰώθασιν· συγγνώμης γὰρ οἴονται τε ξεσθαι. καὶ τὰ ῥᾴδια κρύψαι· τοιαῦτα δ' ὅσα ταχὺ ἀν λίσκεται, οἷον τὰ ἐδώδιμα. ἢ τὰ εὐμετάβλητα σχήμασ ἢ χρώμασιν ἢ κράσεσιν, ἢ ἃ πολλαχοῦ ἀφανίσαι εὔπ ρον· τοιαῦτα δὲ τὰ εὐβάστακτα καὶ ἐν μικροῖς τόπο ἀφανιζόμενα. καὶ οἷς ἀδιάφορα καὶ ὅμοια πολλὰ προϋ ῆρχε τῷ ἀδικοῦντι. καὶ ὅσα αἰσχύνονται οἱ ἀδικηθέντ λέγειν, οἷον γυναικῶν οἰκείων ὕβρεις ἢ εἰς αὐτοὺς υἱεῖς. καὶ ὅσα φιλοδικεῖν δόξειεν ἂν ὁ ἐπεξιών· τοιαῦ δὲ τὰ μικρὰ καὶ ἐφ' οἷς συγγνώμη.

ὡς μὲν οὖν ἔχοντες ἀδικοῦσι, καὶ ποῖα καὶ ποίους κ
13 διὰ τί, σχεδὸν ταῦτ' ἐστίν· τὰ δ' ἀδικήματα πάντα κ τὰ δικαιώματα διέλωμεν, ἀρξάμενοι πρῶτον ἐντεῦθ ὥρισται δὴ τὰ δίκαια καὶ τὰ ἄδικα πρός τε νόμους [δύ

καὶ πρὸς οὕς ἐστι, διχῶς. λέγω δὲ νόμον τὸν μὲν ἴδιον 13 τὸν δὲ κοινόν, ἴδιον μὲν τὸν ἑκάστοις ὡρισμένον πρὸς αὑτούς, καὶ τοῦτον τὸν μὲν ἄγραφον τὸν δὲ γεγραμμένον, κοινὸν δὲ τὸν κατὰ φύσιν. ἔστι γάρ, ὃ μαντεύονταί τι πάντες, φύσει κοινὸν δίκαιον καὶ ἄδικον, κἂν μηδεμία κοινωνία πρὸς ἀλλήλους ᾖ μηδὲ συνθήκη, οἷον καὶ ἡ Σοφοκλέους Ἀντιγόνη φαίνεται λέγουσα, ὅτι δίκαιον ἀπειρημένον θάψαι τὸν Πολυνείκη, ὡς φύσει ὂν τοῦτο δίκαιον·

οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε
ζῇ τοῦτο, κοὐδεὶς οἶδεν ἐξ ὅτου φάνη.

καὶ ὡς Ἐμπεδοκλῆς λέγει περὶ τοῦ μὴ κτείνειν τὸ ἔμψυχον· τοῦτο γὰρ οὐ τισὶ μὲν δίκαιον τισὶ δ' οὐ δίκαιον,

ἀλλὰ τὸ μὲν πάντων νόμιμον διά τ' εὐρυμέδοντος
αἰθέρος ἠνεκέως τέταται διά τ' ἀπλέτου αὖ γῆς.

καὶ ὡς ἐν τῷ Μεσσηνιακῷ λέγει Ἀλκιδάμας **. πρὸς οὓς δέ, [διώρισται] διχῶς ὥρισται· ἢ γὰρ πρὸς τὸ κοινὸν ἢ πρὸς ἕνα τῶν κοινωνούντων, ἃ δεῖ πράττειν καὶ μὴ πράττειν. διὸ καὶ τἀδικήματα καὶ τὰ δικαιώματα διχῶς ἔστιν ἀδικεῖν καὶ δικαιοπραγεῖν· ἢ γὰρ πρὸς ἕνα καὶ ὡρισμένον ἢ πρὸς τὸ κοινόν· ὁ γὰρ μοιχεύων καὶ τύπτων ἀδικεῖ τινὰ τῶν ὡρισμένων, ὁ δὲ μὴ στρατευόμενος τὸ κοινόν.

ἁπάντων δὴ τῶν ἀδικημάτων διῃρημένων, καὶ τῶν μὲν ὄντων πρὸς τὸ κοινὸν τῶν δὲ πρὸς ἄλλον καὶ πρὸς ἄλλους, ἀναλαβόντες τί ἐστι τὸ ἀδικεῖσθαι, λέγωμεν. ἔστι δὴ τὸ ἀδικεῖσθαι τὸ ὑπὸ ἑκόντος τὰ ἄδικα πάσχειν· τὸ γὰρ ἀδικεῖν ὥρισται πρότερον ἑκούσιον εἶναι. ἐπεὶ δ' ἀνάγκη τὸν ἀδικούμενον βλάπτεσθαι καὶ ἀκουσίως βλάπτεσθαι, αἱ μὲν βλάβαι ἐκ τῶν πρότερον φανεραί εἰσιν· τὰ γὰρ ἀγαθὰ καὶ τὰ κακὰ εἴρηται καθ' αὑτὰ πρότε-

13 ρον, καὶ τὰ ἑκούσια, ὅτι ἔστιν ὅσα εἰδότες. ὥστ᾽ ἀνάγκη πάντα τὰ ἐγκλήματα ἢ πρὸς τὸ κοινὸν ἢ πρὸς τὸ ἴδιον εἶναι, ἢ καὶ ἀγνοοῦντος ἢ ἄκοντος, ἢ ἑκόντος καὶ εἰδότος, καὶ τούτων τὰ μὲν προελομένου τὰ δὲ διὰ πάθος. περὶ μὲν οὖν θυμοῦ ῥηθήσεται ἐν τοῖς περὶ τὰ πάθη, ποῖα δὲ προαιροῦνται καὶ πῶς ἔχοντες, εἴρηται πρότερον. ἐπεὶ δ᾽ ὁμολογοῦντες πολλάκις πεπραχέναι ἢ τὸ ἐπίγραμμα οὐχ ὁμολογοῦσιν ἢ περὶ ὃ τὸ ἐπίγραμμα, οἷον λαβεῖν μὲν ἀλλ᾽ οὐ κλέψαι, καὶ πατάξαι πρότερον ἀλλ᾽ οὐχ ὑβρίσαι, καὶ συγγενέσθαι ἀλλ᾽ οὐ μοιχεῦσαι, ἢ κλέψαι ἀλλ᾽ οὐχ ἱεροσυλῆσαι (οὐ γὰρ θεοῦ), ἢ ἐπεργάσασθαι μὲν ἀλλ᾽ οὐ δημοσίαν, ἢ διειλέχθαι μὲν τοῖς πολεμίοις ἀλλ᾽ οὐ προδοῦναι, διὰ ταῦτα δέοι ἂν καὶ περὶ τούτων διωρίσθαι, τί κλοπή, τί ὕβρις, τί μοιχεία, ὅπως ἐάν τε ὑπάρχειν ἐάν τε μὴ ὑπάρχειν βουλώμεθα δεικνύναι, ἔχωμεν ἐμφανίζειν τὸ δίκαιον. ἔστι δὲ πάντα τὰ τοιαῦτα περὶ τοῦ ἄδικον εἶναι καὶ φαῦλον ἢ μὴ ἄδικον ἡ ἀμφισβήτησις· ἐν γὰρ τῇ προαιρέσει ἡ μοχθηρία καὶ τὸ ἀδικεῖν, τὰ δὲ τοιαῦτα τῶν ὀνομάτων προσσημαίνει τὴν προαίρεσιν, οἷον ὕβρις καὶ κλοπή· οὐ γὰρ εἰ ἐπάταξε, πάντως ὕβρισεν, ἀλλ᾽ εἰ ἕνεκά του, οἷον τοῦ ἀτιμάσαι ἐκεῖνον ἢ αὐτὸς ἡσθῆναι. οὐδὲ πάντως, εἰ λάθρᾳ ἔλαβεν, ἔκλεψεν, ἀλλ᾽ εἰ ἐπὶ βλάβῃ [ἔκλεψε] καὶ σφετερισμῷ ἑαυτοῦ. ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ἔχει, ὥσπερ καὶ περὶ τούτων.

ἐπεὶ δὲ τῶν δικαίων καὶ τῶν ἀδίκων ἦν δύο εἴδη (τὰ μὲν γὰρ γεγραμμένα τὰ δ᾽ ἄγραφα), περὶ ὧν μὲν οἱ νόμοι ἀγορεύουσιν εἴρηται, τῶν δ᾽ ἀγράφων δύο ἐστὶν εἴδη· ταῦτα δ᾽ ἐστὶ τὰ μὲν καθ᾽ ὑπερβολὴν ἀρετῆς καὶ κακίας, ἐφ᾽ οἷς ὀνείδη καὶ ἔπαινοι καὶ ἀτιμίαι καὶ τιμαὶ καὶ δωρεαί, οἷον τὸ χάριν ἔχειν τῷ ποιήσαντι εὖ καὶ ἀντευποιεῖν τὸν εὖ ποιήσαντα καὶ βοηθητικὸν εἶναι τοῖς φίλοις καὶ ὅσα ἄλλα τοιαῦτα, τὰ δὲ τοῦ ἰδίου νόμου καὶ

γεγραμμένου ἔλλειμμα. τὸ γὰρ ἐπιεικὲς δοκεῖ δίκαιον 13 εἶναι, ἔστι δὲ ἐπιεικὲς παρὰ τὸν γεγραμμένον νόμον δίκαιον. συμβαίνει δὲ τοῦτο τὰ μὲν ἑκόντων τὰ δὲ ἀκόντων τῶν νομοθετῶν, ἀκόντων μὲν ὅταν λάθῃ, ἑκόντων δ' ὅταν μὴ δύνωνται διορίσαι, ἀλλ' ἀναγκαῖον μὲν ᾖ καθόλου εἰπεῖν, μὴ ᾖ δέ, ἀλλ' ὡς ἐπὶ τὸ πολύ. καὶ ὅσα μὴ ῥᾴδιον διορίσαι δι' ἀπειρίαν, οἷον τὸ τρῶσαι σιδήρῳ πηλίκῳ καὶ ποιῷ τινί· ὑπολείποι γὰρ ἂν ὁ αἰὼν διαριθμοῦντα. ἂν οὖν ᾖ ἀδιόριστον, δέῃ δὲ νομοθετῆσαι, ἀνάγκη ἁπλῶς εἰπεῖν, ὥστε κἂν δακτύλιον ἔχων ἐπάρηται τὴν χεῖρα ἢ πατάξῃ, κατὰ μὲν τὸν γεγραμμένον νόμον ἔνοχος ἔσται καὶ ἀδικεῖ, κατὰ δὲ τὸ ἀληθὲς οὐκ ἀδικεῖ, καὶ τὸ ἐπιεικὲς τοῦτό ἐστιν. εἰ δ' ἐστὶ τὸ ὡρισμένον τὸ ἐπιεικές, φανερὸν ποῖά ἐστι τὰ ἐπιεικῆ καὶ οὐκ ἐπιεικῆ, καὶ ποῖοι οὐκ ἐπιεικεῖς ἄνθρωποι· ἐφ' οἷς τε γὰρ δεῖ συγγνώμην ἔχειν, ἐπιεικῆ ταῦτα, καὶ τὸ τὰ ἁμαρτήματα καὶ τὰ ἀδικήματα μὴ τοῦ ἴσου ἀξιοῦν, μηδὲ τὰ ἀτυχήματα καὶ τὰ ἁμαρτήματα· ἔστι δ' ἀτυχήματα μὲν ὅσα παράλογα καὶ μὴ ἀπὸ μοχθηρίας, ἁμαρτήματα δὲ ὅσα μὴ παράλογα καὶ μὴ ἀπὸ πονηρίας, ἀδικήματα δὲ ὅσα μήτε παράλογα ἀπὸ πονηρίας τ' ἐστίν· τὰ γὰρ δι' ἐπιθυμίαν ἀπὸ πονηρίας. καὶ τὸ τοῖς ἀνθρωπίνοις συγγινώσκειν ἐπιεικές. καὶ τὸ μὴ πρὸς τὸν νόμον ἀλλὰ πρὸς τὸν νομοθέτην, καὶ μὴ πρὸς τὸν λόγον ἀλλὰ πρὸς τὴν διάνοιαν τοῦ νομοθέτου σκοπεῖν, καὶ μὴ πρὸς τὴν πρᾶξιν ἀλλὰ πρὸς τὴν προαίρεσιν, καὶ μὴ πρὸς τὸ μέρος ἀλλὰ πρὸς τὸ ὅλον, μηδὲ ποῖός τις νῦν, ἀλλὰ ποῖός τις ἦν ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολύ. καὶ τὸ μνημονεύειν μᾶλλον ὧν ἔπαθεν ἀγαθῶν ἢ κακῶν, καὶ ἀγαθῶν ὧν ἔπαθε μᾶλλον ἢ ἐποίησεν. καὶ τὸ ἀνέχεσθαι ἀδικούμενον. καὶ τὸ μᾶλλον λόγῳ ἐθέλειν κρίνεσθαι ἢ ἔργῳ. καὶ τὸ εἰς δίαιταν μᾶλλον ἢ εἰς δίκην βούλεσθαι ἰέναι· ὁ γὰρ διαιτητὴς τὸ ἐπιεικὲς ὁρᾷ, ὁ δὲ δικα-

13 στὴς τὸν νόμον· καὶ τούτου ἕνεκα διαιτητὴς εὑρέθη, ὅπως τὸ ἐπιεικὲς ἰσχύῃ.

περὶ μὲν οὖν τῶν ἐπιεικῶν διωρίσθω τὸν τρόπον
14 τοῦτον. ἀδίκημα δὲ μεῖζον, ὅσῳ ἂν ἀπὸ μείζονος ᾖ ἀδικίας· διὸ τὰ ἐλάχιστα μέγιστα, οἷον ὃ Μελανώπου Καλλίστρατος κατηγόρει, ὅτι παρελογίσατο τρία ἡμιωβέλια ἱερὰ τοὺς ναοποιούς· ἐπὶ δικαιοσύνης δὲ τοὐναντίον. ἔστι δὲ ταῦτα ἐκ τοῦ ἐνυπάρχειν τῇ δυνάμει· ὁ γὰρ τρία ἡμιωβέλια ἱερὰ κλέψας κἂν ὁτιοῦν ἀδικήσειεν. ὁτὲ μὲν δὴ οὕτω τὸ μεῖζον, ὁτὲ δ' ἐκ τοῦ βλάβους κρίνεται. καὶ οὗ μή ἐστιν ἴση τιμωρία, ἀλλὰ πᾶσα ἐλάττων. καὶ οὗ μή ἐστιν ἴασις· χαλεπὸν γὰρ καὶ ἀδύνατον. καὶ οὗ μὴ ἔστι δίκην λαβεῖν τὸν παθόντα· ἀνίατον γάρ· ἡ γὰρ δίκη κόλασις καὶ ἴασις. καὶ εἰ ὁ παθὼν καὶ ἀδικηθεὶς αὐτὸς αὑτὸν μεγάλως ἐκόλασεν· ἔτι γὰρ μείζονι ὁ ποιήσας δίκαιος κολασθῆναι, οἷον Σοφοκλῆς ὑπὲρ Εὐκτήμονος συνηγορῶν, ἐπεὶ ἀπέσφαξεν ἑαυτὸν ὑβρισθείς, οὐ τιμήσειν ἔφη ἐλάττονος ἢ ὁ παθὼν ἑαυτῷ ἐτίμησεν. καὶ ὃ μόνος ἢ πρῶτος ἢ μετ' ὀλίγων πεποίηκεν. καὶ τὸ πολλάκις τὸ αὐτὸ ἁμαρτάνειν [μέγα]. καὶ δι' ὃ ἂν ζητηθείη καὶ εὑρεθείη τὰ κωλύοντα καὶ ζημιοῦντα, οἷον ἐν Ἄργει ζημιοῦται δι' ὃν ἂν νόμος τεθῇ καὶ δι' οὓς τὸ δεσμωτήριον ᾠκοδομήθη. καὶ τὸ θηριωδέστερον ἀδίκημα μεῖζον. καὶ ὃ ἐκ προνοίας μᾶλλον. καὶ ὃ οἱ ἀκούοντες φοβοῦνται μᾶλλον ἢ ἐλεοῦσιν. καὶ τὰ μὲν ῥητορικά ἐστι τοιαῦτα, ὅτι πολλὰ ἀνῄρηκε ἢ ὑπερβέβηκεν, οἷον ὅρκους δεξιὰς πίστεις ἐπιγαμίας· πολλῶν γὰρ ἀδικημάτων ὑπεροχή. καὶ τὸ ἐνταῦθα οὗ κολάζονται οἱ ἀδικοῦντες, ὅπερ ποιοῦσιν οἱ ψευδομαρτυροῦντες· ποῦ γὰρ οὐκ ἂν ἀδικήσειεν, εἴ γε καὶ ἐν τῷ δικαστηρίῳ; καὶ ἐφ' οἷς αἰσχύνη μάλιστα. καὶ εἰ τοῦτον ὑφ' οὗ εὖ πέπονθεν· πλείω γὰρ ἀδικεῖ, ὅτι τε κακῶς ποιεῖ καὶ ὅτι οὐκ εὖ. καὶ ὃ παρὰ τὰ ἄγραφα δίκαια·

ίνονος γὰρ μὴ δι' ἀνάγκην δίκαιον εἶναι· τὰ μὲν οὖν 14
ραμμένα ἐξ ἀνάγκης, τὰ δ' ἄγραφα οὔ. ἄλλον δὲ τρό-
', εἰ παρὰ τὰ γεγραμμένα· ὁ γὰρ τὰ φοβερὰ ἀδικῶν
τὰ ἐπιζήμια καὶ τὰ μὴ ἐπιζήμια ἀδικήσειεν ἄν.

περὶ μὲν οὖν ἀδικήματος μείζονος καὶ ἐλάττονος εἴ-
αι, περὶ δὲ τῶν ἀτέχνων καλουμένων πίστεων ἐχόμε- 15
' ἐστι τῶν εἰρημένων ἐπιδραμεῖν· ἴδιαι γὰρ αὗται τῶν
ανικῶν. εἰσὶ δὲ πέντε τὸν ἀριθμόν, νόμοι μάρτυρες
νθῆκαι βάσανοι ὅρκος. πρῶτον μὲν οὖν περὶ νόμων
ωμεν, πῶς χρηστέον [καὶ προτρέποντα καὶ ἀποτρέ-
ντα] καὶ κατηγοροῦντα καὶ ἀπολογούμενον. φανερὸν
ὅτι, ἐὰν μὲν ἐναντίος ᾖ ὁ γεγραμμένος τῷ πράγματι,
κοινῷ χρηστέον καὶ τοῖς ἐπιεικέσιν ὡς δικαιοτέροις.
ὅτι τὸ γνώμῃ τῇ ἀρίστῃ τοῦτ' ἐστί, τὸ μὴ παντελῶς
ἦσθαι τοῖς γεγραμμένοις. καὶ ὅτι τὸ μὲν ἐπιεικὲς ἀεὶ
ει καὶ οὐδέποτε μεταβάλλει, οὐδ' ὁ κοινός (κατὰ φύ-
γάρ ἐστιν), οἱ δὲ γεγραμμένοι πολλάκις· ὅθεν εἴρη-
τὰ ἐν τῇ Σοφοκλέους Ἀντιγόνῃ· ἀπολογεῖται γὰρ ὅτι
κψε παρὰ τὸν νόμον, ἀλλ' οὐ παρὰ τὸν ἄγραφον·

οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε.
ταῦτ' οὖν ἐγὼ οὐκ ἤμελλον ἀνδρὸς οὐδενός.

ὅτι τὸ δίκαιόν ἐστιν ἀληθές τε καὶ συμφέρον, ἀλλ' οὐ
δοκοῦν· ὥστ' οὐ νόμος ὁ γεγραμμένος· οὐ γὰρ ποιεῖ
ἔργον τὸ τοῦ νόμου. καὶ ὅτι ὥσπερ ἀργυρογνώμων ὁ
τής ἐστιν, ὅπως διακρίνῃ τὸ κίβδηλον δίκαιον καὶ τὸ
ηθές. καὶ ὅτι βελτίονος ἀνδρὸς τὸ τοῖς ἀγράφοις ἢ τοῖς
ραμμένοις χρῆσθαι καὶ ἐμμένειν. καὶ εἴ που ἐναντίος
ιῳ εὐδοκιμοῦντι ἢ καὶ αὐτὸς αὐτῷ· οἷον ἐνίοτε ὁ μὲν
εύει κύρια εἶναι ἅττ' ἂν συνθῶνται, ὁ δ' ἀπαγορεύει
συντίθεσθαι παρὰ τὸν νόμον. καὶ εἰ ἀμφίβολος, ὥστε
έφειν καὶ ὁρᾶν ἐπὶ ποτέραν τὴν ἀγωγὴν ἢ τὸ δίκαιον
ρμόσει ἢ τὸ συμφέρον, εἶτα τούτῳ χρῆσθαι. καὶ εἰ

τὰ μὲν πράγματα ἐφ' οἷς ἐτέθη ὁ νόμος μηκέτι μένει, ὁ δὲ νόμος, πειρατέον τοῦτο δηλοῦν καὶ μάχεσθαι ταύτῃ πρὸς τὸν νόμον. ἐὰν δὲ ὁ γεγραμμένος ᾖ πρὸς τὸ πρᾶγμα, τό τε γνώμῃ τῇ ἀρίστῃ λεκτέον ὅτι οὐ τοῦ παρὰ τὸν νόμον ἕνεκα δικάζειν ἐστίν, ἀλλ' ἵνα, ἐὰν ἀγνοήσῃ τί λέγει ὁ νόμος, μὴ ἐπιορκῇ. καὶ ὅτι οὐ τὸ ἁπλῶς ἀγαθὸν αἱρεῖται οὐδείς, ἀλλὰ τὸ αὐτῷ. καὶ ὅτι οὐδὲν διαφέρει ἢ μὴ κεῖσθαι ἢ μὴ χρῆσθαι. καὶ ὅτι ἐν ταῖς ἄλλαις τέχναις οὐ λυσιτελεῖ παρασοφίζεσθαι τὸν ἰατρόν· οὐ γὰρ τοσοῦτο βλάπτει ἡ ἁμαρτία τοῦ ἰατροῦ ὅσον τὸ ἐθίζεσθαι ἀπειθεῖν τῷ ἄρχοντι. καὶ ὅτι τὸ τῶν νόμων σοφώτερον ζητεῖν εἶναι, τοῦτ' ἐστὶν ὃ ἐν τοῖς ἐπαινουμένοις νόμοις ἀπαγορεύεται.

καὶ περὶ μὲν τῶν νόμων οὕτω διωρίσθω· περὶ δὲ μαρτύρων, μάρτυρές εἰσι διττοί, οἱ μὲν παλαιοὶ οἱ δὲ πρόσφατοι, καὶ τούτων οἱ μὲν μετέχοντες τοῦ κινδύνου οἱ δ' ἐκτός. λέγω δὲ παλαιοὺς μὲν τούς τε ποιητὰς καὶ ὅσων ἄλλων γνωρίμων εἰσὶ κρίσεις φανεραί, οἷον Ἀθηναῖοι Ὁμήρῳ μάρτυρι ἐχρήσαντο περὶ Σαλαμῖνος καὶ Τενέδιοι ἔναγχος Περιάνδρῳ τῷ Κορινθίῳ πρὸς Σιγειεῖς. καὶ Κλεοφῶν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο, λέγων ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία· οὐ γὰρ ἄν ποτε ἐποίησε Σόλων

εἰπεῖν μοι Κριτίᾳ πυρρότριχι πατρὸς ἀκούειν.

περὶ μὲν οὖν τῶν γενομένων οἱ τοιοῦτοι μάρτυρες, περὶ δὲ τῶν ἐσομένων καὶ οἱ χρησμολόγοι, οἷον Θεμιστοκλῆς, ὅτι ναυμαχητέον, τὸ ξύλινον τεῖχος λέγων. ἔτι καὶ αἱ παροιμίαι, ὥσπερ εἴρηται, μαρτύριά ἐστιν· οἷον εἴ τις συμβουλεύει μὴ ποιεῖσθαι φίλον γέροντα, τούτῳ μαρτυρεῖ ἡ παροιμία,

μήποτ' εὖ ἔρδειν γέροντα.

καὶ τὸ τοὺς υἱοὺς ἀναιρεῖν ὧν καὶ τοὺς πατέρας,

νήπιος ὃς πατέρα κτείνας υἱοὺς καταλείπει.

πρόσφατοι δ' ὅσοι γνώριμοί τι κεκρίκασιν· χρήσιμοι γὰρ αἱ τούτων κρίσεις τοῖς περὶ τῶν αὐτῶν ἀμφισβητοῦσιν· οἷον Εὔβουλος ἐν τοῖς δικαστηρίοις ἐχρήσατο κατὰ Χάρητος ὃ Πλάτων εἶπε πρὸς Ἀρχίβιον, ὅτι ἐπιδέδωκεν ἐν τῇ πόλει τὸ ὁμολογεῖν πονηροὺς εἶναι. καὶ οἱ μετέχοντες τοῦ κινδύνου, ἂν δόξωσι ψεύδεσθαι. οἱ μὲν οὖν τοιοῦτοι τούτων μόνον μάρτυρές εἰσιν, εἰ γέγονεν ἢ μή, εἰ ἔστιν ἢ μή, περὶ δὲ τοῦ ποῖον οὐ μάρτυρες, οἷον εἰ δίκαιον ἢ ἄδικον, εἰ συμφέρον ἢ ἀσύμφορον· οἱ δ' ἄπωθεν καὶ περὶ τοιούτων πιστότατοι. πιστότατοι δ' οἱ παλαιοί· ἀδιάφθοροι γάρ. πιστώματα δὲ περὶ μαρτυριῶν μάρτυρας μὲν μὴ ἔχοντι, ὅτι ἐκ τῶν εἰκότων δεῖ κρίνειν καὶ τοῦτ' ἐστὶ τὸ γνώμῃ τῇ ἀρίστῃ, καὶ ὅτι οὐκ ἔστιν ἐξαπατῆσαι τὰ εἰκότα ἐπὶ ἀργυρίῳ, καὶ ὅτι οὐχ ἁλίσκεται τὰ εἰκότα ψευδομαρτυριῶν. ἔχοντι δὲ πρὸς μὴ ἔχοντα, ὅτι οὐχ ὑπόδικα τὰ εἰκότα, καὶ ὅτι οὐδὲν ἂν ἔδει μαρτυριῶν, εἰ ἐκ τῶν λόγων ἱκανὸν ἦν θεωρῆσαι. εἰσὶ δὲ αἱ μαρτυρίαι αἱ μὲν περὶ αὐτοῦ αἱ δὲ περὶ τοῦ ἀμφισβητοῦντος, καὶ αἱ μὲν περὶ τοῦ πράγματος αἱ δὲ περὶ τοῦ ἤθους, ὥστε φανερὸν ὅτι οὐδέποτ' ἔστιν ἀπορῆσαι μαρτυρίας χρησίμης· εἰ μὴ γὰρ κατὰ τοῦ πράγματος ἢ αὐτῷ ὁμολογουμένης ἢ τῷ ἀμφισβητοῦντι ἐναντίας, ἀλλὰ περὶ τοῦ ἤθους ἢ αὐτοῦ εἰς ἐπιείκειαν ἢ τοῦ ἀμφισβητοῦντος εἰς φαυλότητα. τὰ δ' ἄλλα περὶ μάρτυρος ἢ φίλου ἢ ἐχθροῦ ἢ μεταξύ, ἢ εὐδοκιμοῦντος ἢ ἀδοξοῦντος ἢ μεταξύ, καὶ ὅσαι ἄλλαι τοιαῦται διαφοραί, ἐκ τῶν αὐτῶν τόπων λεκτέον ἐξ οἵωνπερ καὶ τὰ ἐνθυμήματα λέγομεν.

περὶ δὲ τῶν συνθηκῶν τοσαύτη τῶν λόγων χρῆσίς ἐστιν ὅσον αὔξειν ἢ καθαιρεῖν ἢ πιστὰς ποιεῖν ἢ ἀπίστους, ἐὰν μὲν αὐτῷ ὑπάρχωσι, πιστὰς καὶ κυρίας, ἐπὶ δὲ τοῦ ἀμφισβητοῦντος τοὐναντίον. πρὸς μὲν οὖν τὸ

πιστὰς ἢ ἀπίστους κατασκευάζειν οὐδὲν διαφέρει τῆς περὶ τοὺς μάρτυρας πραγματείας· ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ ἐπιγεγραμμένοι ἢ φυλάττοντες, τούτοις αἱ συνθῆκαι πισταί εἰσιν. ὁμολογουμένης δ' εἶναι τῆς συνθήκης, οἰκείας μὲν οὔσης αὐξητέον· ἡ γὰρ συνθήκη νόμος ἐστὶν ἴδιος καὶ κατὰ μέρος, καὶ αἱ μὲν συνθῆκαι οὐ ποιοῦσι τὸν νόμον κύριον, οἱ δὲ νόμοι τὰς κατὰ νόμους συνθήκας. καὶ ὅλως αὐτὸς ὁ νόμος συνθήκη τις ἐστίν, ὥστε ὅστις ἀπιστεῖ ἢ ἀναιρεῖ συνθήκην, τοὺς νόμους ἀναιρεῖ. ἔτι δὲ πράττεται τὰ πολλὰ τῶν συναλλαγμάτων καὶ τὰ ἑκούσια κατὰ συνθήκας, ὥστε ἀκύρων γιγνομένων ἀναιρεῖται ἡ πρὸς ἀλλήλους χρεία τῶν ἀνθρώπων. καὶ τἆλλα δὲ ὅσα ἁρμόττει, ἐπιπολῆς ἰδεῖν ἔστιν. ἂν δ' ἐναντία ᾖ καὶ μετὰ τῶν ἀμφισβητούντων, πρῶτον μέν, ἅπερ ἄν τις πρὸς νόμον ἐναντίον μαχέσαιτο, ταῦθ' ἁρμόττει· ἄτοπον γὰρ εἰ τοῖς μὲν νόμοις, ἂν μὴ ὀρθῶς κείμενοι ὦσιν ἀλλ' ἐξαμάρτωσιν οἱ τιθέμενοι, οὐκ οἰόμεθα δεῖν πείθεσθαι, ταῖς δὲ συνθήκαις ἀναγκαῖον. εἶθ' ὅτι τοῦ δικαίου ἐστὶ βραβευτὴς ὁ δικαστής· οὔκουν τοῦτο σκεπτέον, ἀλλ' ὡς δικαιότερον. καὶ τὸ μὲν δίκαιον οὐκ ἔστι μεταστρέψαι οὔτ' ἀπάτῃ οὔτ' ἀνάγκῃ (πεφυκὸς γάρ ἐστιν), συνθῆκαι δὲ γίγνονται καὶ ἐξαπατηθέντων καὶ ἀναγκασθέντων. πρὸς δὲ τούτοις σκοπεῖν εἰ ἐναντία ἐστί τινι τῶν γεγραμμένων νόμων ἢ τῶν κοινῶν, καὶ τῶν γεγραμμένων ἢ τοῖς οἰκείοις ἢ τοῖς ἀλλοτρίοις, ἔπειτα εἰ ἄλλαις συνθήκαις ὑστέραις ἢ προτέραις· αἱ γὰρ ὕστεραι κύριαι, ἢ αἱ πρότεραι ὀρθαί, αἱ δ' ὕστεραι ἠπατήκασιν, ὁποτέρως ἂν ᾖ χρήσιμον. ἔτι δὲ τὸ συμφέρον ὁρᾶν, εἴ που ἐναντιοῦται τοῖς κριταῖς, καὶ ὅσα ἄλλα τοιαῦτα· καὶ γὰρ ταῦτα εὐθεώρητα ὁμοίως.

αἱ δὲ βάσανοι μαρτυρίαι τινές εἰσιν, ἔχειν δὲ δοκοῦσι τὸ πιστόν, ὅτι ἀνάγκη τις πρόσεστιν. οὔκουν χαλεπὸν

ὐδὲ περὶ τούτων εἰπεῖν τὰ ἐνδεχόμενα, ἐξ ὧν ἐάν τε πάρχωσιν οἰκεῖαι αὔξειν ἔστιν, ὅτι ἀληθεῖς μόναι τῶν ιαρτυριῶν εἰσὶν αὗται· ἐάν τε ὑπεναντίαι ὦσι καὶ μετὰ ιοῦ ἀμφισβητοῦντος, διαλύοι ἄν τις τἀληθῆ λέγων καθ᾽ ὅλου τοῦ γένους τῶν βασάνων· οὐδὲν γὰρ ἧττον ἀναγκαζόμενοι τὰ ψευδῆ λέγουσιν ἢ τἀληθῆ, καὶ διακαρτεροῦντες μὴ λέγειν τἀληθῆ, καὶ ῥᾳδίως καταψευδόμενοι ὡς παυσόμενοι θᾶττον. δεῖ δ᾽ ἔχειν ἐπαναφέρειν ἐπὶ τοιαῦτα γεγενημένα παραδείγματα ἃ ἴσασιν οἱ κρίνοντες. [δεῖ δὲ λέγειν ὡς οὐκ εἰσὶν ἀληθεῖς αἱ βάσανοι· πολλοὶ γὰρ παχύφρονες καὶ λιθόδερμοι καὶ ταῖς ψυχαῖς ὄντες δυνατοὶ γενναίως ἐγκαρτεροῦσι ταῖς ἀνάγκαις, οἱ δὲ δειλοὶ καὶ εὐλαβεῖς πρὸ τοῦ τὰς ἀνάγκας ἰδεῖν αὐτῶν καταθαρροῦσιν, ὥστε οὐδέν ἐστι πιστὸν ἐν βασάνοις.]

περὶ δ᾽ ὅρκων τετραχῶς ἔστι διελεῖν· ἢ γὰρ δίδωσι καὶ λαμβάνει, ἢ οὐδέτερον, ἢ τὸ μὲν τὸ δ᾽ οὔ, καὶ τούτων ἢ δίδωσιν οὐ λαμβάνει δέ, ἢ λαμβάνει μὲν δίδωσι δ᾽ οὔ. ἔτι ἄλλως παρὰ ταῦτα, εἰ ὀμώμοσται [οὗτος] ἢ ὑπ᾽ αὐτοῦ ἢ ὑπ᾽ ἐκείνου. οὐ δίδωσι μὲν οὖν, ὅτι ῥᾳδίως ἐπιορκοῦσιν, καὶ διότι ὁ μὲν ὀμόσας οὐκ ἀποδίδωσι, τοὺς δὲ μὴ ὀμόσαντος οἴεται καταδικάσειν. καὶ ὡς οὗτος ὁ κίνδυνος κρείττων ὁ ἐν τοῖς δικασταῖς· τοῖς μὲν γὰρ πιστεύειν τῷ δ᾽ οὔ. οὐ λαμβάνει δ᾽, ὅτι ἀντὶ χρημάτων ὅρκος. καὶ ὅτι εἰ ἦν φαῦλος, κατωμόσατο ἄν· κρεῖττον γὰρ ἂν ἕνεκά του φαῦλον εἶναι ἢ μηδενός· ὀμόσας μὲν οὖν ἕξει, μὴ ὀμόσας δ᾽ οὔ. οὕτω δὲ δι᾽ ἀρετὴν ἂν εἴη, ἀλλ᾽ οὐ δι᾽ ἐπιορκίαν τὸ μή· καὶ τὸ τοῦ Ξενοφάνους ἁρμόττει, ὅτι οὐκ ἴση πρόκλησις αὕτη ἀσεβεῖ πρὸς εὐσεβῆ, ἀλλ᾽ ὁμοία καὶ εἰ ἰσχυρὸς ἀσθενῆ πατάξαι ἢ πληγῆναι προκαλέσαιτο. εἰ δὲ λαμβάνει, ὅτι πιστεύει αὑτῷ, ἐκείνῳ δ᾽ οὔ. ιαὶ τὸ τοῦ Ξενοφάνους μεταστρέψαντα φατέον οὕτως ἴσον εἶναι ἂν ὁ μὲν ἀσεβὴς διδῷ, ὁ δ᾽ εὐσεβὴς ὀμνύῃ·

δεινόν τε τὸ μὴ θέλειν αὐτόν, ὑπὲρ ὧν ἐκείνους ἀξιοῖ ὀμόσαντας δικάζειν. εἰ δὲ δίδωσιν, ὅτι εὐσεβὲς τὸ θέλειν τοῖς θεοῖς ἐπιτρέπειν, καὶ ὅτι οὐδὲν δεῖ αὐτὸν ἄλλων δικαστῶν δεῖσθαι· τούτῳ γὰρ δίδωσι κρίσιν. καὶ ὅτι ἄτοπον τὸ μὴ θέλειν ὀμνύναι περὶ ὧν ἄλλους ἀξιοῦσιν ὀμνύναι. ἐπεὶ δὲ καθ' ἕκαστον δῆλον πῶς λεκτέον, καὶ συνδυαζόμενον πῶς λεκτέον δῆλον· οἷον εἰ αὐτὸς μὲν θέλει λαμβάνειν διδόναι δὲ μή, καὶ εἰ δίδωσι μὲν λαμβάνειν δὲ μὴ θέλει, καὶ εἰ λαμβάνειν καὶ διδόναι θέλει εἴτε μηδέτερον· ἐκ γὰρ τῶν εἰρημένων ἀνάγκη συγκεῖσθαι, ὥστε καὶ τοὺς λόγους συγκεῖσθαι ἐκ τῶν εἰρημένων. ἐὰν δὲ ᾖ γεγενημένος ὑπ' αὐτοῦ καὶ ἐναντίος, ὅτι οὐκ ἐπιορκία· ἑκούσιον γὰρ τὸ ἀδικεῖν, τὸ δ' ἐπιορκεῖν ἀδικεῖν ἐστί, τὰ δὲ βίᾳ καὶ ἀπάτῃ ἀκούσια. ἐνταῦθα οὖν συνακτέον καὶ τὸ ἐπιορκεῖν, ὅτι ἔστι τὸ τῇ διανοίᾳ ἀλλ' οὐ τῷ στόματι. ἐὰν δὲ τῷ ἀντιδίκῳ ᾖ ὑπεναντίος καὶ ὀμωμοσμένος, ὅτι πάντα ἀναιρεῖ μὴ ἐμμένων οἷς ὤμοσεν· διὰ γὰρ τοῦτο καὶ τοῖς νόμοις χρῶνται ὀμόσαντες. καὶ „ὑμᾶς μὲν ἀξιοῦσιν ἐμμένειν οἷς ὀμόσαντες δικάζετε, αὐτοὶ δ' οὐκ ἐμμένουσιν.“ καὶ ὅσα ἂν ἄλλα αὔξων τις εἴπειεν.

[περὶ μὲν οὖν τῶν ἀτέχνων πίστεων εἰρήσθω τοσαῦτα.]

Β.

Ἐκ τίνων μὲν οὖν δεῖ καὶ προτρέπειν καὶ ἀποτρέπειν καὶ ἐπαινεῖν καὶ ψέγειν καὶ κατηγορεῖν καὶ ἀπολογεῖσθαι, καὶ ποῖαι δόξαι καὶ προτάσεις χρήσιμοι πρὸς τὰς τούτων πίστεις, ταῦτ' ἐστίν· περὶ γὰρ τούτων καὶ ἐκ τούτων τὰ ἐνθυμήματα, ὡς περὶ ἕκαστον εἰπεῖν ἰδίᾳ τὸ γένος τῶν λόγων. ἐπεὶ δ' ἕνεκα κρίσεώς ἐστιν ἡ ῥητορική (καὶ γὰρ τὰς συμβουλὰς κρίνουσι καὶ ἡ δίκη κρίσις ἐστίν), ἀνάγκη μὴ μόνον πρὸς τὸν λόγον ὁρᾶν, ὅπως ἀποδεικτικὸς ἔσται

ιτός, ἀλλὰ καὶ αὐτὸν ποιόν τινα καὶ τὸν κριτὴν ευάζειν· πολὺ γὰρ διαφέρει πρὸς πίστιν, μάλιστα ταῖς συμβουλαῖς, εἶτα καὶ ἐν ταῖς δίκαις, τὸ ποιόν κίνεσθαι τὸν λέγοντα καὶ τὸ πρὸς αὐτοὺς ὑπολαμ- πως διακεῖσθαι αὐτόν, πρὸς δὲ τούτοις ἐὰν καὶ ἰακείμενοί πως τυγχάνωσιν. τὸ μὲν οὖν ποιόν τινα θαι τὸν λέγοντα χρησιμώτερον εἰς τὰς συμβουλάς τὸ δὲ διακεῖσθαί πως τὸν ἀκροατὴν εἰς τὰς δίκας· ταὐτὰ φαίνεται φιλοῦσι καὶ μισοῦσιν, οὐδ' ὀργι- ις καὶ πράως ἔχουσιν, ἀλλ' ἢ τὸ παράπαν ἕτερα ἢ έγεθος ἕτερα· τῷ μὲν γὰρ φιλοῦντι, περὶ οὗ ποιεῖ- ι κρίσιν, ἢ οὐκ ἀδικεῖν ἢ μικρὰ δοκεῖ ἀδικεῖν, τῷ οῦντι τοὐναντίον· καὶ τῷ μὲν ἐπιθυμοῦντι καὶ δι ὄντι, ἐὰν ᾖ τὸ ἐσόμενον ἡδύ, καὶ ἔσεσθαι καὶ ν ἔσεσθαι φαίνεται, τῷ δ' ἀπαθεῖ καὶ δυσχεραί- τοὐναντίον.

ῦ μὲν οὖν αὐτοὺς εἶναι πιστοὺς τοὺς λέγοντας τρία αἴτια· τοσαῦτα γάρ ἐστι δι' ἃ πιστεύομεν ἔξω τῶν ξεων. ἔστι δὲ ταῦτα φρόνησις καὶ ἀρετὴ καὶ εὔ- διαψεύδονται γὰρ περὶ ὧν λέγουσιν ἢ συμβουλεύ- ἢ δι' ἅπαντα ταῦτα ἢ διὰ τούτων τι· ἢ γὰρ δι' ύνην οὐκ ὀρθῶς δοξάζουσιν, ἢ δοξάζοντες ὀρθῶς χθηρίαν οὐ τὰ δοκοῦντα λέγουσιν, ἢ φρόνιμοι μὲν ιεικεῖς εἰσὶν ἀλλ' οὐκ εὔνοι· διόπερ ἐνδέχεται μὴ τιστα συμβουλεύειν γιγνώσκοντας. καὶ παρὰ ταῦ- έν. ἀνάγκη ἄρα τὸν ἅπαντα δοκοῦντα ταῦτ' ἔχειν τοῖς ἀκροωμένοις πιστόν. ὅθεν μὲν οὖν φρόνιμοι ουδαῖοι φανεῖεν ἄν, ἐκ τῶν περὶ τὰς ἀρετὰς διῃρη- ληπτέον· ἐκ γὰρ τῶν αὐτῶν κἂν ἕτερόν τις κἂν ι κατασκευάσειε τοιοῦτον· περὶ δ' εὐνοίας καὶ φι- ι τοῖς περὶ τὰ πάθη λεκτέον. ἔστι δὲ τὰ πάθη, δι' ταβάλλοντες διαφέρουσι πρὸς τὰς κρίσεις, οἷς ἕπε-

ται λύπη καὶ ἡδονή, οἷον ὀργὴ ἔλεος φόβος καὶ ὅσα ἄλλ
τοιαῦτα, καὶ τὰ τούτοις ἐναντία. δεῖ δὲ διαιρεῖν περὶ ἕκα
στον εἰς τρία· λέγω δ' οἷον περὶ ὀργῆς, πῶς τε διακείμε
νοι ὀργίλοι εἰσί, καὶ τίσιν εἰώθασιν ὀργίζεσθαι, καὶ ἐ
ποίοις· εἰ γὰρ τὸ μὲν ἓν ἢ τὰ δύο ἔχοιμεν τούτων, ἅπαντ
δὲ μή, ἀδύνατον ἂν εἴη τὴν ὀργὴν ἐμποιεῖν· ὁμοίως δ
καὶ ἐπὶ τῶν ἄλλων. ὥσπερ οὖν καὶ ἐπὶ τῶν προειρημένω
διεγράψαμεν τὰς προτάσεις, οὕτω καὶ περὶ τούτων ποιή
σωμεν καὶ διέλωμεν τὸν εἰρημένον τρόπον.

2 ἔστω δὴ ὀργὴ ὄρεξις μετὰ λύπης τιμωρίας φαινομέ
νης διὰ φαινομένην ὀλιγωρίαν τῶν εἰς αὐτὸν [ἢ τῶν αὐ
τοῦ], τοῦ ὀλιγωρεῖν μὴ προσήκοντος. εἰ δὴ τοῦτ' ἐστὶν
ὀργή, ἀνάγκη τὸν ὀργιζόμενον ὀργίζεσθαι ἀεὶ τῶν καθ
ἕκαστόν τινι, οἷον Κλέωνι ἀλλ' οὐκ ἀνθρώπῳ, καὶ ὅτι
αὐτὸν ἢ τῶν αὐτοῦ τινά τι πεποίηκεν ἢ ἤμελλεν, κα
πάσῃ ὀργῇ ἕπεσθαί τινα ἡδονὴν τὴν ἀπὸ τῆς ἐλπίδος τοῦ
τιμωρήσασθαι· ἡδὺ μὲν γὰρ τὸ οἴεσθαι τεύξεσθαι ὧν
ἐφίεται, οὐδεὶς δὲ τῶν φαινομένων ἀδυνάτων ἐφίεται
αὑτῷ, ὁ δ' ὀργιζόμενος ἐφίεται δυνατῶν αὑτῷ. διὸ κα-
λῶς εἴρηται περὶ θυμοῦ

ὅστε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο
ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται·

ἀκολουθεῖ γὰρ καὶ ἡδονή τις διά τε τοῦτο καὶ διότι δια-
τρίβουσιν ἐν τῷ τιμωρεῖσθαι τῇ διανοίᾳ· ἡ οὖν τότε γι-
νομένη φαντασία ἡδονὴν ἐμποιεῖ, ὥσπερ ἡ τῶν ἐνυ-
πνίων. ἐπεὶ δ' ἡ ὀλιγωρία ἐστὶν ἐνέργεια δόξης περὶ τὸ
μηδενὸς ἄξιον φαινόμενον· καὶ γὰρ τὰ κακὰ καὶ τἀγαθὰ
ἄξια οἰόμεθα σπουδῆς εἶναι, καὶ τὰ συντείνοντα πρὸς
αὐτά· ὅσα δὲ μηδέν τι ἢ μικρόν, οὐδενὸς ἄξια ὑπολαμ-
βάνομεν. τρία δ' ἐστὶν εἴδη ὀλιγωρίας, καταφρόνησίς τε
καὶ ἐπηρεασμὸς καὶ ὕβρις· ὅ τε γὰρ καταφρονῶν ὀλιγω-
ρεῖ· ὅσα γὰρ οἴονται μηδενὸς ἄξια, τούτων καταφρονοῦ

σιν, τῶν δὲ μηδενὸς ἀξίων ὀλιγωροῦσιν· καὶ ὁ ἐπηρεά- 2
ζων φαίνεται καταφρονεῖν. ἔστι γὰρ ὁ ἐπηρεασμὸς ἐμποδισμὸς ταῖς βουλήσεσιν οὐχ ἵνα τι αὐτῷ ἀλλ' ἵνα μὴ ἐκείνῳ. ἐπεὶ οὖν οὐχ ἵνα αὐτῷ τι, ὀλιγωρεῖ· δῆλον γὰρ ὅτι οὔτε βλάψειν ὑπολαμβάνει· ἐφοβεῖτο γὰρ ἂν καὶ οὐκ ὠλιγώρει· οὔτ' ὠφελῆσαι ἂν οὐδὲν ἄξιον λόγου· ἐφρόντιζε γὰρ ἂν ὥστε φίλος εἶναι. καὶ ὁ ὑβρίζων δ' ὀλιγωρεῖ· ἔστι γὰρ ὕβρις τὸ πράττειν καὶ λέγειν ἐφ' οἷς αἰσχύνη ἐστὶ τῷ πάσχοντι, μὴ ἵνα τι γίγνηται αὐτῷ ἄλλο ἢ ὅτι ἐγένετο, ἀλλ' ὅπως ἡσθῇ· οἱ γὰρ ἀντιποιοῦντες οὐχ ὑβρίζουσιν ἀλλὰ τιμωροῦνται. αἴτιον δὲ τῆς ἡδονῆς τοῖς ὑβρίζουσιν, ὅτι οἴονται κακῶς δρῶντες αὐτοὺς ὑπερέχειν μᾶλλον. διὸ οἱ νέοι καὶ οἱ πλούσιοι ὑβρισταί· ὑπερέχειν γὰρ οἴονται ὑβρίζοντες. ὕβρεως δὲ ἀτιμία, ὁ δ' ἀτιμάζων ὀλιγωρεῖ· τὸ γὰρ μηδενὸς ἄξιον οὐδεμίαν ἔχει τιμήν, οὔτ' ἀγαθοῦ οὔτε κακοῦ. διὸ λέγει ὀργιζόμενος ὁ Ἀχιλλεύς

ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς [ἀπούρας]

καὶ

ὡσεί τιν' ἀτίμητον μετανάστην,

ὡς διὰ ταῦτα ὀργιζόμενος. προσήκειν δ' οἴονται πολυωρεῖσθαι ὑπὸ τῶν ἡττόνων κατὰ γένος, κατὰ δύναμιν, κατ' ἀρετήν, καὶ ὅλως ἐν ᾧ ἂν ταὐτῷ ὑπερέχῃ πολύ, οἷον ἐν χρήμασιν ὁ πλούσιος πένητος καὶ ἐν τῷ λέγειν ῥητορικὸς ἀδυνάτου εἰπεῖν καὶ ἄρχων ἀρχομένου καὶ ἄρχειν ἄξιος οἰόμενος τοῦ ἄρχεσθαι ἀξίου. διὸ εἴρηται

θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων

καὶ

ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον·

ἀγανακτοῦσι γὰρ διὰ τὴν ὑπεροχήν. ἔτι ὑφ' ὧν τις οἴεται εὖ πάσχειν δεῖν· οὗτοι δ' εἰσὶν οὓς εὖ πεποίηκεν ἢ ποιεῖ, ἢ αὐτὸς ἢ δι' αὐτόν τις ἢ τῶν αὐτοῦ τις, ἢ βούλεται ἢ ἐβουλήθη

2 φανερὸν οὖν ἐκ τούτων ἤδη πῶς τ' ἔχοντες ὀργίζονται αὐτοὶ καὶ τίσι καὶ διὰ ποῖα. αὐτοὶ μὲν γάρ, ὅταν λυπῶνται· ἐφίεται γάρ τινος ὁ λυπούμενος· ἐάν τε οὖν κατ' εὐθυωρίαν ὁτιοῦν ἀντικρούσῃ τις, οἷον τῷ διψῶντι πρὸς τὸ πιεῖν, ἐάν τε μή, ὁμοίως ταὐτὸ φαίνεται ποιεῖν· καὶ ἐάν τε ἀντιπράττῃ τις ἐάν τε μὴ συμπράττῃ ἐάν τε ἄλλο τι ἐνοχλῇ οὕτως ἔχοντα, πᾶσιν ὀργίζεται. διὸ κάμνοντες, πενόμενοι, ἐρῶντες, διψῶντες, ὅλως ἐπιθυμοῦντές τι καὶ μὴ κατορθοῦντες ὀργίλοι εἰσὶ καὶ εὐπαρόρμητοι, μάλιστα πρὸς τοὺς τοῦ παρόντος ὀλιγωροῦντας, οἷον κάμνων μὲν τοῖς πρὸς τὴν νόσον, πενόμενος δὲ τοῖς πρὸς τὴν πενίαν, πολεμῶν δὲ τοῖς πρὸς τὸν πόλεμον, ἐρῶν δὲ τοῖς πρὸς τὸν ἔρωτα· ὁμοίως δὲ καὶ τοῖς ἄλλοις· προωδοποίηται γὰρ ἕκαστος πρὸς τὴν ἑκάστου ὀργὴν ὑπὸ τοῦ ὑπάρχοντος πάθους. ἔτι δ' ἐὰν τἀναντία τύχῃ προσδεχόμενος· λυπεῖ γὰρ μᾶλλον τὸ πολὺ παρὰ δόξαν, ὥσπερ καὶ τέρπει τὸ πολὺ παρὰ δόξαν, ἐὰν γένηται ὃ βούλεται. διὸ καὶ ὧραι καὶ χρόνοι καὶ διαθέσεις καὶ ἡλικίαι ἐκ τούτων φανεραί, ποῖαι εὐκίνητοι πρὸς ὀργὴν καὶ ποῦ καὶ πότε, καὶ ὅτι ὅτε μᾶλλον ἐν τούτοις εἰσί, μᾶλλον καὶ εὐκίνητοι.

αὐτοὶ μὲν οὖν οὕτως ἔχοντες εὐκίνητοι πρὸς ὀργήν, ὀργίζονται δὲ τοῖς τε καταγελῶσι καὶ χλευάζουσι καὶ σκώπτουσιν· ὑβρίζουσι γάρ. καὶ τοῖς τὰ τοιαῦτα βλάπτουσιν ὅσα ὕβρεως σημεῖα. ἀνάγκη δὲ τοιαῦτα εἶναι ἃ μήτε ἀντί τινος μήτ' ὠφέλιμα τοῖς ποιοῦσιν· ἤδη γὰρ δοκεῖ δι' ὕβριν. καὶ τοῖς κακῶς λέγουσι καὶ καταφρονοῦσι περὶ ὧν αὐτοὶ μάλιστα σπουδάζουσιν, οἷον οἱ ἐπὶ φιλοσοφίᾳ φιλοτιμούμενοι ἐάν τις εἰς τὴν φιλοσοφίαν, οἱ δ' ἐπὶ τῇ ἰδέᾳ ἐάν τις εἰς τὴν ἰδέαν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ταῦτα δὲ πολλῷ μᾶλλον, ἐὰν ὑποπτεύσωσι μὴ ὑπάρχειν αὐτοῖς, ἢ ὅλως ἢ μὴ ἰσχυρῶς, ἢ μὴ δοκεῖν·

ἰν γὰρ σφόδρα οἴωνται ὑπάρχειν [ἐν τούτοις] ἐν οἷς 2
;ονται, οὐ φροντίζουσιν. καὶ τοῖς φίλοις μᾶλλον ἢ
ὴ φίλοις· οἴονται γὰρ προσήκειν μᾶλλον ὑπ' αὐ-
ὑ πάσχειν ἢ μή. καὶ τοῖς εἰθισμένοις τιμᾶν ἢ φρον-
, ἐὰν πάλιν μὴ οὕτως ὁμιλῶσιν· καὶ γὰρ ὑπὸ τού-
ἴονται καταφρονεῖσθαι· ταὐτὰ γὰρ ἂν ποιεῖν. καὶ
ὴ ἀντιποιοῦσιν εὖ, μηδὲ τὴν ἴσην ἀνταποδιδοῦσιν.
οῖς τἀναντία ποιοῦσιν αὐτοῖς, ἐὰν ἥττους ὦσιν·
ρονεῖν γὰρ πάντες οἱ τοιοῦτοι φαίνονται, καὶ οἱ
ς ἡττόνων οἱ δ' ὡς παρ' ἡττόνων. καὶ τοῖς ἐν μη-
όγῳ οὖσιν, ἄν τι ὀλιγωρῶσι, μᾶλλον· ὑπόκειται
ὀργὴ τῆς ὀλιγωρίας πρὸς τοὺς μὴ προσήκοντας,
ἥκει δὲ τοῖς ἥττοσι μὴ ὀλιγωρεῖν. τοῖς δὲ φίλοις,
ε μὴ εὖ λέγωσιν ἢ ποιῶσιν, καὶ ἔτι μᾶλλον ἐὰν
τία, καὶ ἐὰν μὴ αἰσθάνωνται δεομένων, ὥσπερ ὁ
ῶντος Πλήξιππος τῷ Μελεάγρῳ· ὀλιγωρίας γὰρ
αἰσθάνεσθαι σημεῖον· ὧν γὰρ φροντίζομεν, οὐ
;νει. καὶ τοῖς ἐπιχαίρουσι ταῖς ἀτυχίαις καὶ ὅλως
ουμένοις ἐν ταῖς αὐτῶν ἀτυχίαις· ἢ γὰρ ἐχθροῦ ἢ
ροῦντος σημεῖον. καὶ τοῖς μὴ φροντίζουσιν ἐὰν λυ-
ιν· διὸ καὶ τοῖς κακὰ ἀγγέλλουσιν ὀργίζονται. καὶ
ἀκούουσι περὶ αὐτῶν ἢ θεωμένοις τὰ αὐτῶν φαῦ-
μοιοι γάρ εἰσιν ἢ ὀλιγωροῦσιν ἢ ἐχθροῖς· οἱ γὰρ
συναλγοῦσιν, θεώμενοι δὲ τὰ οἰκεῖα φαῦλα πάντες
σιν. ἔτι τοῖς ὀλιγωροῦσι πρὸς πέντε, πρὸς οὓς φι-
οῦνται, πρὸς οὓς θαυμάζουσιν, ὑφ' ὧν βούλονται
ἵζεσθαι, ἢ οὓς αἰσχύνονται, ἢ ἐν τοῖς αἰσχυνομέ-
ὑτούς· ἄν τις ἐν τούτοις ὀλιγωρῇ, ὀργίζονται μᾶλ-
αὶ τοῖς εἰς τὰ τοιαῦτα ὀλιγωροῦσιν ὑπὲρ ὧν αὐτοῖς
ν μὴ βοηθεῖν, οἷον γονεῖς, τέκνα, γυναῖκας, ἀρ-
ους. καὶ τοῖς χάριν μὴ ἀποδιδοῦσιν· παρὰ τὸ προσῆ-
ὰρ ἡ ὀλιγωρία. καὶ τοῖς εἰρωνευομένοις πρὸς

5 ταῦτ' ἐὰν μὴ πόρρω ἀλλὰ σύνεγγυς φαίνηται ὥστε μέλλειν. τὰ γὰρ πόρρω σφόδρα οὐ φοβοῦνται· ἴσασι γὰρ πάντες ὅτι ἀποθανοῦνται, ἀλλ' ὅτι οὐκ ἐγγύς, οὐδὲν φροντίζουσιν. εἰ δὴ ὁ φόβος τοῦτ' ἐστίν, ἀνάγκη τὰ τοιαῦτα φοβερὰ εἶναι ὅσα φαίνεται δύναμιν ἔχειν μεγάλην τοῦ φθείρειν ἢ βλάπτειν βλάβας εἰς λύπην μεγάλην συντεινούσας. διὸ καὶ τὰ σημεῖα τῶν τοιούτων φοβερά· ἐγγὺς γὰρ φαίνεται τὸ φοβερόν· τοῦτο γάρ ἐστι κίνδυνος, φοβεροῦ πλησιασμός. τοιαῦτα δὲ ἔχθρα τε καὶ ὀργὴ δυναμένων ποιεῖν τι· δῆλον γὰρ ὅτι βούλονται, ὥστε ἐγγύς εἰσι τοῦ ποιεῖν. καὶ ἀδικία δύναμιν ἔχουσα· τῷ προαιρεῖσθαι γὰρ ὁ ἄδικος ἄδικος. καὶ ἀρετὴ ὑβριζομένη δύναμιν ἔχουσα· δῆλον γὰρ ὅτι προαιρεῖται μέν, ὅταν ὑβρίζηται, ἀεί, δύναται δὲ νῦν. καὶ φόβος τῶν δυναμένων τι ποιῆσαι· ἐν παρασκευῇ γὰρ ἀνάγκη εἶναι καὶ τὸν τοιοῦτον. ἐπεὶ δ' οἱ πολλοὶ χείρους καὶ ἥττους τοῦ κερδαίνειν καὶ δειλοὶ ἐν τοῖς κινδύνοις, φοβερὸν ὡς ἐπὶ τὸ πολὺ τὸ ἐπ' ἄλλῳ αὐτὸν εἶναι, ὥστε οἱ συνειδότες πεποιηκότι τι δεινὸν φοβεροὶ ἢ κατειπεῖν ἢ ἐγκαταλιπεῖν. καὶ οἱ δυνάμενοι ἀδικεῖν τοῖς δυναμένοις ἀδικεῖσθαι· ὡς γὰρ ἐπὶ τὸ πολὺ ἀδικοῦσιν οἱ ἄνθρωποι, ὅταν δύνωνται. καὶ οἱ ἠδικημένοι ἢ νομίζοντες ἀδικεῖσθαι· ἀεὶ γὰρ τηροῦσι καιρόν. καὶ οἱ ἠδικηκότες, ἐὰν δύναμιν ἔχωσι, φοβεροί, δεδιότες τὸ ἀντιπαθεῖν· ὑπέκειτο γὰρ τὸ τοιοῦτο φοβερόν. καὶ οἱ τῶν αὐτῶν ἀνταγωνισταί, ὅσα μὴ ἐνδέχεται ἅμα ὑπάρχειν ἀμφοῖν· ἀεὶ γὰρ πολεμοῦσι πρὸς τοὺς τοιούτους. καὶ οἱ τοῖς κρείττοσιν αὐτῶν φοβεροί· μᾶλλον γὰρ ἂν δύναιντο βλάπτειν αὐτούς, εἰ καὶ τοὺς κρείττους. καὶ οὓς φοβοῦνται οἱ κρείττους αὐτῶν διὰ ταὐτό. καὶ οἱ τοὺς κρείττους αὐτῶν ἀνῃρηκότες. καὶ οἱ τοῖς ἥττοσιν αὐτῶν ἐπιτιθέμενοι· ἢ γὰρ ἤδη φοβεροὶ ἢ αὐξηθέντες. καὶ τῶν ἠδικημένων καὶ ἐχθρῶν ἢ ἀντιπά-

λων οὐχ οἱ ὀξύθυμοι καὶ παρρησιαστικοί, ἀλλ' οἱ πρᾶοι 5
καὶ εἴρωνες καὶ πανοῦργοι· ἄδηλοι γὰρ εἰ ἐγγύς, ὥστ' οὐδέποτε φανεροὶ ὅτι πόρρω. πάντα δὲ τὰ φοβερὰ φοβερώτερα, ὅσα ἁμαρτάνουσιν ἐπανορθώσασθαι μὴ ἐνδέχεται, ἀλλ' ἢ ὅλως ἀδύνατα, ἢ μὴ ἐφ' ἑαυτοῖς ἀλλ' ἐπὶ τοῖς ἐναντίοις. καὶ ὧν βοήθειαι μή εἰσιν ἢ μὴ ῥᾴδιαι. ὡς δ' ἁπλῶς εἰπεῖν, φοβερά ἐστιν ὅσα ἐφ' ἑτέρων γιγνόμενα ἢ μέλλοντα ἐλεεινά ἐστιν.

τὰ μὲν οὖν φοβερά, καὶ ἃ φοβοῦνται, σχεδὸν ὡς εἰπεῖν τὰ μέγιστα ταῦτ' ἐστίν· ὡς δὲ διακείμενοι αὐτοὶ φοβοῦνται, νῦν λέγωμεν. εἰ δή ἐστιν ὁ φόβος μετὰ προσδοκίας τινὸς τοῦ πείσεσθαί τι φθαρτικὸν πάθος, φανερὸν ὅτι οὐδεὶς φοβεῖται τῶν οἰομένων μηδὲν ἂν παθεῖν, οὐδὲ ταῦτα ἃ μὴ οἴονται παθεῖν, οὐδὲ τούτους ὑφ' ὧν μὴ οἴονται, οὐδὲ τότε ὅτε μὴ οἴονται. ἀνάγκη τοίνυν φοβεῖσθαι τοὺς οἰομένους τι παθεῖν ἄν, καὶ τοὺς ὑπὸ τούτων καὶ ταῦτα καὶ τότε. οὐκ οἴονται δὲ παθεῖν ἂν οὔτε οἱ ἐν εὐτυχίαις μεγάλαις ὄντες καὶ δοκοῦντες, διὸ ὑβρισταὶ καὶ ὀλίγωροι καὶ θρασεῖς (ποιεῖ δὲ τοιούτους πλοῦτος ἰσχὺς πολυφιλία δύναμις), οὔτε οἱ ἤδη πεπονθέναι πάντα νομίζοντες τὰ δεινὰ καὶ ἀπεψυγμένοι πρὸς τὸ μέλλον, ὥσπερ οἱ ἀποτυμπανιζόμενοι ἤδη· ἀλλὰ δεῖ τινὰ ἐλπίδα ὑπεῖναι σωτηρίας, περὶ οὗ ἀγωνιῶσιν. σημεῖον δέ· ὁ γὰρ φόβος βουλευτικοὺς ποιεῖ, καίτοι οὐδεὶς βουλεύεται περὶ τῶν ἀνελπίστων. ὥστε δεῖ τοιούτους παρασκευάζειν, ὅταν ᾖ βέλτιον τὸ φοβεῖσθαι αὐτούς, ὅτι τοιοῦτοί εἰσιν οἷοι παθεῖν· καὶ γὰρ ἄλλοι μείζους ἔπαθον, καὶ τοὺς τοιούτους δεικνύναι πάσχοντας ἢ πεπονθότας, καὶ ὑπὸ τοιούτων ὑφ' ὧν οὐκ ᾤοντο, καὶ ταῦτα καὶ τότε ὅτε οὐκ ᾤοντο.

ἐπεὶ δὲ περὶ φόβου φανερὸν τί ἐστι, καὶ τῶν φοβερῶν, καὶ ὡς ἕκαστοι ἔχοντες δεδίασι, φανερὸν ἐκ τούτων

5 καὶ τὸ θαρρεῖν τί ἐστι, καὶ περὶ ποῖα θαρραλέοι εἰσὶ καὶ πῶς διακείμενοι θαρραλέοι εἰσίν· τό τε γὰρ θάρσος ἐναντίον τῷ φόβῳ καὶ τὸ θαρραλέον τῷ φοβερῷ· ὥστε μετὰ φαντασίας ἡ ἐλπὶς τῶν σωτηρίων ὡς ἐγγὺς ὄντων, τῶν δὲ φοβερῶν ἢ μὴ ὄντων ἢ πόρρω ὄντων. ἔστι δὲ θαρραλέα τά τε δεινὰ πόρρω ὄντα καὶ τὰ θαρραλέα ἐγγύς. καὶ ἐπανορθώσεις ἐὰν ὦσι καὶ βοήθειαι, ἢ πολλαὶ ἢ μεγάλαι ἢ ἄμφω, καὶ μήτε ἠδικημένοι μήτε ἠδικηκότες ὦσιν, ἀνταγωνισταί τε ἢ μὴ ὦσιν ὅλως, ἢ μὴ ἔχωσι δύναμιν, ἢ δύναμιν ἔχοντες ὦσι φίλοι ἢ πεποιηκότες εὖ ἢ πεπονθότες. ἢ ἐὰν πλείους ὦσιν οἷς ταὐτὰ συμφέρει, ἢ κρείττους, ἢ ἄμφω. αὐτοὶ δὲ οὕτως ἔχοντες θαρραλέοι εἰσίν, ἐὰν πολλὰ κατωρθωκέναι οἴωνται καὶ μὴ πεπονθέναι, ἢ ἐὰν πολλάκις ἐληλυθότες εἰς τὰ δεινὰ καὶ διαπεφευγότες ὦσιν· διχῶς γὰρ ἀπαθεῖς γίγνονται οἱ ἄνθρωποι, ἢ τῷ μὴ πεπειρᾶσθαι ἢ τῷ βοηθείας ἔχειν, ὥσπερ ἐν τοῖς κατὰ θάλατταν κινδύνοις οἵ τε ἄπειροι χειμῶνος θαρροῦσι τὰ μέλλοντα καὶ οἱ βοηθείας ἔχοντες διὰ τὴν ἐμπειρίαν. καὶ ὅταν τοῖς ὁμοίοις ᾖ μὴ φοβερόν, μηδὲ τοῖς ἥττοσι καὶ ὧν κρείττους οἴονται εἶναι· οἴονται δέ, ὧν κεκρατήκασιν ἢ αὐτῶν ἢ τῶν κρειττόνων ἢ τῶν ὁμοίων. καὶ ἐὰν ὑπάρχειν αὐτοῖς οἴωνται πλείω καὶ μείζω, οἷς ὑπερέχοντες φοβεροί εἰσιν· ταῦτα δ' ἐστὶ πλῆθος χρημάτων καὶ ἰσχὺς σωμάτων καὶ φίλων καὶ χώρας καὶ τῶν πρὸς πόλεμον παρασκευῶν, ἢ πασῶν ἢ τῶν μεγίστων. καὶ ἐὰν μὴ ἠδικηκότες ὦσιν μηδένα ἢ μὴ πολλοὺς ἢ μὴ τοιούτους περὶ ὧν φοβοῦνται. καὶ ὅλως ἂν πρὸς τοὺς θεοὺς αὐτοῖς καλῶς ἔχῃ τά τε ἄλλα καὶ τὰ ἀπὸ σημείων καὶ λογίων· θαρραλέον γὰρ ἡ ὀργή, τὸ δὲ μὴ ἀδικεῖν ἀλλ' ἀδικεῖσθαι ὀργῆς ποιητικόν, τὸ δὲ θεῖον ὑπολαμβάνεται βοηθεῖν τοῖς ἀδικουμένοις. καὶ ὅταν ἐπιχει-

ροῦντες ἢ μηδὲν ἂν παθεῖν [μηδὲ πείσεσθαι] ἢ κατορθώσειν οἴωνται. 5

καὶ περὶ μὲν τῶν φοβερῶν καὶ θαρραλέων εἴρηται· 6 ποῖα δ' αἰσχύνονται καὶ ἀναισχυντοῦσιν, καὶ πρὸς τίνας καὶ πῶς ἔχοντες, ἐκ τῶνδε δῆλον. ἔστω δὴ αἰσχύνη λύπη τις ἢ ταραχὴ περὶ τὰ εἰς ἀδοξίαν φαινόμενα φέρειν τῶν κακῶν, ἢ παρόντων ἢ γεγονότων ἢ μελλόντων, ἡ δ' ἀναισχυντία ὀλιγωρία τις καὶ ἀπάθεια περὶ τὰ αὐτὰ ταῦτα. εἰ δή ἐστιν αἰσχύνη ἡ ὁρισθεῖσα, ἀνάγκη αἰσχύνεσθαι ἐπὶ τοῖς τοιούτοις τῶν κακῶν ὅσα αἰσχρὰ δοκεῖ εἶναι ἢ αὐτῷ ἢ ὧν φροντίζει· τοιαῦτα δ' ἐστὶν ὅσα ἀπὸ κακίας ἔργα ἐστίν, οἷον τὸ ἀποβαλεῖν ἀσπίδα ἢ φυγεῖν· ἀπὸ δειλίας γάρ. καὶ τὸ ἀποστερῆσαι παρακαταθήκην· ἀπ' ἀδικίας γάρ. καὶ τὸ συγγενέσθαι οἷς οὐ δεῖ ἢ οὗ οὐ δεῖ [ἢ ὅτε μὴ δεῖ]· ἀπ' ἀκολασίας γάρ. καὶ τὸ κερδαίνειν ἀπὸ μικρῶν ἢ αἰσχρῶν ἢ ἀπ' ἀδυνάτων, οἷον πενήτων ἢ τεθνεώτων· ὅθεν καὶ ἡ παροιμία τὸ ἀπὸ νεκροῦ φέρειν· ἀπὸ αἰσχροκερδείας γὰρ καὶ ἀνελευθερίας. καὶ τὸ μὴ βοηθεῖν δυνάμενον εἰς χρήματα, ἢ ἧττον βοηθεῖν. καὶ τὸ βοηθεῖσθαι παρὰ τῶν ἧττον εὐπόρων. καὶ δανείζεσθαι ὅτε δόξει αἰτεῖν, καὶ αἰτεῖν ὅτε ἀπαιτεῖν, καὶ ἀπαιτεῖν ὅτε αἰτεῖν, καὶ ἐπαινεῖν ἵνα δόξῃ αἰτεῖν, καὶ τὸ ἀποτετυχηκότα μηδὲν ἧττον· πάντα γὰρ ἀνελευθερίας ταῦτα σημεῖα. τὸ δ' ἐπαινεῖν παρόντα κολακείας, καὶ τὸ τἀγαθὰ μὲν ὑπερεπαινεῖν τὰ δὲ φαῦλα συναλείφειν, καὶ τὸ ὑπεραλγεῖν ἀλγοῦντι παρόντα, καὶ τἆλλα πάντα ὅσα τοιαῦτα· κολακείας γὰρ σημεῖα. καὶ τὸ μὴ ὑπομένειν πόνους οὓς οἱ πρεσβύτεροι ἢ τρυφῶντες ἢ ἐν ἐξουσίᾳ μᾶλλον ὄντες ἢ ὅλως οἱ ἀδυνατώτεροι· πάντα γὰρ μαλακίας σημεῖα. καὶ τὸ ὑφ' ἑτέρου εὖ πάσχειν, καὶ τὸ πολλάκις, καὶ ὃ εὖ ἐποίησεν ὀνειδίζειν· μικροψυχίας γὰρ πάντα καὶ ταπεινότητος σημεῖα. καὶ τὸ περὶ αὑτοῦ πάντα λέγειν καὶ ἐπαγγέλλε-

5 καὶ τὸ θαρρεῖν τί ἐστι, καὶ περὶ ποῖα θαρραλέοι εἰσὶ καὶ πῶς διακείμενοι θαρραλέοι εἰσίν· τό τε γὰρ θάρσος ἐναντίον τῷ φόβῳ καὶ τὸ θαρραλέον τῷ φοβερῷ· ὥστε μετὰ φαντασίας ἡ ἐλπὶς τῶν σωτηρίων ὡς ἐγγὺς ὄντων, τῶν δὲ φοβερῶν ἢ μὴ ὄντων ἢ πόρρω ὄντων. ἔστι δὲ θαρραλέα τά τε δεινὰ πόρρω ὄντα καὶ τὰ θαρραλέα ἐγγύς. καὶ ἐπανορθώσεις ἐὰν ὦσι καὶ βοήθειαι, ἢ πολλαὶ ἢ μεγάλαι ἢ ἄμφω, καὶ μήτε ἠδικημένοι μήτε ἠδικηκότες ὦσιν, ἀνταγωνισταί τε ἢ μὴ ὦσιν ὅλως, ἢ μὴ ἔχωσι δύναμιν, ἢ δύναμιν ἔχοντες ὦσι φίλοι ἢ πεποιηκότες εὖ ἢ πεπονθότες. ἢ ἐὰν πλείους ὦσιν οἷς ταὐτὰ συμφέρει, ἢ κρείττους, ἢ ἄμφω. αὐτοὶ δὲ οὕτως ἔχοντες θαρραλέοι εἰσίν, ἐὰν πολλὰ κατωρθωκέναι οἴωνται καὶ μὴ πεπονθέναι, ἢ ἐὰν πολλάκις ἐληλυθότες εἰς τὰ δεινὰ καὶ διαπεφευγότες ὦσιν· διχῶς γὰρ ἀπαθεῖς γίγνονται οἱ ἄνθρωποι, ἢ τῷ μὴ πεπειρᾶσθαι ἢ τῷ βοηθείας ἔχειν, ὥσπερ ἐν τοῖς κατὰ θάλατταν κινδύνοις οἵ τε ἄπειροι χειμῶνος θαρροῦσι τὰ μέλλοντα καὶ οἱ βοηθείας ἔχοντες διὰ τὴν ἐμπειρίαν. καὶ ὅταν τοῖς ὁμοίοις ᾖ μὴ φοβερόν, μηδὲ τοῖς ἥττοσι καὶ ὧν κρείττους οἴονται εἶναι· οἴονται δέ, ὧν κεκρατήκασιν ἢ αὐτῶν ἢ τῶν κρειττόνων ἢ τῶν ὁμοίων. καὶ ἐὰν ὑπάρχειν αὑτοῖς οἴωνται πλείω καὶ μείζω, οἷς ὑπερέχοντες φοβεροί εἰσιν· ταῦτα δ' ἐστὶ πλῆθος χρημάτων καὶ ἰσχὺς σωμάτων καὶ φίλων καὶ χώρας καὶ τῶν πρὸς πόλεμον παρασκευῶν, ἢ πασῶν ἢ τῶν μεγίστων. καὶ ἐὰν μὴ ἠδικηκότες ὦσιν μηδένα ἢ μὴ πολλοὺς ἢ μὴ τοιούτους περὶ ὧν φοβοῦνται. καὶ ὅλως ἂν πρὸς τοὺς θεοὺς αὐτοῖς καλῶς ἔχῃ τά τε ἄλλα καὶ τὰ ἀπὸ σημείων καὶ λογίων· θαρραλέον γὰρ ἡ ὀργή, τὸ δὲ μὴ ἀδικεῖν ἀλλ' ἀδικεῖσθαι ὀργῆς ποιητικόν, τὸ δὲ θεῖον ὑπολαμβάνεται βοηθεῖν τοῖς ἀδικουμένοις. καὶ ὅταν ἐπιχει-

ϕοῦντες ἢ μηδὲν ἂν παθεῖν [μηδὲ πείσεσθαι] ἢ κατορθώσειν οἴωνται.

καὶ περὶ μὲν τῶν φοβερῶν καὶ θαρραλέων εἴρηται· 6 ποῖα δ' αἰσχύνονται καὶ ἀναισχυντοῦσιν, καὶ πρὸς τίνας καὶ πῶς ἔχοντες, ἐκ τῶνδε δῆλον. ἔστω δὴ αἰσχύνη λύπη τις ἢ ταραχὴ περὶ τὰ εἰς ἀδοξίαν φαινόμενα φέρειν τῶν κακῶν, ἢ παρόντων ἢ γεγονότων ἢ μελλόντων, ἡ δ' ἀναισχυντία ὀλιγωρία τις καὶ ἀπάθεια περὶ τὰ αὐτὰ ταῦτα. εἰ δή ἐστιν αἰσχύνη ἡ ὁρισθεῖσα, ἀνάγκη αἰσχύνεσθαι ἐπὶ τοῖς τοιούτοις τῶν κακῶν ὅσα αἰσχρὰ δοκεῖ εἶναι ἢ αὐτῷ ἢ ὧν φροντίζει· τοιαῦτα δ' ἐστὶν ὅσα ἀπὸ κακίας ἔργα ἐστίν, οἷον τὸ ἀποβαλεῖν ἀσπίδα ἢ φυγεῖν· ἀπὸ δειλίας γάρ. καὶ τὸ ἀποστερῆσαι παρακαταθήκην· ἀπ' ἀδικίας γάρ. καὶ τὸ συγγενέσθαι οἷς οὐ δεῖ ἢ οὗ οὐ δεῖ [ἢ ὅτε μὴ δεῖ]· ἀπ' ἀκολασίας γάρ. καὶ τὸ κερδαίνειν ἀπὸ μικρῶν ἢ αἰσχρῶν ἢ ἀπ' ἀδυνάτων, οἷον πενήτων ἢ τεθνεώτων· ὅθεν καὶ ἡ παροιμία τὸ ἀπὸ νεκροῦ φέρειν· ἀπὸ αἰσχροκερδείας γὰρ καὶ ἀνελευθερίας. καὶ τὸ μὴ βοηθεῖν δυνάμενον εἰς χρήματα, ἢ ἧττον βοηθεῖν. καὶ τὸ βοηθεῖσθαι παρὰ τῶν ἧττον εὐπόρων. καὶ δανείζεσθαι ὅτε δόξει αἰτεῖν, καὶ αἰτεῖν ὅτε ἀπαιτεῖν, καὶ ἀπαιτεῖν ὅτε αἰτεῖν, καὶ ἐπαινεῖν ἵνα δόξῃ αἰτεῖν, καὶ τὸ ἀποτετυχηκότα μηδὲν ἧττον· πάντα γὰρ ἀνελευθερίας ταῦτα σημεῖα. τὸ δ' ἐπαινεῖν παρόντα κολακείας, καὶ τὸ τἀγαθὰ μὲν ὑπερεπαινεῖν τὰ δὲ φαῦλα συναλείφειν, καὶ τὸ ὑπεραλγεῖν ἀλγοῦντι παρόντα, καὶ τἆλλα πάντα ὅσα τοιαῦτα· κολακείας γὰρ σημεῖα. καὶ τὸ μὴ ὑπομένειν πόνους οὓς οἱ πρεσβύτεροι ἢ τρυφῶντες ἢ ἐν ἐξουσίᾳ μᾶλλον ὄντες ἢ ὅλως οἱ ἀδυνατώτεροι· πάντα γὰρ μαλακίας σημεῖα. καὶ τὸ ὑφ' ἑτέρου εὖ πάσχειν, καὶ τὸ πολλάκις, καὶ ὃ εὖ ἐποίησεν ὀνειδίζειν· μικροψυχίας γὰρ πάντα καὶ ταπεινότητος σημεῖα. καὶ τὸ περὶ αὑτοῦ πάντα λέγειν καὶ ἐπαγγέλλε-

6 σθαι, καὶ τὸ τἀλλότρια αὑτοῦ φάσκειν· ἀλαζονείας γάρ. ὁμοίως δὲ καὶ ἀπὸ τῶν ἄλλων ἑκάστης τῶν τοῦ ἤθους κακιῶν τὰ ἔργα καὶ τὰ σημεῖα καὶ τὰ ὅμοια· αἰσχρὰ γὰρ καὶ αἰσχυντικά. καὶ ἐπὶ τούτοις τὸ τῶν καλῶν ὧν πάντες μετέχουσιν ἢ οἱ ὅμοιοι πάντες ἢ οἱ πλεῖστοι, μὴ μετέχειν. ὁμοίους δὲ λέγω ὁμοεθνεῖς, πολίτας, ἡλικιώτας, συγγενεῖς, ὅλως τοὺς ἐξ ἴσου· αἰσχρὸν γὰρ ἤδη τὸ μὴ μετέχειν, οἷον παιδεύσεως ἐπὶ τοσοῦτον καὶ τῶν ἄλλων ὁμοίως. πάντα δὲ ταῦτα μᾶλλον, ἂν δι' ἑαυτὸν φαίνηται· οὕτω γὰρ ἤδη ἀπὸ κακίας μᾶλλον, ἂν αὐτὸς ᾖ αἴτιος τῶν ὑπαρξάντων ἢ ὑπαρχόντων ἢ μελλόντων. πάσχοντες δὲ ἢ πεπονθότες ἢ πεισόμενοι τὰ τοιαῦτα αἰσχύνονται ὅσα εἰς ἀτιμίαν φέρει καὶ ὀνείδη· ταῦτα δ' ἐστὶ τὰ εἰς ὑπηρετήσεις ἢ σώματος ἢ ἔργων αἰσχρῶν, ὧν ἐστὶ τὸ ὑβρίζεσθαι. καὶ τὰ μὲν εἰς ἀκολασίαν καὶ ἑκόντα καὶ ἄκοντα, τὰ δ' εἰς βίαν ἄκοντα· ἀπὸ ἀνανδρίας γὰρ ἢ δειλίας ἡ ὑπομονὴ καὶ τὸ μὴ ἀμύνεσθαι.

ἃ μὲν οὖν αἰσχύνονται, ταῦτ' ἐστὶ καὶ τὰ τοιαῦτα· ἐπεὶ δὲ περὶ ἀδοξίας φαντασία ἐστὶν ἡ αἰσχύνη, καὶ ταύτης αὐτῆς χάριν ἀλλὰ μὴ τῶν ἀποβαινόντων, οὐδεὶς δὲ τῆς δόξης φροντίζει ἀλλ' ἢ διὰ τοὺς δοξάζοντας, ἀνάγκη τούτους αἰσχύνεσθαι ὧν λόγον ἔχει. λόγον δ' ἔχει τῶν θαυμαζόντων, καὶ οὓς θαυμάζει, καὶ ὑφ' ὧν βούλεται θαυμάζεσθαι, καὶ πρὸς οὓς φιλοτιμεῖται, καὶ ὧν μὴ καταφρονεῖ τῆς δόξης. θαυμάζεσθαι μὲν οὖν βούλονται ὑπὸ τούτων καὶ θαυμάζουσι τούτους ὅσοι τι ἔχουσιν ἀγαθὸν τῶν τιμίων, ἢ παρ' ὧν τυγχάνουσι δεόμενοι σφόδρα τινὸς ὧν ἐκεῖνοι κύριοι, οἷον οἱ ἐρῶντες· φιλοτιμοῦνται δὲ πρὸς τοὺς ὁμοίους, φροντίζουσι δ' ὡς ἀληθευόντων τῶν φρονίμων, τοιοῦτοι δ' οἵ τε πρεσβύτεροι καὶ οἱ πεπαιδευμένοι. καὶ τὰ ἐν ὀφθαλμοῖς καὶ τὰ ἐν φανερῷ μᾶλλον· ὅθεν καὶ ἡ παροιμία, τὸ ἐν ὀφθαλμοῖς εἶ-

ναι αἰδῶ. διὰ τοῦτο τοὺς ἀεὶ παρεσομένους μᾶλλον αἰ- 6 σχύνονται καὶ τοὺς προσέχοντας αὐτοῖς, διὰ τὸ ἐν ὀφθαλμοῖς ἀμφότερα. καὶ τοὺς μὴ περὶ ταὐτὰ ἐνόχους· δῆλον γὰρ ὅτι τἀναντία δοκεῖ τούτοις. καὶ τοὺς μὴ συγγνωμονικοὺς τοῖς φαινομένοις ἁμαρτάνειν· ἃ γάρ τις αὐτὸς ποιεῖ, ταῦτα λέγεται τοῖς πέλας οὐ νεμεσᾶν, ὥστε ἃ μὴ ποιεῖ, δῆλον ὅτι νεμεσᾷ. καὶ τοὺς ἐξαγγελτικοὺς πολλοῖς· οὐδὲν γὰρ διαφέρει μὴ δοκεῖν ἢ μὴ ἐξαγγέλλειν. ἐξαγγελτικοὶ δὲ οἵ τε ἠδικημένοι διὰ τὸ παρατηρεῖν καὶ οἱ κακολόγοι· εἴπερ γὰρ καὶ τοὺς μὴ ἁμαρτάνοντας, ἔτι μᾶλλον τοὺς ἁμαρτάνοντας. καὶ οἷς ἡ διατριβὴ ἐπὶ ταῖς τῶν πέλας ἁμαρτίαις, οἷον χλευασταῖς καὶ κωμῳδοποιοῖς· κακολόγοι γάρ πως οὗτοι καὶ ἐξαγγελτικοί. καὶ ἐν οἷς μηδὲν ἀποτετυχήκασιν· ὥσπερ γὰρ θαυμαζόμενοι διάκεινται· διὸ καὶ τοὺς πρῶτον δεηθέντας τι αἰσχύνονται ὡς οὐδέν πω ἠδοξηκότες ἐν αὐτοῖς. τοιοῦτοι δ' οἱ ἄρτι βουλόμενοι φίλοι εἶναι (τὰ γὰρ βέλτιστα τεθέανται, διὸ εὖ ἔχει ἡ τοῦ Εὐριπίδου ἀπόκρισις πρὸς τοὺς Συρακοσίους) καὶ τῶν πάλαι γνωρίμων οἱ μηδὲν συνειδότες. αἰσχύνονται δ' οὐ μόνον αὐτὰ τὰ ῥηθέντα αἰσχυντηλὰ ἀλλὰ καὶ τὰ σημεῖα, οἷον οὐ μόνον ἀφροδισιάζοντες ἀλλὰ καὶ τὰ σημεῖα αὐτοῦ. καὶ οὐ μόνον ποιοῦντες τὰ αἰσχρά, ἀλλὰ καὶ λέγοντες. ὁμοίως δὲ οὐ τοὺς εἰρημένους μόνον αἰσχύνονται, ἀλλὰ καὶ τοὺς δηλώσοντας αὐτοῖς, οἷον θεράποντας καὶ φίλους τούτων. ὅλως δ' οὐκ αἰσχύνονται οὔθ' ὧν πολὺ καταφρονοῦσι τῆς δόξης τοῦ ἀληθεύειν (οὐδεὶς γὰρ παιδία καὶ θηρία αἰσχύνεται) οὔτε ταὐτὰ τοὺς γνωρίμους καὶ τοὺς ἀγνῶτας, ἀλλὰ τοὺς μὲν γνωρίμους τὰ πρὸς ἀλήθειαν δοκοῦντα τοὺς δὲ ἄπωθεν τὰ πρὸς τὸν νόμον.

αὐτοὶ δὲ ὧδε διακείμενοι αἰσχυνθεῖεν ἄν, πρῶτον μὲν εἰ ὑπάρχοιεν πρὸς αὐτοὺς ἔχοντες οὕτω τινὲς οἵους ἔφαμεν εἶναι οὓς αἰσχύνονται. ἦσαν δ' οὗτοι ἢ θαυμαζόμε-

6 νοι ἢ θαυμάζοντες ἢ ὑφ' ὧν βούλονται θαυμάζεσθαι, ἢ
ὧν δέονταί τινα χρείαν ὧν μὴ τεύξονται ἄδοξοι ὄντες, καὶ
οὗτοι ἢ ὁρῶντες, ὥσπερ Κυδίας περὶ τῆς Σάμου κληρου-
χίας ἐδημηγόρησεν (ἠξίου γὰρ ὑπολαβεῖν τοὺς Ἀθη-
ναίους περιεστάναι κύκλῳ τοὺς Ἕλληνας, ὡς ὁρῶντας
καὶ μὴ μόνον ἀκουσομένους ἃ ἂν ψηφίσωνται), ἢ ἂν
πλησίον ὦσιν οἱ τοιοῦτοι, ἢ μέλλωσιν αἰσθήσεσθαι. διὸ
καὶ ὁρᾶσθαι ἀτυχοῦντες ὑπὸ τῶν ζηλούντων ποτὲ οὐ
βούλονται· θαυμασταὶ γὰρ οἱ ζηλωταί. καὶ ὅταν ἔχωσιν
ἃ καταισχύνουσιν ἔργα καὶ πράγματα ἢ αὐτῶν ἢ προγό-
νων ἢ ἄλλων τινῶν πρὸς οὓς ὑπάρχει τις αὐτοῖς ἀγχι-
στεία. καὶ ὅλως ὑπὲρ ὧν αἰσχύνονται αὐτοί· εἰσὶ δ' οὗ-
τοι οἱ εἰρημένοι καὶ οἱ εἰς αὐτοὺς ἀναφερόμενοι, ἢ ὧν
διδάσκαλοι ἢ σύμβουλοι γεγόνασιν, ἢ ἐὰν ὦσιν ἕτεροι
ὅμοιοι, πρὸς οὓς φιλοτιμοῦνται· πολλὰ γὰρ αἰσχυνόμε-
νοι διὰ τοὺς τοιούτους καὶ ποιοῦσι καὶ οὐ ποιοῦσιν. καὶ
μέλλοντες ὁρᾶσθαι καὶ ἐν φανερῷ ἀναστρέφεσθαι τοῖς
συνειδόσιν αἰσχυντηροὶ μᾶλλόν εἰσιν. ὅθεν καὶ Ἀντι-
φῶν ὁ ποιητὴς μέλλων ἀποτυμπανίζεσθαι ὑπὸ Διονυ-
σίου εἶπεν, ἰδὼν τοὺς συναποθνήσκειν μέλλοντας ἐγκα-
λυπτομένους ὡς ᾖεσαν διὰ τῶν πυλῶν, „τί ἐγκαλύπτε-
σθε“ ἔφη· „ἢ μὴ αὔριόν τις ὑμᾶς ἴδῃ τούτων;“
περὶ μὲν οὖν αἰσχύνης ταῦτα· περὶ δὲ ἀναισχυντίας
7 δῆλον ὡς ἐκ τῶν ἐναντίων εὐπορήσομεν. τίσι δὲ χάριν
ἔχουσι καὶ ἐπὶ τίσιν καὶ πῶς αὐτοὶ ἔχοντες, ὁρισαμένοις
τὴν χάριν δῆλον ἔσται. ἔστω δὴ χάρις, καθ' ἣν ὁ ἔχων
λέγεται χάριν ἔχειν, ὑπουργία δεομένῳ μὴ ἀντί τινος,
μηδ' ἵνα τι αὐτῷ τῷ ὑπουργοῦντι, ἀλλ' ἵνα τι ἐκείνῳ·
μεγάλη δ' ἂν ᾖ σφόδρα δεομένῳ, ἢ μεγάλων καὶ χαλε-
πῶν, ἢ ἐν καιροῖς τοιούτοις, ἢ μόνος, ἢ πρῶτος, ἢ μάλι-
στα. δεήσεις δ' εἰσὶν αἱ ὀρέξεις, καὶ τούτων μάλιστα αἱ
μετὰ λύπης τοῦ μὴ γιγνομένου· τοιαῦται δὲ αἱ ἐπιθυ-

μίαι, οἷον ἔρως. καὶ αἱ ἐν ταῖς τοῦ σώματος κακώσεσι καὶ 7
ἐν κινδύνοις· καὶ γὰρ ὁ κινδυνεύων ἐπιθυμεῖ καὶ ὁ λυ-
πούμενος. διὸ οἱ ἐν πενίᾳ παριστάμενοι καὶ φυγαῖς, κἂν
μικρὰ ὑπηρετήσωσιν, διὰ τὸ μέγεθος τῆς δεήσεως καὶ
τὸν καιρὸν κεχαρισμένοι, οἷον ὁ ἐν Λυκείῳ τὸν φορμὸν
δούς. ἀνάγκη οὖν μάλιστα μὲν εἰς ταῦτα ἔχειν τὴν ὑπουρ-
γίαν, εἰ δὲ μή, εἰς ἴσα ἢ μείζω. ὥστ' ἐπεὶ φανερὸν καὶ
οἷς καὶ ἐφ' οἷς γίγνεται χάρις καὶ πῶς ἔχουσι, δῆλον ὅτι
ἐκ τούτων παρασκευαστέον, τοὺς μὲν δεικνύντας ἢ ὄν-
τας ἢ γεγενημένους ἐν τοιαύτῃ δεήσει καὶ λύπῃ, τοὺς δὲ
ὑπηρετηκότας ἐν τοιαύτῃ χρείᾳ τοιοῦτόν τι ἢ ὑπηρε-
τοῦντας. φανερὸν δὲ καὶ ὅθεν ἀφαιρεῖσθαι ἐνδέχεται
τὴν χάριν καὶ ποιεῖν ἀχαρίστους· ἢ γὰρ ὅτι αὑτῶν ἕνεκα
ὑπηρετοῦσιν ἢ ὑπηρέτησαν (τοῦτο δ' οὐκ ἦν χάρις), ἢ
ὅτι ἀπὸ τύχης συνέπεσεν ἢ συνηναγκάσθησαν, ἢ ὅτι ἀπέ-
δωκαν ἀλλ' οὐκ ἔδωκαν, εἴτ' εἰδὼς εἴτε μὴ εἰδώς· ἀμφο-
τέρως γὰρ τὸ ἀντί τινος, ὥστ' οὐδ' οὕτως ἂν εἴη χάρις.
καὶ περὶ ἁπάσας τὰς κατηγορίας σκεπτέον· ἡ γὰρ χάρις
ἐστὶν ἢ ὅτι τοδὶ ἢ τοσονδὶ ἢ τοιονδὶ ἢ ποτὲ ἢ ποῦ. ση-
μεῖον δέ, εἰ ἔλαττον μὴ ὑπηρέτησαν, καὶ εἰ τοῖς ἐχθροῖς
ἢ ταὐτὰ ἢ ἴσα ἢ μείζω· δῆλον γὰρ ὅτι οὐδὲ ταῦτα ἡμῶν
ἕνεκα. ἢ εἰ φαῦλα εἰδώς· οὐδεὶς γὰρ ὁμολογεῖ δεῖσθαι
φαύλων.

καὶ περὶ μὲν τοῦ χαρίζεσθαι καὶ ἀχαριστεῖν εἴρηται·
ποῖα δ' ἐλεεινὰ καὶ τίνας ἐλεοῦσι, καὶ πῶς αὐτοὶ ἔχοντες,
λέγωμεν. ἔστω δὴ ἔλεος λύπη τις ἐπὶ φαινομένῳ κακῷ 8
φθαρτικῷ ἢ λυπηρῷ τοῦ ἀναξίου τυγχάνειν, ὃ κἂν αὐ-
τὸς προσδοκήσειεν ἂν παθεῖν ἢ τῶν αὑτοῦ τινά, καὶ
τοῦτο, ὅταν πλησίον φαίνηται· δῆλον γὰρ ὅτι ἀνάγκη
τὸν μέλλοντα ἐλεήσειν ὑπάρχειν τοιοῦτον οἷον οἴεσθαι
παθεῖν ἄν τι κακὸν ἢ αὐτὸν ἢ τῶν αὑτοῦ τινά, καὶ τοιοῦ-
το κακὸν οἷον εἴρηται ἐν τῷ ὅρῳ ἢ ὅμοιον ἢ παραπλή-

8 *σιον. διὸ οὔτε οἱ παντελῶς ἀπολωλότες ἐλεοῦσιν (οὐδὲν γὰρ ἂν ἔτι παθεῖν οἴονται· πεπόνθασι γάρ) οὔτε οἱ ὑπερευδαιμονεῖν οἰόμενοι, ἀλλ' ὑβρίζουσιν· εἰ γὰρ ἅπαντα οἴονται ὑπάρχειν τἀγαθά, δῆλον ὅτι καὶ τὸ μὴ ἐνδέχεσθαι παθεῖν μηδὲν κακόν· καὶ γὰρ τοῦτο τῶν ἀγαθῶν. εἰσὶ δὲ τοιοῦτοι οἷοι νομίζειν παθεῖν ἂν οἵ τε πεπονθότες ἤδη καὶ διαπεφευγότες, καὶ οἱ πρεσβύτεροι καὶ διὰ τὸ φρονεῖν καὶ δι' ἐμπειρίαν, καὶ οἱ ἀσθενεῖς, καὶ οἱ δειλότεροι μᾶλλον, καὶ οἱ πεπαιδευμένοι· εὐλόγιστοι γάρ. καὶ οἷς ὑπάρχουσι γονεῖς ἢ τέκνα ἢ γυναῖκες· αὐτοῦ τε γὰρ ταῦτα, καὶ οἷα παθεῖν τὰ εἰρημένα. καὶ οἱ μήτε ἐν ἀνδρίας πάθει ὄντες, οἷον ἐν ὀργῇ ἢ θάρρει (ἀλόγιστα γὰρ τοῦ ἐσομένου ταῦτα), μήτ' ἐν ὑβριστικῇ διαθέσει (καὶ γὰρ οὗτοι ἀλόγιστοι τοῦ πείσεσθαί τι), ἀλλ' οἱ μεταξὺ τούτων. μήτ' αὖ φοβούμενοι σφόδρα· οὐ γὰρ ἐλεοῦσιν οἱ ἐκπεπληγμένοι διὰ τὸ εἶναι πρὸς τῷ οἰκείῳ πάθει. κἂν οἴωνταί τινας εἶναι τῶν ἐπιεικῶν· ὁ γὰρ μηδένα οἰόμενος πάντας οἰήσεται ἀξίους εἶναι κακοῦ. καὶ ὅλως δὴ ὅταν ἔχῃ οὕτως ὥστ' ἀναμνησθῆναι τοιαῦτα συμβεβηκότα ἢ αὑτῷ ἢ τῶν αὑτοῦ, ἢ ἐλπίσαι γενέσθαι ἢ αὑτῷ ἢ τῶν αὑτοῦ.*

ὡς μὲν οὖν ἔχοντες ἐλεοῦσιν, εἴρηται, ἃ δ' ἐλεοῦσιν, ἐκ τοῦ ὁρισμοῦ δῆλον· ὅσα τε γὰρ τῶν λυπηρῶν καὶ ὀδυνηρῶν [φθαρτικά], πάντα ἐλεεινά, καὶ ὅσα ἀναιρετικά, καὶ ὅσων ἡ τύχη αἰτία κακῶν μέγεθος ἐχόντων. ἔστι δ' ὀδυνηρὰ μὲν καὶ φθαρτικὰ θάνατοι καὶ αἰκίαι σωμάτων καὶ κακώσεις καὶ γῆρας καὶ νόσοι καὶ τροφῆς ἔνδεια, ὧν δ' ἡ τύχη αἰτία κακῶν, ἀφιλία, ὀλιγοφιλία (καὶ τὸ διεσπάσθαι ἀπὸ τῶν φίλων καὶ συνήθων ἐλεεινόν), αἶσχος, ἀσθένεια, ἀναπηρία. καὶ τὸ ὅθεν προσῆκεν ἀγαθόν τι πρᾶξαι, κακόν τι συμβῆναι. καὶ τὸ πολλάκις τοιοῦτον. καὶ τὸ πεπονθότος γενέσθαι τι ἀγαθόν, οἷον Διοπείθει

τὰ παρὰ βασιλέως τεθνεῶτι κατεπέμφθη. καὶ τὸ ἢ μηδὲν 8 γεγενῆσθαι ἀγαθόν, ἢ γενομένων μὴ εἶναι ἀπόλαυσιν.

ἐφ' οἷς μὲν οὖν ἐλεοῦσι, ταῦτα καὶ τὰ τοιαῦτά ἐστιν· ἐλεοῦσι δὲ τούς τε γνωρίμους, ἂν μὴ σφόδρα ἐγγὺς ὦσιν οἰκειότητι· περὶ δὲ τούτους ὥσπερ περὶ αὑτοὺς μέλλοντας ἔχουσιν. διὸ καὶ ὁ Ἄμασις ἐπὶ μὲν τῷ υἱεῖ ἀγομένῳ ἐπὶ τὸ ἀποθανεῖν οὐκ ἐδάκρυσεν, ὥς φασίν, ἐπὶ δὲ τῷ φίλῳ προσαιτοῦντι· τοῦτο μὲν γὰρ ἐλεεινόν, ἐκεῖνο δὲ δεινόν· τὸ γὰρ δεινὸν ἕτερον τοῦ ἐλεεινοῦ καὶ ἐκκρουστικὸν τοῦ ἐλέου καὶ πολλάκις τῷ ἐναντίῳ χρήσιμον. ἔτι ἐλεοῦσιν ἐγγὺς αὐτοῖς τοῦ δεινοῦ ὄντος. καὶ τοὺς ὁμοίους ἐλεοῦσι κατὰ ἡλικίαν, κατὰ ἤθη, κατὰ ἕξεις, κατὰ ἀξιώματα, κατὰ γένη· ἐν πᾶσι γὰρ τούτοις μᾶλλον φαίνεται καὶ αὐτῷ ἂν ὑπάρξαι· ὅλως γὰρ καὶ ἐνταῦθα δεῖ λαβεῖν, ὅτι ὅσα ἐφ' αὑτῶν φοβοῦνται, ταῦτα ἐπ' ἄλλων γιγνόμενα ἐλεοῦσιν. ἐπεὶ δ' ἐγγὺς φαινόμενα τὰ πάθη ἐλεεινά ἐστι, τὰ δὲ μυριοστὸν ἔτος γενόμενα ἢ ἐσόμενα οὔτ' ἐλπίζοντες οὔτε μεμνημένοι ἢ ὅλως οὐκ ἐλεοῦσιν ἢ οὐχ ὁμοίως, ἀνάγκη τοὺς συναπεργαζομένους σχήμασι καὶ φωναῖς καὶ ἐσθῆτι καὶ ὅλως τῇ ὑποκρίσει ἐλεεινοτέρους εἶναι· ἐγγὺς γὰρ ποιοῦσι φαίνεσθαι τὸ κακὸν πρὸ ὀμμάτων ποιοῦντες, ἢ ὡς μέλλον ἢ ὡς γεγονός. καὶ γεγονότα ἄρτι ἢ μέλλοντα διὰ ταχέων ἐλεεινότερα διὰ τοῦτο. καὶ τὰ σημεῖα καὶ τὰς πράξεις, οἷον ἐσθῆτάς τε τῶν πεπονθότων καὶ ὅσα τοιαῦτα, καὶ λόγους καὶ ὅσα ἄλλα τῶν ἐν τῷ πάθει ὄντων, οἷον ἤδη τελευτώντων. καὶ μάλιστα τὸ σπουδαίους εἶναι ἐν τοῖς τοιούτοις καιροῖς ὄντας ἐλεεινόν· ἅπαντα γὰρ ταῦτα διὰ τὸ ἐγγὺς φαίνεσθαι μᾶλλον ποιεῖ τὸν ἔλεον, καὶ ὡς ἀναξίου ὄντος καὶ ἐν ὀφθαλμοῖς φαινομένου τοῦ πάθους.

ἀντίκειται δὲ τῷ ἐλεεῖν μάλιστα μὲν ὃ καλοῦσι νεμε- 9 σᾶν· τῷ γὰρ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις κακοπραγίαις

9 ἀντικείμενόν ἐστι τρόπον τινὰ καὶ ἀπὸ τοῦ αὐτοῦ ἤθους τὸ λυπεῖσθαι ἐπὶ ταῖς ἀναξίαις εὐπραγίαις. καὶ ἄμφω τὰ πάθη ἤθους χρηστοῦ· δεῖ γὰρ ἐπὶ μὲν τοῖς ἀναξίως πράττουσι κακῶς συνάχθεσθαι καὶ ἐλεεῖν, τοῖς δὲ εὖ νεμεσᾶν· ἄδικον γὰρ τὸ παρὰ τὴν ἀξίαν γιγνόμενον, διὸ καὶ τοῖς θεοῖς ἀποδίδομεν τὸ νεμεσᾶν. δόξειε δ' ἂν καὶ ὁ φθόνος τῷ ἐλεεῖν τὸν αὐτὸν ἀντικεῖσθαι τρόπον ὡς σύνεγγυς ὢν καὶ ταὐτὸν τῷ νεμεσᾶν, ἔστι δ' ἕτερον· λύπη μὲν γὰρ ταραχώδης καὶ ὁ φθόνος ἐστὶ καὶ εἰς εὐπραγίαν, ἀλλ' οὐ τοῦ ἀναξίου ἀλλὰ τοῦ ἴσου καὶ ὁμοίου. τὸ δὲ μὴ ὅτι αὐτῷ τι συμβήσεται ἕτερον, ἀλλὰ δι' αὐτὸν τὸν πλησίον, ἅπασιν ὁμοίως δεῖ ὑπάρχειν· οὐ γὰρ ἔτι ἔσται τὸ μὲν νέμεσις τὸ δὲ φθόνος, ἀλλὰ φόβος, ἐὰν διὰ τοῦτο ἡ λύπη ὑπάρχῃ καὶ ἡ ταραχή, ὅτι αὐτῷ τι ἔσται φαῦλον ἀπὸ τῆς ἐκείνου εὐπραξίας. φανερὸν δ' ὅτι ἀκολουθήσει καὶ τὰ ἐναντία πάθη τούτοις· ὁ μὲν γὰρ λυπούμενος ἐπὶ τοῖς ἀναξίως κακοπραγοῦσιν ἡσθήσεται ἢ ἄλυπος ἔσται ἐπὶ τοῖς ἐναντίως κακοπραγοῦσιν· οἷον τοὺς πατραλοίας καὶ μιαιφόνους, ὅταν τύχωσι τιμωρίας, οὐδεὶς ἂν λυπηθείη χρηστός· δεῖ γὰρ χαίρειν ἐπὶ τοῖς τοιούτοις, ὡς δ' αὔτως καὶ ἐπὶ τοῖς εὖ πράττουσι κατ' ἀξίαν· ἄμφω γὰρ δίκαια, καὶ ποιεῖ χαίρειν τὸν ἐπιεικῆ· ἀνάγκη γὰρ ἐλπίζειν ὑπάρξαι ἄν, ἅπερ τῷ ὁμοίῳ, καὶ αὐτῷ. καὶ ἔστι τοῦ αὐτοῦ ἤθους ἅπαντα ταῦτα, τὰ δ' ἐναντία τοῦ ἐναντίου· ὁ γὰρ αὐτός ἐστιν ἐπιχαιρέκακος καὶ φθονερός· ἐφ' ᾧ γάρ τις λυπεῖται γιγνομένῳ καὶ ὑπάρχοντι, ἀναγκαῖον τοῦτον ἐπὶ τῇ στερήσει καὶ φθορᾷ τῇ τούτου χαίρειν. διὸ κωλυτικὰ μὲν ἐλέου πάντα ταῦτα ἐστί, διαφέρει δὲ διὰ τὰς εἰρημένας αἰτίας· ὥστε πρὸς τὸ μὴ ἐλεεινὰ ποιεῖν ἅπαντα ὁμοίως χρήσιμα.

πρῶτον μὲν οὖν περὶ τοῦ νεμεσᾶν λέγωμεν, τίσι τε νεμεσῶσι καὶ ἐπὶ τίσι καὶ πῶς ἔχοντες αὐτοί, εἶτα μετὰ

ταῦτα περὶ τῶν ἄλλων. φανερὸν δ' ἐκ τῶν εἰρημένων· 9 εἰ γάρ ἐστι τὸ νεμεσᾶν λυπεῖσθαι ἐπὶ τῷ φαινομένῳ ἀναξίως εὐπραγεῖν, πρῶτον μὲν δῆλον ὅτι οὐχ οἷόν τ' ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς νεμεσᾶν· οὐ γὰρ εἰ δίκαιος καὶ ἀνδρεῖος, ἢ εἰ ἀρετὴν λήψεται, νεμεσήσει τούτῳ (οὐδὲ γὰρ ἔλεοι ἐπὶ τοῖς ἐναντίοις τούτων εἰσίν), ἀλλ' ἐπὶ πλούτῳ καὶ δυνάμει καὶ τοῖς τοιούτοις, ὅσων ὡς ἁπλῶς εἰπεῖν ἄξιοί εἰσιν οἱ ἀγαθοὶ καὶ οἱ τὰ φύσει ἔχοντες ἀγαθά, οἷον εὐγένειαν καὶ κάλλος καὶ ὅσα τοιαῦτα. ἐπεὶ δὲ τὸ ἀρχαῖον ἐγγύς τι φαίνεται τοῦ φύσει, ἀνάγκη τοῖς ταὐτὸ ἔχουσιν ἀγαθόν, ἐὰν νεωστὶ ἔχοντες τυγχάνωσι ἢ διὰ τοῦτο εὐπραγῶσι, μᾶλλον νεμεσᾶν· μᾶλλον γὰρ λυποῦσιν οἱ νεωστὶ πλουτοῦντες τῶν πάλαι καὶ διὰ γένος· ὁμοίως δὲ καὶ ἄρχοντες καὶ δυνάμενοι καὶ πολύφιλοι καὶ εὔτεκνοι καὶ ὁτιοῦν τῶν τοιούτων. καὶ ἐὰν διὰ ταῦτ' ἄλλο τι ἀγαθὸν γίγνηται αὐτοῖς, ὡσαύτως· καὶ γὰρ ἐνταῦθα μᾶλλον λυποῦσιν οἱ νεόπλουτοι ἄρχοντες διὰ τὸν πλοῦτον ἢ οἱ ἀρχαιόπλουτοι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. αἴτιον δ' ὅτι οἱ μὲν δοκοῦσι τὰ αὑτῶν ἔχειν οἱ δ' οὔ· τὸ γὰρ ἀεὶ οὕτω φαινόμενον ἔχειν ἀληθὲς δοκεῖ, ὥστε οἱ ἕτεροι οὐ τὰ αὑτῶν ἔχειν. καὶ ἐπεὶ ἕκαστον τῶν ἀγαθῶν οὐ τοῦ τυχόντος ἄξιον, ἀλλά τις ἐστὶν ἀναλογία καὶ τὸ ἁρμόττον, οἷον ὅπλα ὧν κάλλος οὐ τῷ δικαίῳ ἁρμόττει ἀλλὰ τῷ ἀνδρείῳ, καὶ γάμοι διαφέροντες οὐ τοῖς νεωστὶ πλουσίοις ἀλλὰ τοῖς εὐγενέσιν· ἂν οὖν ἀγαθὸς ὢν μὴ τοῦ ἁρμόττοντος τυγχάνῃ, νεμεσητόν. καὶ τὸν ἥττω τῷ κρείττονι ἀμφισβητεῖν, μάλιστα μὲν οὖν τοὺς ἐν τῷ αὐτῷ· ὅθεν καὶ τοῦτ' εἴρηται,

Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο·
Ζεὺς γάρ οἱ νεμέσασχ', ὅτ' ἀμείνονι φωτὶ μάχοιτο.

εἰ δὲ μή, κἂν ὁπωσοῦν ὁ ἥττων τῷ κρείττονι, οἷον εἰ ὁ

9 μουσικὸς τῷ δικαίῳ· βέλτιον γὰρ ἡ δικαιοσύνη τῆς μουσικῆς.

οἷς μὲν οὖν νεμεσῶσι καὶ διὰ τί, ἐκ τούτων δῆλον· ταῦτα γὰρ καὶ τὰ τοιαῦτά ἐστιν. αὐτοὶ δὲ νεμεσητικοί εἰσιν, ἐὰν ἄξιοι τυγχάνωσιν ὄντες τῶν μεγίστων ἀγαθῶν καὶ ταῦτα κεκτημένοι· τὸ γὰρ τῶν ὁμοίων ἠξιῶσθαι τοὺς μὴ ὁμοίους οὐ δίκαιον. δεύτερον δ', ἂν ὄντες ἀγαθοὶ καὶ σπουδαῖοι τυγχάνωσιν· κρίνουσί τε γὰρ εὖ, καὶ τὰ ἄδικα μισοῦσιν. καὶ ἐὰν φιλότιμοι, καὶ ὀρεγόμενοι τινῶν πραγμάτων, καὶ μάλιστα περὶ ταῦτα φιλότιμοι ὦσιν ὧν ἕτεροι ἀνάξιοι ὄντες τυγχάνουσιν. καὶ ὅλως οἱ ἀξιοῦντες αὐτοὶ αὑτοὺς ὧν ἑτέρους μὴ ἀξιοῦσι, νεμεσητικοὶ τούτοις καὶ τούτων. διὸ καὶ οἱ ἀνδραποδώδεις καὶ φαῦλοι καὶ ἀφιλότιμοι οὐ νεμεσητικοί· οὐδὲν γάρ ἐστιν οὗ ἑαυτοὺς οἴονται ἀξίους εἶναι.

φανερὸν δ' ἐκ τούτων ἐπὶ ποίοις ἀτυχοῦσι καὶ κακοπραγοῦσιν ἢ μὴ τυγχάνουσι χαίρειν ἢ ἀλύπως ἔχειν δεῖ· ἐκ γὰρ τῶν εἰρημένων τὰ ἀντικείμενά ἐστι δῆλα, ὥστ' ἐὰν τούς τε κριτὰς τοιούτους παρασκευάσῃ ὁ λόγος, καὶ τοὺς ἀξιοῦντας ἐλεεῖσθαι, καὶ ἐφ' οἷς ἐλεεῖσθαι, δείξῃ ἀναξίους ὄντας τυγχάνειν ἀξίους δὲ μὴ τυγχάνειν, ἀδύνατον ἐλεεῖν.

10 δῆλον δὲ καὶ ἐπὶ τίσι φθονοῦσι καὶ τίσι καὶ πῶς ἔχοντες, εἴπερ ἐστὶν ὁ φθόνος λύπη τις ἐπὶ εὐπραγίᾳ φαινομένη τῶν εἰρημένων ἀγαθῶν περὶ τοὺς ὁμοίους, μὴ ἵνα τι αὑτῷ, ἀλλὰ δι' ἐκείνους· φθονήσουσι μὲν γὰρ οἱ τοιοῦτοι οἷς εἰσί τινες ὅμοιοι ἢ φαίνονται. ὁμοίους δὲ λέγω κατὰ γένος, κατὰ συγγένειαν, καθ' ἡλικίαν, καθ' ἕξεις, κατὰ δόξαν, κατὰ τὰ ὑπάρχοντα. καὶ οἷς μικρὸν ἐλλείπει τοῦ μὴ πάντα ὑπάρχειν. διὸ οἱ μεγάλα πράττοντες καὶ οἱ εὐτυχοῦντες φθονεροί εἰσιν· πάντας γὰρ οἴονται τὰ αὑτῶν φέρειν. καὶ οἱ τιμώμενοι ἐπί τινι διαφερόντως, καὶ

:λιστα ἐπὶ σοφίᾳ ἢ εὐδαιμονίᾳ. καὶ οἱ φιλότιμοι φθονε- ότεροι τῶν ἀφιλοτίμων. καὶ οἱ δοξόσοφοι· φιλότιμοι γὰρ :ὶ σοφίᾳ. καὶ ὅλως οἱ φιλόδοξοι περί τι φθονεροὶ περὶ ῦτο. καὶ οἱ μικρόψυχοι· πάντα γὰρ μεγάλα δοκεῖ αὐ- ῖς εἶναι. ἐφ' οἷς δὲ φθονοῦσιν, τὰ μὲν ἀγαθὰ εἴ- ηται· ἐφ' οἷς γὰρ φιλοδοξοῦσι καὶ φιλοτιμοῦνται ἔρ- ιις ἢ κτήμασι καὶ ὀρέγονται δόξης, καὶ ὅσα εὐτυχήματά ιτι, σχεδὸν περὶ πάντα φθόνος ἐστί, καὶ μάλιστα ὧν ὐτοὶ ἢ ὀρέγονται ἢ οἴονται δεῖν αὐτοὺς ἔχειν, ἢ ὧν τῇ τήσει μικρῷ ὑπερέχουσιν ἢ μικρῷ ἐλλείπουσιν. φα- ερὸν δὲ καὶ οἷς φθονοῦσιν· ἅμα γὰρ εἴρηται· τοῖς γὰρ γγὺς καὶ χρόνῳ καὶ τόπῳ καὶ ἡλικίᾳ καὶ δόξῃ φθονοῦ- ιν. ὅθεν εἴρηται

τὸ συγγενὲς γὰρ καὶ φθονεῖν ἐπίσταται.

καὶ πρὸς οὓς φιλοτιμοῦνται· φιλοτιμοῦνται γὰρ πρὸς οὺς εἰρημένους, πρὸς δὲ τοὺς μυριοστὸν ἔτος ὄντας ἢ ρὸς τοὺς ἐσομένους ἢ τεθνεῶτας οὐδείς, οὐδὲ πρὸς τοὺς ἐφ' Ἡρακλείαις στήλαις. οὐδ' ὧν πολὺ οἴονται παρ' αὐ- τοῖς καὶ παρὰ τοῖς ἄλλοις λείπεσθαι, οὐδ' ὧν πολὺ ὑπερ- ἔχειν, ὡσαύτως καὶ πρὸς τοὺς περὶ τὰ τοιαῦτα. ἐπεὶ δὲ ρὸς τοὺς ἀνταγωνιστὰς καὶ ἀντεραστὰς καὶ ὅλως τοὺς ῶν αὐτῶν ἐφιεμένους φιλοτιμοῦνται, ἀνάγκη μάλιστα ούτοις φθονεῖν· διόπερ εἴρηται

καὶ κεραμεὺς κεραμεῖ.

καὶ ὧν ἢ κεκτημένων ἢ κατορθούντων ὄνειδος αὐτοῖς· ἰσὶ δὲ καὶ οὗτοι οἱ ἐγγὺς καὶ ὅμοιοι· δῆλον γὰρ ὅτι παρ' ὐτοὺς οὐ τυγχάνουσι τοῦ ἀγαθοῦ, ὥστε τοῦτο λυποῦν οιεῖ τὸν φθόνον. καὶ τοῖς ἢ ἔχουσι ταῦτα ἢ κεκτημένοις σα αὐτοῖς προσῆκεν ἢ κέκτηντό ποτε· διὸ πρεσβύτεροί ι νεωτέροις, καὶ οἱ πολλὰ δαπανήσαντες εἰς ταὐτὸ τοῖς ιίγα φθονοῦσιν. καὶ τοῖς ταχὺ οἱ μήπω τυχόντες ἢ μὴ υχόντες φθονοῦσιν. δῆλον δὲ καὶ ἐφ' οἷς χαίρουσιν οἱ

10 τοιοῦτοι καὶ ἐπὶ τίσι καὶ πῶς ἔχοντες· ὡς γὰρ οὐκ ἔχοντες λυποῦνται, οὕτως ἔχοντες ἐπὶ τοῖς ἐναντίοις ἡσθήσονται. ὥστε ἂν αὐτοὶ μὲν παρασκευασθῶσιν οὕτως ἔχειν, οἱ δ' ἐλεεῖσθαι ἢ τυγχάνειν τινὸς ἀγαθοῦ ἀξιούμενοι ὦσιν οἷοι οἱ εἰρημένοι, δῆλον ὡς οὐ τεύξονται ἐλέου παρὰ τῶν κυρίων.

11 Πῶς δ' ἔχοντες ζηλοῦσι καὶ τὰ ποῖα καὶ ἐπὶ τίσιν, ἐνθένδ' ἐστὶ δῆλον. εἰ γάρ ἐστι ζῆλος λύπη τις ἐπὶ φαινομένῃ παρουσίᾳ ἀγαθῶν ἐντίμων καὶ ἐνδεχομένων αὐτῷ λαβεῖν περὶ τοὺς ὁμοίους τῇ φύσει, οὐχ ὅτι ἄλλῳ ἀλλ' ὅτι οὐχὶ καὶ αὐτῷ ἐστίν· διὸ καὶ ἐπιεικές ἐστιν ὁ ζῆλος καὶ ἐπιεικῶν, τὸ δὲ φθονεῖν φαῦλον καὶ φαύλων· ὁ μὲν γὰρ αὐτὸν παρασκευάζει διὰ τὸν ζῆλον τυγχάνειν τῶν ἀγαθῶν, ὁ δὲ τὸν πλησίον μὴ ἔχειν διὰ τὸν φθόνον· ἀνάγκη [δὴ] ζηλωτικοὺς μὲν εἶναι τοὺς ἀξιοῦντας αὐτοὺς ἀγαθῶν ὧν μὴ ἔχουσιν· οὐδεὶς γὰρ ἀξιοῖ τὰ φαινόμενα ἀδύνατα. διὸ οἱ νέοι καὶ οἱ μεγαλόψυχοι τοιοῦτοι. καὶ οἷς ὑπάρχει τοιαῦτα ἀγαθὰ ἃ τῶν ἐντίμων ἄξιά ἐστιν ἀνδρῶν· ἔστι γὰρ ταῦτα πλοῦτος καὶ πολυφιλία καὶ ἀρχαὶ καὶ ὅσα τοιαῦτα· ὡς γὰρ προσῆκον αὐτοῖς ἀγαθοῖς εἶναι, ὅτι προσῆκε τοῖς ἀγαθῶς ἔχουσι, ζηλοῦσι τὰ τοιαῦτα τῶν ἀγαθῶν. καὶ οὓς οἱ ἄλλοι ἀξιοῦσιν. καὶ ὧν πρόγονοι ἢ συγγενεῖς ἢ οἰκεῖοι ἢ τὸ ἔθνος ἢ ἡ πόλις ἔντιμοι, ζηλωτικοὶ περὶ ταῦτα· οἰκεῖα γὰρ οἴονται αὐτοῖς εἶναι, καὶ ἄξιοι τούτων. εἰ δ' ἐστὶ ζηλωτὰ τὰ ἔντιμα ἀγαθά, ἀνάγκη τάς τε ἀρετὰς εἶναι τοιαύτας, καὶ ὅσα τοῖς ἄλλοις ὠφέλιμα καὶ εὐεργετικά· τιμῶσι γὰρ τοὺς εὐεργετοῦντας καὶ τοὺς ἀγαθούς. καὶ ὅσων ἀγαθῶν ἀπόλαυσις τοῖς πλησίον ἐστίν, οἷον πλοῦτος καὶ κάλλος μᾶλλον ὑγιείας. φανερὸν δὲ καὶ οἱ ζηλωτοὶ τίνες· οἱ γὰρ ταῦτα καὶ τὰ τοιαῦτα κεκτημένοι ζηλωτοί. ἔστι δὲ ταῦτα τὰ εἰρημένα, οἷον ἀνδρία σοφία ἀρχή· οἱ γὰρ ἄρχοντες πολλοὺς δύ-

ινται εὖ ποιεῖν, στρατηγοί, ῥήτορες, πάντες οἱ τὰ 11 ιαῦτα δυνάμενοι. καὶ οἷς πολλοὶ ὅμοιοι βούλονται εἶ- κι, ἢ πολλοὶ γνώριμοι, ἢ φίλοι πολλοί. ἢ οὓς πολλοὶ αυμάζουσιν, ἢ οὓς αὐτοὶ θαυμάζουσιν. καὶ ὧν ἔπαινοι αὶ ἐγκώμια λέγονται ἢ ὑπὸ ποιητῶν ἢ λογογράφων. αταφρονοῦσι δὲ τῶν ἐναντίων· ἐναντίον γὰρ ζήλῳ κα- αφρόνησίς ἐστι, καὶ τὸ ζηλοῦν τῷ καταφρονεῖν. ἀνάγκη ὲ τοὺς οὕτως ἔχοντας ὥστε ζηλῶσαί τινας ἢ ζηλοῦσθαι, αταφρονητικοὺς εἶναι τούτων τε καὶ ἐπὶ τούτοις ὅσοι τὰ ναντία κακὰ ἔχουσι τῶν ἀγαθῶν τῶν ζηλωτῶν. διὸ πολλάκις καταφρονοῦσι τῶν εὐτυχούντων, ὅταν ἄνευ τῶν ἐντίμων ἀγαθῶν ὑπάρχῃ αὐτοῖς ἡ τύχη.

δι' ὧν μὲν οὖν τὰ πάθη ἐγγίγνεται καὶ διαλύεται, ἐξ ὧν αἱ πίστεις γίγνονται περὶ αὐτῶν, εἴρηται· τὰ δὲ ἤθη 12 ποῖοί τινες κατὰ τὰ πάθη καὶ τὰς ἕξεις καὶ τὰς ἡλικίας καὶ τὰς τύχας, διέλθωμεν μετὰ ταῦτα. λέγω δὲ πάθη μὲν ὀργὴν ἐπιθυμίαν καὶ τὰ τοιαῦτα, περὶ ὧν εἰρήκαμεν [πρότερον], ἕξεις δὲ ἀρετὰς καὶ κακίας· εἴρηται δὲ περὶ τούτων πρότερον, καὶ ποῖα προαιροῦνται ἕκαστοι, καὶ ποίων πρακτικοί. ἡλικίαι δ' εἰσὶ νεότης καὶ ἀκμὴ καὶ γῆρας. τύχην δὲ λέγω εὐγένειαν καὶ πλοῦτον καὶ δύναμιν καὶ τἀναντία τούτοις καὶ ὅλως εὐτυχίαν καὶ δυστυχίαν.

οἱ μὲν οὖν νέοι τὰ ἤθη εἰσὶν ἐπιθυμητικοί, καὶ οἷοι ποιεῖν ὧν ἂν ἐπιθυμήσωσιν. καὶ τῶν περὶ τὸ σῶμα ἐπιθυμιῶν μάλιστα ἀκολουθητικοί εἰσι τῇ περὶ τὰ ἀφροδίσια, καὶ ἀκρατεῖς ταύτης. εὐμετάβολοι δὲ καὶ ἁψίκοροι πρὸς τὰς ἐπιθυμίας, καὶ σφόδρα μὲν ἐπιθυμοῦσι, ταχέως δὲ παύονται· ὀξεῖαι γὰρ αἱ βουλήσεις καὶ οὐ μεγάλαι, ὥσπερ αἱ τῶν καμνόντων δίψαι καὶ πεῖναι. καὶ θυμικοὶ καὶ ὀξύθυμοι καὶ οἷοι ἀκολουθεῖν τῇ ὀργῇ. καὶ ἥττους εἰσὶ τοῦ θυμοῦ· διὰ γὰρ φιλοτιμίαν οὐκ ἀνέχονται ὀλιγωρούμενοι, ἀλλ' ἀγανακτοῦσιν, ἂν οἴωνται ἀδικεῖσθαι.

12 καὶ φιλότιμοι μέν εἰσι, μᾶλλον δὲ φιλόνικοι· ὑπεροχῆς γὰρ ἐπιθυμεῖ ἡ νεότης, ἡ δὲ νίκη ὑπεροχή τις. καὶ ἄμφω ταῦτα μᾶλλον ἢ φιλοχρήματοι· φιλοχρήματοι δὲ ἥκιστα διὰ τὸ μήπω ἐνδείας πεπειρᾶσθαι, ὥσπερ τὸ Πιττακοῦ ἔχει ἀπόφθεγμα εἰς Ἀμφιάραον. καὶ οὐ κακοήθεις ἀλλ' εὐήθεις διὰ τὸ μήπω τεθεωρηκέναι πολλὰς πονηρίας. καὶ εὔπιστοι διὰ τὸ μήπω πολλὰ ἐξηπατῆσθαι. καὶ εὐέλπιδες· ὥσπερ γὰρ οἱ οἰνωμένοι, οὕτω διάθερμοί εἰσιν οἱ νέοι ὑπὸ τῆς φύσεως· ἅμα δὲ καὶ διὰ τὸ μὴ πολλὰ ἀποτετυχηκέναι. καὶ ζῶσι τὰ πλεῖστα ἐλπίδι· ἡ μὲν γὰρ ἐλπὶς τοῦ μέλλοντός ἐστιν ἡ δὲ μνήμη τοῦ παροιχομένου, τοῖς δὲ νέοις τὸ μὲν μέλλον πολὺ τὸ δὲ παρεληλυθὸς βραχύ· τῇ γὰρ πρώτῃ ἡμέρᾳ μεμνῆσθαι μὲν οὐδὲν οἷόν τε, ἐλπίζειν δὲ πάντα. καὶ εὐεξαπάτητοί εἰσι διὰ τὸ εἰρημένον· ἐλπίζουσι γὰρ ῥᾳδίως. καὶ ἀνδρειότεροι· θυμώδεις γὰρ καὶ εὐέλπιδες, ὧν τὸ μὲν μὴ φοβεῖσθαι τὸ δὲ θαρρεῖν ποιεῖ· οὔτε γὰρ ὀργιζόμενος οὐδεὶς φοβεῖται, τό τε ἐλπίζειν ἀγαθόν τι θαρραλέον ἐστίν. καὶ αἰσχυντηλοί· οὐ γάρ πω καλὰ ἕτερα ὑπολαμβάνουσιν, ἀλλὰ πεπαίδευνται ὑπὸ τοῦ νόμου μόνον. καὶ μεγαλόψυχοι· οὔτε γὰρ ὑπὸ τοῦ βίου [οὔπω] τεταπείνωνται, ἀλλὰ τῶν ἀναγκαίων ἄπειροί εἰσιν, καὶ τὸ ἀξιοῦν αὑτὸν μεγάλων μεγαλοψυχία· τοῦτο δ' εὐέλπιδος. καὶ μᾶλλον αἱροῦνται πράττειν τὰ καλὰ τῶν συμφερόντων· τῷ γὰρ ἤθει ζῶσι μᾶλλον ἢ τῷ λογισμῷ, ἔστι δ' ὁ μὲν λογισμὸς τοῦ συμφέροντος ἡ δὲ ἀρετὴ τοῦ καλοῦ. καὶ φιλόφιλοι καὶ φίλοι καὶ φιλέταιροι μᾶλλον τῶν ἄλλων ἡλικιῶν διὰ τὸ χαίρειν τῷ συζῆν καὶ μήπω πρὸς τὸ συμφέρον κρίνειν μηδέν, ὥστε μηδὲ τοὺς φίλους. καὶ ἅπαντα ἐπὶ τὸ μᾶλλον καὶ σφοδρότερον ἁμαρτάνουσι παρὰ τὸ Χιλώνειον· πάντα γὰρ ἄγαν πράττουσιν· φιλοῦσί τε γὰρ ἄγαν καὶ μισοῦσιν ἄγαν καὶ τἆλλα ἅπαντα ὁμοίως. καὶ εἰδέναι πάντα οἴονται καὶ δι-

σχυρίζονται· τοῦτο γὰρ αἴτιόν ἐστι καὶ τοῦ πάντα ἄγαν. 12
καὶ τὰ ἀδικήματα ἀδικοῦσιν εἰς ὕβριν, οὐ κακουργίαν. καὶ ἐλεητικοὶ διὰ τὸ πάντας χρηστοὺς καὶ βελτίους ὑπολαμβάνειν· τῇ γὰρ αὑτῶν ἀκακίᾳ τοὺς πέλας μετροῦσιν, ὥστ' ἀνάξια πάσχειν ὑπολαμβάνουσιν αὐτούς. καὶ φιλογέλωτες, διὸ καὶ φιλευτράπελοι· ἡ γὰρ εὐτραπελία πεπαιδευμένη ὕβρις ἐστίν.

τὸ μὲν οὖν τῶν νέων τοιοῦτόν ἐστιν ἦθος, οἱ δὲ 13
πρεσβύτεροι καὶ παρηκμακότες σχεδὸν ἐκ τῶν ἐναντίων τούτοις τὰ πλεῖστα ἔχουσιν ἤθη· διὰ γὰρ τὸ πολλὰ ἔτη βεβιωκέναι καὶ πλείω ἐξηπατῆσθαι καὶ ἐξημαρτηκέναι, καὶ τὰ πλείω φαῦλα εἶναι τῶν πραγμάτων, οὔτε διαβεβαιοῦνται οὐδέν, ἧττόν τε ἄγαν ἅπαντα ἢ δεῖ. καὶ οἴονται, ἴσασι δ' οὐδέν, καὶ ἀμφιδοξοῦντες προστιθέασιν ἀεὶ τὸ ἴσως καὶ τάχα, καὶ πάντα λέγουσιν οὕτω, παγίως δ' οὐδέν. καὶ κακοήθεις εἰσίν· ἔστι γὰρ κακοήθεια τὸ ἐπὶ τὸ χεῖρον ὑπολαμβάνειν πάντα. ἔτι δὲ καχύποπτοί εἰσι διὰ τὴν ἀπιστίαν, ἄπιστοι δὲ δι' ἐμπειρίαν. καὶ οὔτε φιλοῦσι σφόδρα οὔτε μισοῦσι διὰ ταῦτα, ἀλλὰ κατὰ τὴν Βίαντος ὑποθήκην καὶ φιλοῦσιν ὡς μισήσοντες καὶ μισοῦσιν ὡς φιλήσοντες. καὶ μικρόψυχοι διὰ τὸ τεταπεινῶσθαι ὑπὸ τοῦ βίου· οὐδενὸς γὰρ μεγάλου οὐδὲ περιττοῦ, ἀλλὰ τῶν πρὸς τὸν βίον ἐπιθυμοῦσιν. καὶ ἀνελεύθεροι· ἓν γάρ τι τῶν ἀναγκαίων ἡ οὐσία, ἅμα δὲ καὶ διὰ τὴν ἐμπειρίαν ἴσασιν ὡς χαλεπὸν τὸ κτήσασθαι καὶ ῥᾴδιον τὸ ἀποβαλεῖν. καὶ δειλοὶ καὶ πάντα προφοβητικοί· ἐναντίως γὰρ διάκεινται τοῖς νέοις· κατεψυγμένοι γάρ εἰσιν, οἱ δὲ θερμοί. ὥστε προωδοποίηκε τὸ γῆρας τῇ δειλίᾳ· καὶ γὰρ ὁ φόβος κατάψυξίς ἐστιν. καὶ φιλόζωοι, καὶ μᾶλλον ἐπὶ τῇ τελευταίᾳ ἡμέρᾳ διὰ τὸ τοῦ ἀπόντος εἶναι τὴν ἐπιθυμίαν, [καὶ] οὗ δὲ ἐνδεεῖς, τούτου μάλιστα ἐπιθυμεῖν. καὶ φίλαυτοι μᾶλλον ἢ δεῖ· μικροψυχία γάρ τις καὶ αὕτη. καὶ

13 πρὸς τὸ συμφέρον ζῶσιν, ἀλλ' οὐ πρὸς τὸ καλόν, μᾶλλον ἢ δεῖ, διὰ τὸ φίλαυτοι εἶναι· τὸ μὲν γὰρ συμφέρον αὑτῷ ἀγαθόν ἐστι, τὸ δὲ καλὸν ἁπλῶς. καὶ ἀναίσχυντοι μᾶλλον ἢ αἰσχυντηλοί· διὰ γὰρ τὸ μὴ φροντίζειν ὁμοίως τοῦ καλοῦ καὶ συμφέροντος ὀλιγωροῦσι τοῦ δοκεῖν. καὶ δυσέλπιδες διὰ τὴν ἐμπειρίαν· τὰ γὰρ πλείω τῶν γιγνομένων φαῦλά ἐστιν· ἀποβαίνει γὰρ τὰ πολλὰ ἐπὶ τὸ χεῖρον· καὶ ἔτι διὰ τὴν δειλίαν. καὶ ζῶσι τῇ μνήμῃ μᾶλλον ἢ τῇ ἐλπίδι· τοῦ γὰρ βίου τὸ μὲν λοιπὸν ὀλίγον τὸ δὲ παρεληλυθὸς πολύ, ἔστι δὲ ἡ μὲν ἐλπὶς τοῦ μέλλοντος ἡ δὲ μνήμη τῶν παροιχομένων. ὅπερ αἴτιον καὶ τῆς ἀδολεσχίας αὐτοῖς· διατελοῦσι γὰρ τὰ γενόμενα λέγοντες· ἀναμιμνησκόμενοι γὰρ ἥδονται. καὶ οἱ θυμοὶ ὀξεῖς μὲν ἀσθενεῖς δέ εἰσιν, καὶ ἐπιθυμίαι αἱ μὲν ἐκλελοίπασιν αἱ δὲ ἀσθενεῖς εἰσίν, ὥστε οὔτ' ἐπιθυμητικοὶ οὔτε πρακτικοὶ κατὰ τὰς ἐπιθυμίας, ἀλλὰ κατὰ τὸ κέρδος. διὸ σωφρονικοὶ φαίνονται οἱ τηλικοῦτοι· αἵ τε γὰρ ἐπιθυμίαι ἀνείκασι, καὶ δουλεύουσι τῷ κέρδει. καὶ μᾶλλον ζῶσι κατὰ λογισμὸν ἢ κατὰ τὸ ἦθος· ὁ μὲν γὰρ λογισμὸς τοῦ συμφέροντος τὸ δ' ἦθος τῆς ἀρετῆς ἐστίν. καὶ τἀδικήματα ἀδικοῦσιν εἰς κακουργίαν, οὐχ ὕβριν. ἐλεητικοὶ δὲ καὶ οἱ γέροντές εἰσιν, ἀλλ' οὐ διὰ ταὐτὰ τοῖς νέοις· οἱ μὲν γὰρ διὰ φιλανθρωπίαν, οἱ δὲ δι' ἀσθένειαν· πάντα γὰρ οἴονται ἐγγὺς εἶναι αὑτοῖς παθεῖν, τοῦτο δ' ἦν ἐλεητικόν. ὅθεν ὀδυρτικοί εἰσι, καὶ οὐκ εὐτράπελοι οὐδὲ φιλόγελῳ· ἐναντίον γὰρ τὸ ὀδυρτικὸν τῷ φιλογέλωτι.

τῶν μὲν οὖν νέων καὶ τῶν πρεσβυτέρων τὰ ἤθη τοιαῦτα· ὥστ' ἐπεὶ ἀποδέχονται πάντες τοὺς τῷ σφετέρῳ ἤθει λεγομένους λόγους καὶ τοὺς ὁμοίους, οὐκ ἄδηλον πῶς χρώμενοι τοῖς λόγοις τοιοῦτοι φανοῦνται καὶ αὐτοὶ
14 καὶ οἱ λόγοι. οἱ δὲ ἀκμάζοντες φανερὸν ὅτι μεταξὺ τούτων τὸ ἦθος ἔσονται, ἑκατέρων ἀφαιροῦντες τὴν ὑπερ-

ͻλήν, καὶ οὔτε σφόδρα θαρροῦντες (θρασύτης γὰρ τὸ 14 ιοῦτον) οὔτε λίαν φοβούμενοι, καλῶς δὲ πρὸς ἄμφω ͺοντες, οὔτε πᾶσι πιστεύοντες οὔτε πᾶσιν ἀπιστοῦντες, λλὰ κατὰ τὸ ἀληθὲς κρίνοντες μᾶλλον, καὶ οὔτε πρὸς τὸ αλὸν ζῶντες μόνον οὔτε πρὸς τὸ συμφέρον ἀλλὰ πρὸς ;μφω, καὶ οὔτε πρὸς φειδὼ οὔτε πρὸς ἀσωτίαν ἀλλὰ ιρὸς τὸ ἁρμόττον. ὁμοίως δὲ καὶ πρὸς θυμὸν καὶ πρὸς ːπιθυμίαν. καὶ σώφρονες μετ' ἀνδρίας καὶ ἀνδρεῖοι μετὰ ϳωφροσύνης. ἐν γὰρ τοῖς νέοις καὶ τοῖς γέρουσι διῄρηται ταῦτα· εἰσὶ γὰρ οἱ μὲν νέοι ἀνδρεῖοι καὶ ἀκόλαστοι, οἱ δὲ πρεσβύτεροι σώφρονες καὶ δειλοί. ὡς δὲ καθόλου εἰπεῖν, ὅσα μὲν διῄρηται ἡ νεότης καὶ τὸ γῆρας τῶν ὠφελίμων, ταῦτα ἄμφω ἔχουσιν, ὅσα δ' ὑπερβάλλουσιν ἢ ἐλλείπουσι, τούτων τὸ μέτριον καὶ τὸ ἁρμόττον. ἀκμάζει δὲ τὸ μὲν σῶμα ἀπὸ τῶν τριάκοντα ἐτῶν μέχρι τῶν πέντε καὶ τριάκοντα, ἡ δὲ ψυχὴ περὶ τὰ ἑνὸς δεῖν πεντήκοντα.

περὶ μὲν οὖν νεότητος καὶ γήρως καὶ ἀκμῆς, ποίων ἠθῶν ἕκαστόν ἐστιν, εἰρήσθω τοσαῦτα· περὶ δὲ τῶν ἀπὸ 15 τύχης γιγνομένων ἀγαθῶν, δι' ὅσα αὐτῶν καὶ τὰ ἤθη ποιά ἄττα συμβαίνει τοῖς ἀνθρώποις, λέγωμεν ἐφεξῆς. εὐγενείας μὲν οὖν ἦθός ἐστι τὸ φιλοτιμότερον εἶναι τὸν κεκτημένον αὐτήν· ἅπαντες γάρ, ὅταν ὑπάρχῃ τι, πρὸς τοῦτο σωρεύειν εἰώθασιν, ἡ δ' εὐγένεια ἐντιμότης προγόνων ἐστίν. καὶ καταφρονητικὸν καὶ τῶν ὁμοίων ἐστὶ τοῖς προγόνοις αὐτῶν, διότι πόρρω ταὐτὰ μᾶλλον ἢ ἐγγὺς γιγνόμενα ἐντιμότερα καὶ εὐαλαζόνευτα. ἔστι δὲ εὐγενὲς μὲν κατὰ τὴν τοῦ γένους ἀρετήν, γενναῖον δὲ κατὰ τὸ μὴ ἐξίστασθαι τῆς φύσεως· ὅπερ ὡς ἐπὶ τὸ πολὺ ͻὐ συμβαίνει τοῖς εὐγενέσιν, ἀλλ' εἰσὶν οἱ πολλοὶ εὐτεˌλεῖς· φορὰ γάρ τίς ἐστιν ἐν τοῖς γένεσιν ἀνδρῶν ὥσπερ ν τοῖς κατὰ τὰς χώρας γιγνομένοις, καὶ ἐνίοτε ἂν ᾖ ἀγαͺὸν τὸ γένος, ἐγγίνονται διά τινος χρόνου ἄνδρες περιτ-

15 τοί, κἄπειτα πάλιν ἀναδίδωσιν. ἐξίσταται δὲ τὰ μὲν εὐφυᾶ γένη εἰς μανικώτερα ἤθη, οἷον οἱ ἀπ' Ἀλκιβιάδου καὶ οἱ ἀπὸ Διονυσίου τοῦ προτέρου, τὰ δὲ στάσιμα εἰς ἀβελτερίαν καὶ νωθρότητα, οἷον ἀπὸ Κίμωνος καὶ Περικλέους καὶ Σωκράτους.

16 τῷ δὲ πλούτῳ ἃ ἕπεται ἤθη, ἐπιπολῆς ἐστὶν ἰδεῖν ἅπασιν· ὑβρισταὶ γὰρ καὶ ὑπερήφανοι, πάσχοντές τι ὑπὸ τῆς κτήσεως τοῦ πλούτου· ὥσπερ γὰρ ἔχοντες ἅπαντα τἀγαθὰ οὕτω διάκεινται· ὁ δὲ πλοῦτος οἷον τιμή τις τῆς ἀξίας τῶν ἄλλων, διὸ φαίνεται ὤνια ἅπαντα εἶναι αὐτοῦ. καὶ τρυφεροὶ καὶ σαλάκωνες, τρυφεροὶ μὲν διὰ τὴν τρυφὴν καὶ τὴν ἔνδειξιν τῆς εὐδαιμονίας, σαλάκωνες δὲ καὶ σόλοικοι διὰ τὸ πάντας εἰωθέναι διατρίβειν περὶ τὸ ἐρώμενον καὶ θαυμαζόμενον ὑπ' αὐτῶν, καὶ τῷ οἴεσθαι ζηλοῦν τοὺς ἄλλους ἃ καὶ αὐτοί. ἅμα δὲ καὶ εἰκότως τοῦτο πάσχουσιν· πολλοὶ γάρ εἰσιν οἱ δεόμενοι τῶν ἐχόντων. ὅθεν καὶ τὸ Σιμωνίδου εἴρηται περὶ τῶν σοφῶν καὶ πλουσίων πρὸς τὴν γυναῖκα τὴν Ἱέρωνος ἐρομένην πότερον γενέσθαι κρεῖττον πλούσιον ἢ σοφόν· πλούσιον εἰπεῖν· τοὺς σοφοὺς γὰρ ἔφη ὁρᾶν ἐπὶ ταῖς τῶν πλουσίων θύραις διατρίβοντας. καὶ τὸ οἴεσθαι ἀξίους εἶναι ἄρχειν· ἔχειν γὰρ οἴονται ὧν ἕνεκεν ἄρχειν ἄξιον. καὶ ὡς ἐν κεφαλαίῳ, ἀνοήτου εὐδαίμονος ἦθος πλούτου ἐστίν. διαφέρει δὲ τοῖς νεωστὶ κεκτημένοις καὶ τοῖς πάλαι τὰ ἤθη τῷ ἅπαντα μᾶλλον καὶ φαυλότερα τὰ κακὰ ἔχειν τοὺς νεοπλούτους· ὥσπερ γὰρ ἀπαιδευσία πλούτου ἐστὶ τὸ νεόπλουτον εἶναι. καὶ ἀδικήματα ἀδικοῦσιν οὐ κακουργικά, ἀλλὰ τὰ μὲν ὑβριστικὰ τὰ δὲ ἀκρατευτικά, οἷον εἰς αἰκίαν καὶ μοιχείαν.

17 ὁμοίως δὲ καὶ περὶ δυνάμεως σχεδὸν τὰ πλεῖστα φανερά ἐστιν ἤθη· τὰ μὲν γὰρ τὰ αὐτὰ ἔχει ἡ δύναμις τῷ πλούτῳ τὰ δὲ βελτίω· φιλοτιμότεροι γὰρ καὶ ἀνδρωδέ-

στεροί εἰσι τὰ ἤθη οἱ δυνάμενοι τῶν πλουσίων διὰ τὸ 17
ἐφίεσθαι ἔργων ὅσα ἐξουσία αὐτοῖς πράττειν διὰ τὴν δύναμιν. καὶ σπουδαστικώτεροι διὰ τὸ ἐν ἐπιμελείᾳ εἶναι, ἀναγκαζόμενοι σκοπεῖν τὰ περὶ τὴν δύναμιν. καὶ σεμνότεροι ἢ βαρύτεροι· ποιεῖ γὰρ σεμνοτέρους τὸ ἀξίωμα, διὸ μετριάζουσιν· ἔστι δὲ ἡ σεμνότης μαλακὴ καὶ εὐσχήμων βαρύτης. κἂν ἀδικῶσιν, οὐ μικραδικηταί εἰσιν ἀλλὰ μεγαλάδικοι.

ἡ δ' εὐτυχία κατὰ μόριά τε τῶν εἰρημένων ἔχει τὰ ἤθη· εἰς γὰρ ταῦτα συντείνουσιν αἱ μέγισται δοκοῦσαι εἶναι εὐτυχίαι, καὶ ἔτι εἰς εὐτεκνίαν καὶ τὰ κατὰ τὸ σῶμα ἀγαθὰ παρασκευάζει ἡ εὐτυχία πλεονεκτεῖν. ὑπερηφανώτεροι μὲν οὖν καὶ ἀλογιστότεροι διὰ τὴν εὐτυχίαν εἰσίν, ἓν δ' ἀκολουθεῖ βέλτιστον ἦθος τῇ εὐτυχίᾳ, ὅτι φιλόθεοί εἰσι καὶ ἔχουσι πρός τὸ θεῖόν πως, πιστεύοντες διὰ τὰ γιγνόμενα ἀπὸ τῆς τύχης.

περὶ μὲν οὖν τῶν καθ' ἡλικίαν καὶ τύχην ἠθῶν εἴρηται· τὰ γὰρ ἐναντία τῶν εἰρημένων ἐκ τῶν ἐναντίων φανερά ἐστιν, οἷον πένητος καὶ ἀτυχοῦς ἦθος καὶ ἀδυνά-
του. [ἐπεὶ δ' ἡ τῶν πιθανῶν λόγων χρῆσις πρὸς κρίσιν 18
ἐστί (περὶ ὧν γὰρ ἴσμεν καὶ κεκρίκαμεν, οὐδὲν ἔτι δεῖ λό- 21
γου), ἔστι δέ, ἄν τε πρὸς ἕνα τις τῷ λόγῳ χρώμενος προτρέπῃ ἢ ἀποτρέπῃ, οἷον οἱ νουθετοῦντες ποιοῦσιν ἢ πείθοντες (οὐδὲν γὰρ ἧττον κριτὴς ὁ εἷς· ὃν δεῖ πεῖσαι, οὗτός ἐστιν ὡς εἰπεῖν ἁπλῶς κριτής), ἐάν τε πρὸς ἀμφισβητοῦντα ἐάν τε πρὸς ὑπόθεσιν λέγῃ τις, ὁμοίως· τῷ γὰρ λόγῳ ἀνάγκη χρῆσθαι καὶ ἀναιρεῖν τἀναντία, πρὸς ἃ ὥσπερ ἀμφισβητοῦντα τὸν λόγον ποιεῖται. ὡσαύτως δὲ καὶ ἐν τοῖς ἐπιδεικτικοῖς· ὥσπερ γὰρ πρὸς κριτὴν τὸν θεωρὸν ὁ λόγος συνέστηκεν. ὅλως δὲ μόνος ἐστὶν ἁπλῶς κριτὴς ἐν τοῖς πολιτικοῖς ἀγῶσιν ὁ τὰ ζητούμενα κρίνων· τά τε γὰρ ἀμφισβητούμενα ζητεῖται πῶς ἔχει, καὶ περὶ

18 ὧν βουλεύονται.] περὶ δὲ τῶν κατὰ τὰς πολιτείας ἠθῶν ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον. ὥστε διωρισμένον ἂν εἴη πῶς καὶ διὰ τίνων τοὺς λόγους ἠθικοὺς ποιητέον. ἐπεὶ δὲ περὶ ἕκαστον μὲν γένος τῶν λόγων ἕτερον ἦν τὸ τέλος, περὶ ἁπάντων δ' αὐτῶν εἰλημμέναι δόξαι καὶ προτάσεις εἰσίν, ἐξ ὧν τὰς πίστεις φέρουσι καὶ συμβουλεύοντες καὶ ἐπιδεικνύμενοι καὶ ἀμφισβητοῦντες, ἔτι δ' ἐξ ὧν ἠθικοὺς τοὺς λόγους ἐνδέχεται ποιεῖν, καὶ περὶ τούτων διώρισται, λοιπὸν ἡμῖν διελθεῖν περὶ τῶν κοινῶν· πᾶσι γὰρ ἀναγκαῖον [τὸ] περὶ τοῦ δυνατοῦ καὶ ἀδυνάτου προσχρῆσθαι ἐν τοῖς λόγοις, καὶ τοὺς μὲν ὡς ἔσται τοὺς δὲ ὡς γέγονε πειρᾶσθαι δεικνύναι. ἔτι δὲ περὶ μεγέθους κοινὸν ἁπάντων ἐστὶ τῶν λόγων· χρῶνται γὰρ πάντες τῷ μειοῦν καὶ αὔξειν καὶ συμβουλεύοντες [ἢ ἀποτρέποντες] καὶ ἐπαινοῦντες ἢ ψέγοντες καὶ κατηγοροῦντες ἢ ἀπολογούμενοι. τούτων δὲ διορισθέντων περὶ τῶν ἐνθυμημάτων κοινῇ πειραθῶμεν εἰπεῖν, εἴ τι ἔχομεν, καὶ περὶ παραδειγμάτων, ὅπως τὰ λοιπὰ προσθέντες ἀποδῶμεν τὴν ἐξ ἀρχῆς πρόθεσιν. ἔστι δὲ τῶν κοινῶν τὸ μὲν αὔξειν οἰκειότατον τοῖς ἐπιδεικτικοῖς, ὥσπερ εἴρηται, τὸ δὲ γεγονὸς τοῖς δικανικοῖς (περὶ τούτων γὰρ ἡ κρίσις), τὸ δὲ δυνατὸν καὶ ἐσόμενον τοῖς συμβουλευτικοῖς.

19 πρῶτον μὲν οὖν περὶ δυνατοῦ καὶ ἀδυνάτου λέγωμεν. ἂν δὴ τοὐναντίον ᾖ δυνατὸν ἢ εἶναι ἢ γενέσθαι, καὶ τὸ ἐναντίον δόξειεν ἂν εἶναι δυνατόν, οἷον εἰ δυνατὸν ἄνθρωπον ὑγιασθῆναι, καὶ νοσῆσαι· ἡ γὰρ αὐτὴ δύναμις τῶν ἐναντίων, ᾗ ἐναντία. καὶ εἰ τὸ ὅμοιον δυνατόν, καὶ τὸ ὅμοιον. καὶ εἰ τὸ χαλεπώτερον δυνατόν, καὶ τὸ ῥᾷον. καὶ εἰ τὸ σπουδαῖον καὶ καλὸν γενέσθαι δυνατόν, καὶ ὅλως δυνατὸν γενέσθαι· χαλεπώτερον γὰρ καλὴν οἰκίαν ἢ οἰκίαν εἶναι. καὶ οὗ ἡ ἀρχὴ δύναται γενέσθαι, καὶ

τὸ τέλος· οὐδὲν γὰρ γίγνεται οὐδ' ἄρχεται γίγνεσθαι 19 τῶν ἀδυνάτων, οἷον τὸ σύμμετρον τὴν διάμετρον εἶναι οὔτ' ἂν ἄρξαιτο γίγνεσθαι οὔτε γίγνεται. καὶ οὗ τὸ τέλος, καὶ ἡ ἀρχὴ δυνατή· ἅπαντα γὰρ ἐξ ἀρχῆς γίγνεται. καὶ εἰ τὸ ὕστερον τῇ οὐσίᾳ ἢ τῇ γενέσει δυνατὸν γενέσθαι, καὶ τὸ πρότερον, οἷον εἰ ἄνδρα γενέσθαι δυνατόν, καὶ παῖδα· πρότερον γὰρ ἐκεῖνο γίγνεται· καὶ εἰ παῖδα, καὶ ἄνδρα· καὶ ἀρχὴ γὰρ ἐκείνη. καὶ ὧν ἢ ἔρως ἢ ἐπιθυμία φύσει ἐστίν· οὐδεὶς γὰρ τῶν ἀδυνάτων ἐρᾷ οὐδ' ἐπιθυμεῖ ὡς ἐπὶ τὸ πολύ. καὶ ὧν ἐπιστῆμαί εἰσι καὶ τέχναι, δυνατὰ ταῦτα καὶ ἔστιν καὶ γίγνεται. καὶ ὅσων ἡ ἀρχὴ τῆς γενέσεως ἐν τούτοις ἐστὶν ἃ ἡμεῖς ἀναγκάσαιμεν ἂν ἢ πείσαιμεν· ταῦτα δ' ἐστὶν ὧν κρείττους ἢ κύριοι ἢ φίλοι. καὶ ὧν τὰ μέρη δυνατά, καὶ τὸ ὅλον. καὶ ὧν τὸ ὅλον δυνατόν, καὶ τὰ μέρη ὡς ἐπὶ τὸ πολύ· εἰ γὰρ πρόσχισμα καὶ κεφαλὶς [καὶ χιτὼν] δύναται γενέσθαι, καὶ ὑποδήματα δυνατὸν γενέσθαι, καὶ εἰ ὑποδήματα, καὶ πρόσχισμα καὶ κεφαλὶς καὶ χιτών. καὶ εἰ τὸ γένος ὅλον τῶν δυνατῶν γενέσθαι, καὶ τὸ εἶδος, καὶ εἰ τὸ εἶδος, καὶ τὸ γένος, οἷον εἰ πλοῖον γενέσθαι δυνατόν, καὶ τριήρη, καὶ εἰ τριήρη, καὶ πλοῖον. καὶ εἰ θάτερον τῶν πρὸς ἄλληλα πεφυκότων, καὶ θάτερον, οἷον εἰ διπλάσιον, καὶ ἥμισυ, καὶ εἰ ἥμισυ, διπλάσιον. καὶ εἰ ἄνευ τέχνης καὶ παρασκευῆς δυνατὸν γίγνεσθαι, μᾶλλον διὰ τέχνης καὶ ἐπιμελείας δυνατόν· ὅθεν καὶ Ἀγάθωνι εἴρηται

καὶ μὴν τὰ μέν γε τῇ τέχνῃ πράσσει, τὰ δὲ
ἡμῖν ἀνάγκῃ καὶ τύχῃ προσγίγνεται.

καὶ εἰ τοῖς χείροσι καὶ ἥττοσι καὶ ἀφρονεστέροις δυνατόν, καὶ τοῖς ἐναντίοις μᾶλλον, ὥσπερ καὶ Ἰσοκράτης ἔφη δεινὸν εἶναι εἰ ὁ μὲν Εὔθυνος ἔμαθεν, αὐτὸς δὲ μὴ δυνήσεται εὑρεῖν. περὶ δὲ ἀδυνάτου δῆλον ὅτι ἐκ τῶν ἐναντίων τοῖς εἰρημένοις ὑπάρχει.

19 εἰ δὲ γέγονεν, ἐκ τῶνδε σκεπτέον. πρῶτον μὲν γάρ, εἰ τὸ ἧττον γίγνεσθαι πεφυκὸς γέγονεν, γεγονὸς ἂν εἴη καὶ τὸ μᾶλλον. καὶ εἰ τὸ ὕστερον εἰωθὸς γίγνεσθαι γέγονεν, καὶ τὸ πρότερον γέγονεν, οἷον εἰ ἐπιλέλησται, καὶ ἔμαθέ ποτε τοῦτο. καὶ εἰ ἐδύνατο καὶ ἐβούλετο, πέπραχεν· πάντες γάρ, ὅταν δυνάμενοι βουληθῶσι, πράττουσιν· ἐμποδὼν γὰρ οὐδέν. ἔτι εἰ [ἐβούλετο καὶ] μηδὲν τῶν ἔξω ἐκώλυεν [καὶ εἰ δυνατὸν] καὶ ὠργίζετο, καὶ εἰ ἐδύνατο καὶ ἐπεθύμει· ὡς γὰρ ἐπὶ τὸ πολύ, ὧν ὀρέγονται, ἂν δύνωνται, ποιοῦσιν, οἱ μὲν φαῦλοι δι' ἀκρασίαν, οἱ δ' ἐπιεικεῖς ὅτι τῶν ἐπιεικῶν ἐπιθυμοῦσιν. καὶ εἰ ἔμελλε [γίγνεσθαι, καὶ] ποιεῖν· εἰκὸς γὰρ τὸν μέλλοντα καὶ ποιῆσαι. καὶ εἰ γέγονεν ὅσα ἢ πέφυκε πρὸ ἐκείνου ἢ ἕνεκα ἐκείνου, οἷον εἰ ἤστραψε, καὶ ἐβρόντησεν, καὶ εἰ ἐπείρασε, καὶ ἔπραξεν. καὶ εἰ ὅσα ὕστερον πέφυκε γίγνεσθαι ἢ οὗ ἕνεκα γίγνεται γέγονεν, καὶ τὸ πρότερον καὶ τὸ τούτου ἕνεκα γέγονεν, οἷον εἰ ἐβρόντησε, καὶ ἤστραψεν, καὶ εἰ ἔπραξε, ἐπείρασεν. ἔστι δὲ τούτων ἁπάντων τὰ μὲν ἐξ ἀνάγκης τὰ δ' ὡς ἐπὶ τὸ πολὺ οὕτως ἔχοντα. περὶ δὲ τοῦ μὴ γεγονέναι φανερὸν ὅτι ἐκ τῶν ἐναντίων τοῖς εἰρημένοις.

καὶ περὶ τοῦ ἐσομένου ἐκ τῶν αὐτῶν δῆλον· τό τε γὰρ ἐν δυνάμει καὶ βουλήσει ὂν ἔσται, καὶ τὰ ἐν ἐπιθυμίᾳ καὶ ὀργῇ [καὶ λογισμῷ] μετὰ δυνάμεως ὄντα, ταῦτα καὶ ἐν ὁρμῇ τοῦ ποιεῖν ἢ μελλήσει, ἔσται· ὡς γὰρ ἐπὶ τὸ πολὺ γίγνεται μᾶλλον τὰ μέλλοντα ἢ τὰ μὴ μέλλοντα. καὶ εἰ προγέγονεν ὅσα πρότερον πεφύκει γίγνεσθαι, οἷον εἰ συννεφεῖ, εἰκὸς ὗσαι. καὶ εἰ τὸ ἕνεκα τούτου γέγονεν, καὶ τοῦτο εἰκὸς γενέσθαι, οἷον εἰ θεμέλιος, καὶ οἰκία.

περὶ δὲ μεγέθους καὶ μικρότητος τῶν πραγμάτων καὶ μείζονός τε καὶ ἐλάττονος καὶ ὅλως μεγάλων καὶ μικρῶν ἐκ τῶν προειρημένων ἡμῖν ἐστὶ φανερόν· εἴρηται γὰρ ἐν

τοῖς συμβουλευτικοῖς περί τε μεγέθους ἀγαθῶν καὶ περὶ 19
τοῦ μείζονος ἁπλῶς καὶ ἐλάττονος. ὥστ' ἐπεὶ καθ' ἕκαστον τῶν λόγων τὸ προκείμενον τέλος ἀγαθόν ἐστιν, οἷον τὸ συμφέρον καὶ τὸ καλὸν καὶ τὸ δίκαιον, φανερὸν ὅτι δι' ἐκείνων ληπτέον τὰς αὐξήσεις πᾶσιν. τὸ δὲ παρὰ ταῦτα ἔτι ζητεῖν περὶ μεγέθους ἁπλῶς καὶ ὑπεροχῆς κενολογεῖν ἐστίν· κυριώτερα γάρ ἐστι πρὸς τὴν χρείαν τῶν καθόλου τὰ καθ' ἕκαστα τῶν πραγμάτων.

περὶ μὲν οὖν δυνατοῦ καὶ ἀδυνάτου, καὶ πότερον γέγονεν ἢ οὐ γέγονεν καὶ ἔσται ἢ οὐκ ἔσται, ἔτι δὲ περὶ μεγέθους καὶ μικρότητος τῶν πραγμάτων εἰρήσθω ταῦτα·
λοιπὸν δὲ περὶ τῶν κοινῶν πίστεων ἅπασιν εἰπεῖν, ἐπεί- 20
περ εἴρηται περὶ τῶν ἰδίων. εἰσὶ δ' αἱ κοιναὶ πίστεις δύο τῷ γένει, παράδειγμα καὶ ἐνθύμημα· ἡ γὰρ γνώμη μέρος ἐνθυμήματός ἐστιν. πρῶτον μὲν οὖν περὶ παραδείγματος λέγωμεν· ὅμοιον γὰρ ἐπαγωγῇ τὸ παράδειγμα, ἡ δ' ἐπαγωγὴ ἀρχή.

παραδειγμάτων δ' εἴδη δύο· ἓν μὲν γάρ ἐστι παραδείγματος εἶδος τὸ λέγειν πράγματα προγεγενημένα, ἓν δὲ τὸ αὐτὸν ποιεῖν. τούτου δ' ἓν μὲν παραβολὴ ἓν δὲ λόγοι, οἷον οἱ Αἰσώπειοι καὶ Λιβυκοί. ἔστι δὲ τὸ μὲν πράγματα λέγειν τοιόνδε τι, ὥσπερ εἴ τις λέγοι ὅτι δεῖ πρὸς βασιλέα παρασκευάζεσθαι καὶ μὴ ἐᾶν Αἴγυπτον χειρώσασθαι· καὶ γὰρ πρότερον Δαρεῖος οὐ πρότερον διέβη πρὶν Αἴγυπτον ἔλαβεν, λαβὼν δὲ διέβη, καὶ πάλιν Ξέρξης οὐ πρότερον ἐπεχείρησε πρὶν ἔλαβεν, λαβὼν δὲ διέβη· ὥστε καὶ οὗτος ἐὰν λάβῃ, διαβήσεται· διὸ οὐκ ἐπιτρεπτέον. παραβολὴ δὲ τὰ Σωκρατικά, οἷον εἴ τις λέγοι ὅτι οὐ δεῖ κληρωτοὺς ἄρχειν· ὅμοιον γὰρ ὥσπερ ἂν εἴ τις τοὺς ἀθλητὰς κληροίη μὴ οἳ δύνανται ἀγωνίζεσθαι ἀλλ' οἷ ἂν λάχωσιν, ἢ τῶν πλωτήρων ὅν τινα δεῖ κυβερνᾶν κληρώσειεν, ὡς δέον τὸν λαχόντα ἀλλὰ μὴ τὸν ἐπιστάμενον.

λόγος δέ, οἷος ὁ Στησιχόρου περὶ Φαλάριδος καὶ Αἰσώπου ὑπὲρ τοῦ δημαγωγοῦ. Στησίχορος μὲν γάρ, ἑλομένων στρατηγὸν αὐτοκράτορα τῶν Ἱμεραίων Φάλαριν καὶ μελλόντων φυλακὴν διδόναι τοῦ σώματος, τἆλλα διαλεχθεὶς εἶπεν αὐτοῖς λόγον ὡς ἵππος κατεῖχε λειμῶνα μόνος, ἐλθόντος δ' ἐλάφου καὶ διαφθείροντος τὴν νομὴν βουλόμενος τιμωρήσασθαι τὸν ἔλαφον ἠρώτα [τινα] ἄνθρωπον εἰ δύναιτ' ἂν μετ' αὐτοῦ τιμωρήσασθαι τὸν ἔλαφον, ὁ δ' ἔφησεν, ἐὰν λάβῃ χαλινὸν καὶ αὐτὸς ἀναβῇ ἐπ' αὐτὸν ἔχων ἀκόντια· συνομολογήσαντος δὲ καὶ ἀναβάντος, ἀντὶ τοῦ τιμωρήσασθαι αὐτὸς ἐδούλευσεν τῷ ἀνθρώπῳ. „οὕτω δὲ καὶ ὑμεῖς“ ἔφη „ὁρᾶτε μὴ βουλόμενοι τοὺς πολεμίους τιμωρήσασθαι ταὐτὸ πάθητε τῷ ἵππῳ· τὸν μὲν γὰρ χαλινὸν ἔχετε ἤδη, ἑλόμενοι στρατηγὸν αὐτοκράτορα· ἐὰν δὲ φυλακὴν δῶτε καὶ ἀναβῆναι ἐάσητε, δουλεύσετε [ἤδη] Φαλάριδι.“ Αἴσωπος δὲ ἐν Σάμῳ δημηγορῶν κρινομένου δημαγωγοῦ περὶ θανάτου ἔφη ἀλώπεκα διαβαίνουσαν ποταμὸν ἀπωσθῆναι εἰς φάραγγα, οὐ δυναμένην δ' ἐκβῆναι πολὺν χρόνον κακοπαθεῖν, καὶ κυνοραϊστὰς πολλοὺς ἔχεσθαι αὐτῆς· ἐχῖνον δὲ πλανώμενον, ὡς εἶδεν αὐτήν, κατοικτείραντα ἐρωτᾶν εἰ ἀφέλοι αὐτῆς τοὺς κυνοραϊστάς· τὴν δὲ οὐκ ἐᾶν· ἐρομένου δὲ διὰ τί, ὅτι οὗτοι μὲν φάναι ἤδη μου πλήρεις εἰσὶ καὶ ὀλίγον ἕλκουσιν αἷμα· ἐὰν δὲ τούτους ἀφέλῃ, ἕτεροι ἐλθόντες πεινῶντες ἐκπιοῦνταί μου τὸ λοιπὸν αἷμα. „ἀτὰρ καὶ ὑμᾶς“ [ἔφη, „ὦ] ἄνδρες Σάμιοι, οὗτος μὲν οὐδὲν ἔτι βλάψει (πλούσιος γάρ ἐστιν)· ἐὰν δὲ ἀποκτείνητε, ἕτεροι ἥξουσι πένητες, οἳ ὑμῖν ἀναλώσουσι τὰ κοινὰ κλέπτοντες.“ εἰσὶ δ' οἱ λόγοι δημηγορικοί, καὶ ἔχουσιν ἀγαθὸν τοῦτο, ὅτι πράγματα μὲν εὑρεῖν ὅμοια γεγενημένα χαλεπόν, λόγους δὲ ῥᾷον· ποιῆσαι γὰρ δεῖ ὥσπερ καὶ παραβολάς, ἄν τις δύνηται τὸ ὅμοιον ὁρᾶν, ὅπερ ῥᾷόν ἐστιν

ἐκ φιλοσοφίας. ῥᾷον μὲν οὖν πορίσασθαι τὰ διὰ τῶν 20 λόγων, χρησιμώτερα δὲ πρὸς τὸ βουλεύσασθαι τὰ διὰ τῶν πραγμάτων· ὅμοια γὰρ ὡς ἐπὶ τὸ πολὺ τὰ μέλλοντα τοῖς γεγονόσιν.

δεῖ δὲ χρῆσθαι τοῖς παραδείγμασι μὴ ἔχοντα μὲν ἐνθυμήματα ὡς ἀποδείξεσιν (ἡ γὰρ πίστις διὰ τούτων), ἔχοντα δὲ ὡς μαρτυρίοις, ἐπιλόγῳ χρώμενον τοῖς ἐνθυμήμασιν· προτιθέμενα μὲν γὰρ ἔοικεν ἐπαγωγῇ, τῆς δὲ ῥητορικῆς οὐκ οἰκεῖον ἐπαγωγὴ πλὴν ἐν ὀλίγοις, ἐπιλεγόμενα δὲ μαρτυρίοις, ὁ δὲ μάρτυς πανταχοῦ πιθανός. διὸ καὶ προτιθέντι μὲν ἀνάγκη πολλὰ λέγειν, ἐπιλέγοντι δὲ καὶ ἓν ἱκανόν· μάρτυς γὰρ χρηστὸς καὶ εἷς χρήσιμος.

πόσα μὲν οὖν εἴδη παραδειγμάτων, καὶ πῶς αὐτοῖς καὶ πότε χρηστέον, εἴρηται· περὶ δὲ γνωμολογίας, ῥη- 21 θέντος τί ἐστι γνώμη, μάλιστ' ἂν γένοιτο φανερὸν περὶ ποίων τε καὶ πότε καὶ τίσιν ἁρμόττει χρῆσθαι τῷ γνωμολογεῖν ἐν τοῖς λόγοις. ἔστω δὴ γνώμη ἀπόφανσις, οὐ μέντοι [οὔτε] περὶ τῶν καθ' ἕκαστον, οἷον ποῖός τις Ἰφικράτης, ἀλλὰ καθόλου, καὶ οὐ περὶ πάντων, οἷον ὅτι τὸ εὐθὺ τῷ καμπύλῳ ἐναντίον, ἀλλὰ περὶ ὅσων αἱ πράξεις εἰσί, καὶ αἱρετὰ ἢ φευκτά ἐστι πρὸς τὸ πράττειν. ὥστ' ἐπεὶ τὰ ἐνθυμήματα ὁ περὶ τοιούτων συλλογισμός ἐστι σχεδόν, τά τε συμπεράσματα τῶν ἐνθυμημάτων καὶ αἱ ἀρχαὶ ἀφαιρεθέντος τοῦ συλλογισμοῦ γνῶμαί εἰσιν, οἷον

χρὴ δ' οὔ ποθ', ὅστις ἀρτίφρων πέφυκ' ἀνήρ,
παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς.

τοῦτο μὲν οὖν γνώμη· προστεθείσης δὲ τῆς αἰτίας καὶ τοῦ διὰ τί, ἐνθύμημά ἐστι τὸ ἅπαν, οἷον

χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας,
φθόνον παρ' ἀστῶν ἀλφάνουσι δυσμενῆ.

καὶ τὸ

οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.

21 καὶ τὸ

οὐκ ἔστιν ἀνδρῶν ὅστις ἔστ' ἐλεύθερος

γνώμη, πρὸς δὲ τῷ ἐχομένῳ ἐνθύμημα·

ἢ χρημάτων γὰρ δοῦλός ἐστιν ἢ τύχης.

εἰ δή ἐστι γνώμη τὸ εἰρημένον, ἀνάγκη τέτταρα εἴδη εἶναι γνώμης· ἢ γὰρ μετ' ἐπιλόγου ἔσται ἢ ἄνευ ἐπιλόγου. ἀποδείξεως μὲν οὖν δεόμεναί εἰσιν ὅσαι παράδοξόν τι λέγουσιν ἢ ἀμφισβητούμενον· ὅσαι δὲ μηδὲν παράδοξον, ἄνευ ἐπιλόγου. τούτων δ' ἀνάγκη τὰς μὲν διὰ τὸ προεγνῶσθαι μηδὲν δεῖσθαι ἐπιλόγου, οἷον

ἀνδρὶ δ' ὑγιαίνειν ἄριστόν ἐστιν, ὥς γ' ἡμῖν δοκεῖ·

φαίνεται μὲν γὰρ τοῖς πολλοῖς οὕτω· τὰς δ' ἅμα λεγομένας δήλας εἶναι ἐπιβλέψασιν, οἷον

οὐδεὶς ἐραστὴς ὅστις οὐκ ἀεὶ φιλεῖ.

τῶν δὲ μετ' ἐπιλόγου αἱ μὲν ἐνθυμήματος μέρος εἰσίν, ὥσπερ

χρὴ δ' οὔ ποθ' ὅστις ἀρτίφρων,

αἱ δ' ἐνθυμηματικαὶ μέν, οὐκ ἐνθυμήματος δὲ μέρος· αἵπερ καὶ μάλιστ' εὐδοκιμοῦσιν. εἰσὶ δ' αὗται ἐν ὅσαις ἐμφαίνεται τοῦ λεγομένου τὸ αἴτιον, οἷον ἐν τῷ

ἀθάνατον ὀργὴν μὴ φύλασσε θνητὸς ὤν·

τὸ μὲν γὰρ φάναι μὴ δεῖν φυλάττειν γνώμη, τὸ δὲ προσκείμενον „θνητὸν ὄντα" τὸ διὰ τί· ὁμοίως δὲ καὶ

θνατὰ χρὴ τὸν θνατόν, οὐκ ἀθάνατα τὸν θνατὸν φρονεῖν.

φανερὸν οὖν ἐκ τῶν εἰρημένων πόσα τε εἴδη γνώμης, καὶ περὶ ποῖον ἕκαστον ἁρμόττει· περὶ μὲν γὰρ τῶν ἀμφισβητουμένων ἢ παραδόξων μὴ ἄνευ ἐπιλόγου, ἀλλ' ἢ προθέντα τὸν ἐπίλογον γνώμῃ χρῆσθαι τῷ συμπεράσματι, οἷον εἴ τις εἴποι „ἐγὼ μὲν οὖν, ἐπειδὴ οὔτε φθονεῖσθαι δεῖ οὔτ' ἀργὸν εἶναι, οὔ φημι χρῆναι παιδεύεσθαι," ἢ τοῦτο προειπόντα ἐπειπεῖν τὰ ἔμπροσθεν

ερὶ δὲ τῶν μὴ παραδόξων ἀδήλων δέ, προστιθέντα τὸ 21
ιότι στρογγυλώτατα. ἁρμόττει δ' ἐν τοῖς τοιούτοις καὶ ὰ Λακωνικὰ ἀποφθέγματα καὶ τὰ αἰνιγματώδη, οἷον εἴ ς λέγει ὅπερ Στησίχορος ἐν Λοκροῖς εἶπεν, ὅτι οὐ δεῖ βριστὰς εἶναι, ὅπως μὴ οἱ τέττιγες χαμόθεν ᾄδωσιν. ρμόττει δὲ γνωμολογεῖν ἡλικίᾳ μὲν πρεσβυτέρῳ, περὶ ὲ τούτων ὧν ἔμπειρός τις ἐστίν, ὡς τὸ μὲν μὴ τηλικοῦ-ον ὄντα γνωμολογεῖν ἀπρεπὲς ὥσπερ καὶ τὸ μυθολο-εῖν, περὶ δ' ὧν ἄπειρος, ἠλίθιον καὶ ἀπαίδευτον. ση-εῖον δ' ἱκανόν· οἱ γὰρ ἀγροῖκοι μάλιστα γνωμοτύποι ἰσὶ καὶ ῥᾳδίως ἀποφαίνονται. καθόλου δὲ μὴ ὄντος κα-θόλου εἰπεῖν μάλιστα ἁρμόττει ἐν σχετλιασμῷ καὶ δει-νώσει, καὶ ἐν τούτοις ἢ ἀρχόμενον ἢ ἀποδείξαντα. χρῆ-σθαι δὲ δεῖ καὶ ταῖς τεθρυλημέναις καὶ κοιναῖς γνώμαις, ἐὰν ὦσι χρήσιμοι· διὰ τὸ γὰρ εἶναι κοιναί, ὡς ὁμολο-γούντων πάντων, ὀρθῶς ἔχειν δοκοῦσιν, οἷον παρακα-λοῦντι ἐπὶ τὸ κινδυνεύειν μὴ θυσαμένους

εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης,

καὶ ἐπὶ τὸ ἥττους ὄντας

ξυνὸς Ἐνυάλιος,

καὶ ἐπὶ τὸ ἀναιρεῖν τῶν ἐχθρῶν τὰ τέκνα καὶ μηδὲν ἀδι-κοῦντα

νήπιος ὃς πατέρα κτείνας παῖδας καταλείπει.

ἔτι ἔνιαι τῶν παροιμιῶν καὶ γνῶμαί εἰσιν, οἷον παροιμία „Ἀττικὸς πάροικος." δεῖ δὲ [τὰς γνώμας] λέγειν καὶ παρὰ τὰ δεδημοσιευμένα (λέγω δὲ δεδημοσιευμένα οἷον τὸ γνῶθι σαυτόν καὶ μηδὲν ἄγαν), ὅταν ἢ τὸ ἦθος φαίνε-σθαι μέλλῃ βέλτιον, ἢ παθητικῶς εἰρημένη ᾖ. ἔστι δὲ πα-θητικὴ μέν, οἷον εἴ τις ὀργιζόμενος φαίη ψεῦδος εἶναι ὡς δεῖ γιγνώσκειν αὑτόν· οὗτος γοῦν εἰ ἐγίγνωσκεν ἑαυτόν, οὐκ ἄν ποτε στρατηγεῖν ἠξίωσεν. τὸ δὲ ἦθος βέλτιον, ὅτι οὐ δεῖ, ὥσπερ φασί, φιλεῖν ὡς μισήσοντας ἀλλὰ μᾶλλον

23 εἴπερ γὰρ οὐδὲ τοῖς κακῶς δεδρακόσιν
ἀκουσίως δίκαιον εἰς ὀργὴν πεσεῖν,
οὐδ' ἂν ἀναγκασθείς τις εὖ δράσῃ τινά,
προσῆκον εἶναι τῷδ' ὀφείλεσθαι χάριν.
ἀλλ' εἴπερ ἔστιν ἐν βροτοῖς ψευδηγορεῖν
πιθανά, νομίζειν χρή σε καὶ τοὐναντίον,
ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς.

ἄλλος ἐκ τῶν ὁμοίων πτώσεων· ὁμοίως γὰρ δεῖ ὑπάρχειν ἢ μὴ ὑπάρχειν, οἷον ὅτι τὸ δίκαιον οὐ πᾶν ἀγαθόν· καὶ γὰρ ἂν τὸ δικαίως· νῦν δ' οὐχ αἱρετὸν τὸ δικαίως ἀποθανεῖν. ἄλλος ἐκ τῶν πρὸς ἄλληλα· εἰ γὰρ θατέρῳ ὑπάρχει τὸ καλῶς ἢ δικαίως ποιῆσαι, θατέρῳ τὸ πεπονθέναι, καὶ εἰ κελεῦσαι, καὶ τὸ πεποιηκέναι, οἷον ὡς ὁ τελώνης Διομέδων περὶ τῶν τελῶν. „εἰ γὰρ μηδ' ὑμῖν αἰσχρὸν τὸ πωλεῖν, οὐδ' ἡμῖν τὸ ὠνεῖσθαι.“ καὶ εἰ τῷ πεπονθότι τὸ καλῶς ἢ δικαίως ὑπάρχει, καὶ τῷ ποιήσαντι. ἔστι δὲ τοῦτο παραλογίσασθαι· εἰ γὰρ δικαίως ἀπέθανε, δικαίως πέπονθεν, ἀλλ' ἴσως οὐχ ὑπὸ σοῦ. διὸ δεῖ σκοπεῖν χωρὶς εἰ ἄξιος ὁ παθὼν παθεῖν καὶ ὁ ποιήσας ποιῆσαι, εἶτα χρῆσθαι ὁποτέρως ἁρμόττει· ἐνίοτε γὰρ διαφωνεῖ τὸ τοιοῦτον καὶ οὐδὲν κωλύει, ὥσπερ ἐν τῷ Ἀλκμαίωνι τῷ Θεοδέκτου

μητέρα δὲ τὴν σὴν οὔτις ἐστύγει βροτῶν;

φησὶ δ' ἀποκρινόμενος

ἀλλὰ διαλαβόντα χρὴ σκοπεῖν.

ἐρομένης δὲ τῆς Ἀλφεσιβοίας πῶς, ὑπολαβών φησι

τὴν μὲν θανεῖν ἔκριναν, ἐμὲ δὲ μὴ κτανεῖν.

καὶ οἷον ἡ περὶ Δημοσθένους δίκη καὶ τῶν ἀποκτεινάντων Νικάνορα· ἐπεὶ γὰρ δικαίως ἐκρίθησαν ἀποκτεῖναι, δικαίως ἔδοξεν ἀποθανεῖν. καὶ περὶ τοῦ Θήβησιν ἀποθανόντος, περὶ οὗ κελεύει κρίνεσθαι εἰ δίκαιος ἦν ἀποθανεῖν, ὡς οὐκ ἄδικον ὂν τὸ ἀποκτεῖναι τὸν δικαίως ἀπο-

θανόντα. ἄλλος ἐκ τοῦ μᾶλλον καὶ ἧττον, οἷον „εἰ 23 μηδ' οἱ θεοὶ πάντα ἴσασι, σχολῇ οἵ γε ἄνθρωποι·“ τοῦτο γάρ ἐστιν, εἰ ᾧ μᾶλλον ἂν ὑπάρχοι μὴ ὑπάρχει, δῆλον ὅτι οὐδ' ᾧ ἧττον. τὸ δ' ὅτι τοὺς πλησίον τύπτει ὅς γε καὶ τὸν πατέρα [τύπτει ἐκ τοῦ, εἰ τὸ ἧττον ὑπάρχει, καὶ τὸ μᾶλλον ὑπάρχει, καθ' ὁπότερον ἂν δέῃ δεῖξαι] τύπτει ὅτι εἰ τὸ ἧττον ὑπάρχει, καὶ τὸ μᾶλλον ὑπάρχει· τοὺς γὰρ πατέρας ἧττον τύπτουσιν ἢ τοὺς πλησίον. ἢ δὴ οὕτως ἢ εἰ ᾧ μᾶλλον ὑπάρχει, μὴ ὑπάρχει, ἢ ᾧ ἧττον, εἰ ὑπάρχει, ὁπότερον δεῖ δεῖξαι, εἴθ' ὅτι ὑπάρχει εἴθ' ὅτι οὔ. ἔτι εἰ μήτε μᾶλλον μήτε ἧττον· ὅθεν εἴρηται

καὶ σὸς μὲν οἰκτρὸς παῖδας ἀπολέσας πατήρ·
Οἰνεὺς δ' ἄρ' οὐχὶ [τὸν Ἑλλάδος] κλεινὸν ἀπολέσας γόνον;

καὶ ὅτι, εἰ μηδὲ Θησεὺς ἠδίκησεν, οὐδ' Ἀλέξανδρος, καὶ εἰ μὴ οἱ Τυνδαρίδαι, οὐδ' Ἀλέξανδρος, καὶ εἰ Πάτροκλον Ἕκτωρ, καὶ Ἀχιλλέα Ἀλέξανδρος. καὶ εἰ μηδ' ἄλλοι τεχνῖται φαῦλοι, οὐδ' οἱ φιλόσοφοι. καὶ εἰ μηδ' οἱ στρατηγοὶ φαῦλοι, ὅτι θανατοῦνται πολλάκις, οὐδ' οἱ σοφισταί. καὶ ὅτι „εἰ δεῖ τὸν ἰδιώτην τῆς ὑμετέρας δόξης ἐπιμελεῖσθαι, καὶ ὑμᾶς τῆς τῶν Ἑλλήνων.“ ἄλλος ἐκ τοῦ τὸν χρόνον σκοπεῖν, οἷον ὡς Ἰφικράτης ἐν τῇ πρὸς Ἁρμόδιον, ὅτι „εἰ πρὶν ποιῆσαι ἠξίουν τῆς εἰκόνος τυχεῖν ἐὰν ποιήσω, ἔδοτε ἄν· ποιήσαντι δ' ἄρ' οὐ δώσετε; μὴ τοίνυν μέλλοντες μὲν ὑπισχνεῖσθε, παθόντες δ' ἀφαιρεῖσθε.“ καὶ πάλιν πρὸς τὸ Θηβαίους διεῖναι Φίλιππον εἰς τὴν Ἀττικήν, ὅτι „εἰ πρὶν βοηθῆσαι εἰς Φωκεῖς ἠξίου, ὑπέσχοντο ἄν· ἄτοπον οὖν εἰ διότι προεῖτο καὶ ἐπίστευσε μὴ διήσουσιν.“ ἄλλος ἐκ τῶν εἰρημένων καθ' αὑτοὺς πρὸς τὸν εἰπόντα· διαφέρει δὲ ὁ τρόπος, οἷον ἐν τῷ Τεύκρῳ· ᾧ ἐχρήσατο Ἰφικράτης πρὸς Ἀριστοφῶντα, ἐπερόμενος εἰ προδοίη ἂν τὰς ναῦς ἐπὶ χρήμασιν· οὐ φάσκον-

23 τος δὲ „εἶτα“ εἶπεν „σὺ μὲν ὢν Ἀριστοφῶν οὐκ ἂν προδοίης, ἐγὼ δ' ὢν Ἰφικράτης;“ δεῖ δ' ὑπάρχειν μᾶλλον ἂν δοκοῦντα ἀδικῆσαι ἐκεῖνον· εἰ δὲ μή, γελοῖον ἂν φανείη, εἰ πρὸς Ἀριστείδην κατηγοροῦντα τοῦτό τις ἂν εἴπειεν, ἀλλὰ πρὸς ἀπιστίαν τοῦ κατηγόρου· ὅλως γὰρ βούλεται ὁ κατηγορῶν βελτίων εἶναι τοῦ φεύγοντος· τοῦτ' οὖν ἐξελέγχειν ἀεί. καθόλου δ' ἄτοπός ἐστιν, ὅταν τις ἐπιτιμᾷ ἄλλοις ἃ αὐτὸς ποιεῖ ἢ ποιήσειεν ἄν, ἢ προτρέπῃ ποιεῖν ἃ αὐτὸς μὴ ποιεῖ μηδὲ ποιήσειεν ἄν. ἄλλος ἐξ ὁρισμοῦ, οἷον τί δαιμόνιόν ἐστιν; ἆρ' οὐ θεὸς ἢ θεοῦ ἔργον; καίτοι ὅστις οἴεται θεοῦ ἔργον εἶναι, τοῦτον ἀνάγκη οἴεσθαι καὶ θεοὺς εἶναι. καὶ ὡς Ἰφικράτης, ὅτι γενναιότατος ὁ βέλτιστος· καὶ γὰρ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι οὐδὲν πρότερον ὑπῆρχε γενναῖον πρὶν γενναῖόν τι πρᾶξαι. καὶ ὅτι συγγενέστερος αὐτός· „τὰ γοῦν ἔργα συγγενέστερά ἐστι τὰ ἐμὰ τοῖς Ἁρμοδίου καὶ Ἀριστογείτονος ἢ τὰ σά.“ καὶ ὡς ἐν τῷ Ἀλεξάνδρῳ, ὅτι πάντες ἂν ὁμολογήσειαν τοὺς μὴ κοσμίους οὐχ ἑνὸς σώματος ἀγαπᾶν ἀπόλαυσιν. καὶ δι' ὃ Σωκράτης οὐκ ἔφη βαδίζειν ὡς Ἀρχέλαον· ὕβριν γὰρ ἔφη εἶναι τὸ μὴ δύνασθαι ἀμύνασθαι ὁμοίως καὶ εὖ παθόντας ὥσπερ καὶ κακῶς. πάντες γὰρ οὗτοι ὁρισάμενοι καὶ λαβόντες τὸ τί ἐστι, συλλογίζονται περὶ ὧν λέγουσιν. ἄλλος ἐκ τοῦ ποσαχῶς, οἷον ἐν τοῖς τοπικοῖς περὶ τοῦ ὀρθῶς. ἄλλος ἐκ διαιρέσεως, οἷον εἰ πάντες τριῶν ἕνεκεν ἀδικοῦσιν· ἢ τοῦδε γὰρ ἕνεκα ἢ τοῦδε ἢ τοῦδε· καὶ διὰ μὲν τὰ δύο ἀδύνατον, διὰ δὲ τὸ τρίτον οὐδ' αὐτοί φασιν. ἄλλος ἐξ ἐπαγωγῆς, οἷον ἐκ τῆς Πεπαρηθίας, ὅτι περὶ τῶν τέκνων αἱ γυναῖκες πανταχοῦ διορίζουσι τἀληθές· τοῦτο μὲν γὰρ Ἀθήνησι Μαντίᾳ τῷ ῥήτορι ἀμφισβητοῦντι πρὸς τὸν υἱὸν ἀπέφηνεν ἡ μήτηρ, τοῦτο δὲ Θήβησι Ἰσμηνίου καὶ Στίλβωνος ἀμφισβητούντων ἡ Δωδωνὶς

ἀπέδειξεν Ἰσμηνίου τὸν υἱόν, καὶ διὰ τοῦτο Θετταλίσκον 23 Ἰσμηνίου ἐνόμιζον. καὶ πάλιν ἐκ τοῦ νόμου τοῦ Θεοδέκτου, εἰ τοῖς κακῶς ἐπιμεληθεῖσι τῶν ἀλλοτρίων ἵππων οὐ παραδιδόασι τοὺς οἰκείους, οὐδὲ τοῖς ἀνατρέψασι τὰς ἀλλοτρίας ναῦς· οὐκοῦν εἰ ὁμοίως ἐφ' ἁπάντων, καὶ τοῖς κακῶς φυλάξασι τὴν ἀλλοτρίαν οὐ χρηστέον ἐστὶν εἰς τὴν οἰκείαν σωτηρίαν. καὶ ὡς Ἀλκιδάμας, ὅτι πάντες τοὺς σοφοὺς τιμῶσιν· Πάριοι γοῦν Ἀρχίλοχον καίπερ βλάσφημον ὄντα τετιμήκασι, καὶ Χῖοι Ὅμηρον οὐκ ὄντα πολίτην, καὶ Μυτιληναῖοι Σαπφὼ καίπερ γυναῖκα οὖσαν, καὶ Λακεδαιμόνιοι Χίλωνα καὶ τῶν γερόντων ἐποίησαν ἥκιστα φιλόλογοι ὄντες, καὶ Ἰταλιῶται Πυθαγόραν, καὶ Λαμψακηνοὶ Ἀναξαγόραν ξένον ὄντα ἔθαψαν καὶ τιμῶσιν ἔτι καὶ νῦν. ὅτι Ἀθηναῖοι τοῖς Σόλωνος νόμοις χρησάμενοι εὐδαιμόνησαν καὶ Λακεδαιμόνιοι τοῖς Λυκούργου, καὶ Θήβησιν ἅμα οἱ προστάται φιλόσοφοι ἐγένοντο καὶ εὐδαιμόνησεν ἡ πόλις. ἄλλος ἐκ κρίσεως περὶ τοῦ αὐτοῦ ἢ ὁμοίου ἢ ἐναντίου, μάλιστα μὲν εἰ πάντες καὶ ἀεί, εἰ δὲ μή, ἀλλ' οἵ γε πλεῖστοι, ἢ σοφοί, ἢ πάντες ἢ οἱ πλεῖστοι, ἢ ἀγαθοί. καὶ εἰ αὐτοὶ οἱ κρίνοντες, ἢ οὓς ἀποδέχονται οἱ κρίνοντες, ἢ οἷς μὴ οἷόν τε ἐναντίον κρίνειν, οἷον τοῖς κυρίοις, ἢ οἷς μὴ καλὸν τὰ ἐναντία κρίνειν, οἷον θεοῖς ἢ πατρὶ ἢ διδασκάλοις, ὥσπερ τὸ εἰς Μιξιδημίδην εἶπεν Αὐτοκλῆς, εἰ ταῖς μὲν σεμναῖς θεαῖς καλῶς εἶχεν ἐν Ἀρείῳ πάγῳ δοῦναι τὰ δίκαια, Μιξιδημίδῃ δ' οὔ. ἢ ὥσπερ Σαπφώ, ὅτι τὸ ἀποθνήσκειν κακόν· οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν· ἀπέθνησκον γὰρ ἄν. ἢ ὥσπερ Ἀρίστιππος πρὸς Πλάτωνα ἐπαγγελτικώτερόν τι εἰπόντα, ὡς ᾤετο· „ἀλλὰ μὴν ὅ γ' ἑταῖρος ἡμῶν“ ἔφη „οὐθὲν τοιοῦτον,“ λέγων τὸν Σωκράτην. καὶ Ἡγήσιππος ἐν Δελφοῖς ἠρώτα τὸν θεόν, πρότερον κεχρημένος Ὀλυμπίασιν, εἰ αὐτῷ ταὐτὰ δοκεῖ ἅπερ τῷ πατρί, ὡς αἰσχρὸν

23 ὃν τἀναντία εἰπεῖν. καὶ περὶ τῆς Ἑλένης ὡς Ἰσοκράτης ἔγραψεν ὅτι σπουδαία, εἴπερ Θησεὺς ἔκρινεν· καὶ περὶ Ἀλεξάνδρου, ὃν αἱ θεαὶ προέκριναν, καὶ περὶ Εὐαγόρου, ὅτι σπουδαῖος, ὥσπερ Ἰσοκράτης φησίν· Κόνων γοῦν δυστυχήσας, πάντας τοὺς ἄλλους παραλιπών, ὡς Εὐαγόραν ἦλθεν. ἄλλος ἐκ τῶν μερῶν, ὥσπερ ἐν τοῖς τοπικοῖς, ποία κίνησις ἡ ψυχή· ἥδε γὰρ ἢ ἥδε. παράδειγμα ἐκ τοῦ Σωκράτους τοῦ Θεοδέκτου· „εἰς ποῖον ἱερὸν ἠσέβηκεν; τίνας θεῶν οὐ τετίμηκεν ὧν ἡ πόλις νομίζει;“ ἄλλος, ἐπειδὴ ἐπὶ τῶν πλείστων συμβαίνει ὥσθ᾽ ἕπεσθαί τι τῷ αὐτῷ ἀγαθὸν καὶ κακόν, ἐκ τοῦ ἀκολουθοῦντος προτρέπειν ἢ ἀποτρέπειν καὶ κατηγορεῖν ἢ ἀπολογεῖσθαι καὶ ἐπαινεῖν ἢ ψέγειν. οἷον τῇ παιδεύσει τὸ φθονεῖσθαι ἀκολουθεῖ κακόν, τὸ δὲ σοφὸν εἶναι ἀγαθόν· οὐ τοίνυν δεῖ παιδεύεσθαι, φθονεῖσθαι γὰρ οὐ δεῖ· δεῖ μὲν οὖν παιδεύεσθαι, σοφὸν γὰρ εἶναι δεῖ. ὁ τόπος οὗτός ἐστιν ἡ Καλλίππου τέχνη προσλαβοῦσα τὸ δυνατὸν καὶ τἆλλα, ὡς εἴρηται. ἄλλος, ὅταν περὶ δυοῖν καὶ ἀντικειμένοιν ἢ προτρέπειν ἢ ἀποτρέπειν δέῃ, [καὶ] τῷ πρότερον εἰρημένῳ τρόπῳ ἐπὶ ἀμφοῖν χρῆσθαι. διαφέρει δέ, ὅτι ἐκεῖ μὲν τὰ τυχόντα ἀντιτίθεται, ἐνταῦθα δὲ τἀναντία. οἷον ἱέρεια οὐκ εἴα τὸν υἱὸν δημηγορεῖν· ἐὰν μὲν γάρ, ἔφη, τὰ δίκαια λέγῃς, οἱ ἄνθρωποί σε μισήσουσιν, ἐὰν δὲ τὰ ἄδικα, οἱ θεοί. δεῖ μὲν οὖν δημηγορεῖν· ἐὰν μὲν γὰρ τὰ δίκαια λέγῃς, οἱ θεοί σε φιλήσουσιν, ἐὰν δὲ τὰ ἄδικα, οἱ ἄνθρωποι. τουτὶ δ᾽ ἐστὶ ταὐτὸ τῷ λεγομένῳ τὸ ἕλος πρίασθαι καὶ τοὺς ἅλας· καὶ ἡ βλαίσωσις τοῦτ᾽ ἐστίν, ὅταν δυοῖν ἐναντίοιν ἑκατέρῳ ἀγαθὸν καὶ κακὸν ἕπηται, ἐναντία ἑκάτερα ἑκατέροις.

ἄλλος, ἐπειδὴ οὐ ταὐτὰ φανερῶς ἐπαινοῦσι καὶ ἀφανῶς, ἀλλὰ φανερῶς μὲν τὰ δίκαια καὶ τὰ καλὰ ἐπαινοῦσι μάλιστα, ἰδίᾳ δὲ τὰ συμφέροντα μᾶλλον βούλονται, ἐκ τού-

23 ὃν τἀναντία εἰπεῖν. καὶ περὶ τῆς Ἑλένης ὡς Ἰσοκράτης ἔγραψεν ὅτι σπουδαία, εἴπερ Θησεὺς ἔκρινεν· καὶ περὶ Ἀλεξάνδρου, ὃν αἱ θεαὶ προέκριναν, καὶ περὶ Εὐαγόρου, ὅτι σπουδαῖος, ὥσπερ Ἰσοκράτης φησίν· Κόνων γοῦν δυστυχήσας, πάντας τοὺς ἄλλους παραλιπών, ὡς Εὐαγόραν ἦλθεν. ἄλλος ἐκ τῶν μερῶν, ὥσπερ ἐν τοῖς τοπικοῖς, ποία κίνησις ἡ ψυχή· ἥδε γὰρ ἢ ἥδε. παράδειγμα ἐκ τοῦ Σωκράτους τοῦ Θεοδέκτου· „εἰς ποῖον ἱερὸν ἠσέβηκεν; τίνας θεῶν οὐ τετίμηκεν ὧν ἡ πόλις νομίζει;“ ἄλλος, ἐπειδὴ ἐπὶ τῶν πλείστων συμβαίνει ὥσθ᾽ ἕπεσθαί τι τῷ αὐτῷ ἀγαθὸν καὶ κακόν, ἐκ τοῦ ἀκολουθοῦντος προτρέπειν ἢ ἀποτρέπειν καὶ κατηγορεῖν ἢ ἀπολογεῖσθαι καὶ ἐπαινεῖν ἢ ψέγειν. οἷον τῇ παιδεύσει τὸ φθονεῖσθαι ἀκολουθεῖ κακόν, τὸ δὲ σοφὸν εἶναι ἀγαθόν· οὐ τοίνυν δεῖ παιδεύεσθαι, φθονεῖσθαι γὰρ οὐ δεῖ· δεῖ μὲν οὖν παιδεύεσθαι, σοφὸν γὰρ εἶναι δεῖ. ὁ τόπος οὗτός ἐστιν ἡ Καλλίππου τέχνη προσλαβοῦσα τὸ δυνατὸν καὶ τἆλλα, ὡς εἴρηται. ἄλλος, ὅταν περὶ δυοῖν καὶ ἀντικειμένοιν ἢ προτρέπειν ἢ ἀποτρέπειν δέῃ, [καὶ] τῷ πρότερον εἰρημένῳ τρόπῳ ἐπὶ ἀμφοῖν χρῆσθαι. διαφέρει δέ, ὅτι ἐκεῖ μὲν τὰ τυχόντα ἀντιτίθεται, ἐνταῦθα δὲ τἀναντία. οἷον ἱέρεια οὐκ εἴα τὸν υἱὸν δημηγορεῖν· ἐὰν μὲν γάρ, ἔφη, τὰ δίκαια λέγῃς, οἱ ἄνθρωποί σε μισήσουσιν, ἐὰν δὲ τὰ ἄδικα, οἱ θεοί. δεῖ μὲν οὖν δημηγορεῖν· ἐὰν μὲν γὰρ τὰ δίκαια λέγῃς, οἱ θεοί σε φιλήσουσιν, ἐὰν δὲ τὰ ἄδικα, οἱ ἄνθρωποι. τουτὶ δ᾽ ἐστὶ ταὐτὸ τῷ λεγομένῳ τὸ ἕλος πρίασθαι καὶ τοὺς ἅλας· καὶ ἡ βλαίσωσις τοῦτ᾽ ἐστίν, ὅταν δυοῖν ἐναντίοιν ἑκατέρῳ ἀγαθὸν καὶ κακὸν ἕπηται, ἐναντία ἑκάτερα ἑκατέροις. ἄλλος, ἐπειδὴ οὐ ταὐτὰ φανερῶς ἐπαινοῦσι καὶ ἀφανῶς, ἀλλὰ φανερῶς μὲν τὰ δίκαια καὶ τὰ καλὰ ἐπαινοῦσι μάλιστα, ἰδίᾳ δὲ τὰ συμφέροντα μᾶλλον βούλονται, ἐκ τού-

των πειρᾶσθαι συνάγειν θάτερον· τῶν γὰρ παραδόξων 23 οὗτος ὁ τόπος κυριώτατός ἐστιν. ἄλλος ἐκ τοῦ ἀνάλογον ταῦτα συμβαίνειν· οἷον ὁ Ἰφικράτης τὸν υἱὸν αὐτοῦ νεώτερον ὄντα τῆς ἡλικίας, ὅτι μέγας ἦν, λειτουργεῖν ἀναγκαζόντων, εἶπεν ὅτι εἰ τοὺς μεγάλους τῶν παίδων ἄνδρας νομίζουσι, τοὺς μικροὺς τῶν ἀνδρῶν παῖδας εἶναι ψηφιοῦνται. καὶ Θεοδέκτης ἐν τῷ νόμῳ, ὅτι πολίτας μὲν ποιεῖσθε τοὺς μισθοφόρους, οἷον Στράβακα καὶ Χαρίδημον διὰ τὴν ἐπιείκειαν· φυγάδας δ' οὐ ποιήσετε τοὺς ἐν τοῖς μισθοφόροις ἀνήκεστα διαπεπραγμένους; ἄλλος ἐκ τοῦ, τὸ συμβαῖνον ἐὰν ᾖ ταὐτόν, ὅτι καὶ ἐξ ὧν συμβαίνει ταὐτά· οἷον Ξενοφάνης ἔλεγεν ὅτι ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς ἀποθανεῖν λέγουσιν· ἀμφοτέρως γὰρ συμβαίνει μὴ εἶναι τοὺς θεούς ποτε. καὶ ὅλως δὲ τὸ συμβαῖνον ἐξ ἑκάστου λαμβάνειν ὡς ταὐτὸ ἀεί. „μέλλετε δὲ κρίνειν οὐ περὶ Ἰσοκράτους ἀλλὰ περὶ ἐπιτηδεύματος, εἰ χρὴ φιλοσοφεῖν.“ καὶ ὅτι τὸ διδόναι γῆν καὶ ὕδωρ δουλεύειν, καὶ τὸ μετέχειν τῆς κοινῆς εἰρήνης ποιεῖν τὸ προσταττόμενον. ληπτέον δ' ὁπότερον ἂν ᾖ χρήσιμον. ἄλλος ἐκ τοῦ μὴ ταὐτὸ [τοὺς αὐτοὺς] ἀεὶ αἱρεῖσθαι ὕστερον ἢ πρότερον, ἀλλ' ἀνάπαλιν, οἷον τόδε τὸ ἐνθύμημα, „εἰ φεύγοντες μὲν ἐμαχόμεθα ὅπως κατέλθωμεν, κατελθόντες δὲ φευξόμεθα ὅπως μὴ μαχώμεθα.“ ὁτὲ μὲν γὰρ τὸ μένειν ἀντὶ τοῦ μάχεσθαι ᾑροῦντο, ὁτὲ δὲ τὸ μὴ μάχεσθαι ἀντὶ τοῦ μὴ μένειν. ἄλλος τὸ οὗ ἕνεκ' ἂν εἴη ἢ γένοιτο, τούτου ἕνεκα φάναι εἶναι ἢ γεγενῆσθαι, οἷον εἰ δοίη ἄν τις τινὶ ἵν' ἀφελόμενος λυπήσῃ. ὅθεν καὶ τοῦτ' εἴρηται,

πολλοῖς ὁ δαίμων οὐ κατ' εὔνοιαν φέρων
μεγάλα δίδωσιν εὐτυχήματ', ἀλλ' ἵνα
τὰς συμφορὰς λάβωσιν ἐπιφανεστέρας.

καὶ τὸ ἐκ τοῦ Μελεάγρου τοῦ Ἀντιφῶντος,

23 οὐχ ἵνα κτάνωσι θῆρ᾽, ὅπως δὲ μάρτυρες
ἀρετῆς γένωνται Μελεάγρῳ πρὸς Ἑλλάδα.

καὶ τὸ ἐκ τοῦ Αἴαντος τοῦ Θεοδέκτου, ὅτι ὁ Διομήδης προείλετο Ὀδυσσέα οὐ τιμῶν, ἀλλ᾽ ἵνα ἥττων ᾖ ὁ ἀκολουθῶν· ἐνδέχεται γὰρ τούτου ἕνεκα ποιῆσαι. ἄλλος κοινὸς καὶ τοῖς ἀμφισβητοῦσι καὶ τοῖς συμβουλεύουσι, σκοπεῖν τὰ προτρέποντα καὶ ἀποτρέποντα, καὶ ὧν ἕνεκα καὶ πράττουσι καὶ φεύγουσιν· ταῦτα γάρ ἐστιν ἃ ἐὰν μὲν ὑπάρχῃ δεῖ πράττειν, * * οἷον εἰ δυνατὸν καὶ ῥᾴδιον καὶ ὠφέλιμον ἢ αὑτῷ ἢ φίλοις, ἢ βλαβερὸν ἐχθροῖς καὶ ἐπιζήμιον, ἢ ἐλάττων ἡ ζημία τοῦ πράγματος. καὶ προτρέπονται δ᾽ ἐκ τούτων καὶ ἀποτρέπονται ἐκ τῶν ἐναντίων. ἐκ δὲ τῶν αὐτῶν τούτων καὶ κατηγοροῦσι καὶ ἀπολογοῦνται· ἐκ μὲν τῶν ἀποτρεπόντων ἀπολογοῦνται, ἐκ δὲ τῶν προτρεπόντων κατηγοροῦσιν. ἔστι δ᾽ ὁ τόπος οὗτος ὅλη τέχνη ἥ τε Παμφίλου καὶ ἡ Καλλίππου. ἄλλος ἐκ τῶν δοκούντων μὲν γίγνεσθαι ἀπίστων δέ, ὅτι οὐκ ἂν ἔδοξαν, εἰ μὴ ἦν ἢ ἐγγὺς ἦν. καὶ ὅτι μᾶλλον· ἢ γὰρ τὰ ὄντα ἢ τὰ εἰκότα ὑπολαμβάνουσιν· εἰ οὖν ἄπιστον καὶ μὴ εἰκός, ἀληθὲς ἂν εἴη· οὐ γὰρ διά γε τὸ εἰκὸς καὶ πιθανὸν δοκεῖ οὕτως. οἷον Ἀνδροκλῆς ἔλεγεν ὁ Πιτθεὺς κατηγορῶν τοῦ νόμου, ἐπεὶ ἐθορύβησαν αὐτῷ εἰπόντι „δέονται οἱ νόμοι νόμου τοῦ διορθώσοντος· καὶ γὰρ οἱ ἰχθύες ἁλός, καίτοι οὐκ εἰκὸς οὐδὲ πιθανὸν ἐν ἅλμῃ τρεφομένους δεῖσθαι ἁλός, καὶ τὰ στέμφυλα ἐλαίου· καίτοι ἄπιστον, ἐξ ὧν ἔλαιον γίνεται, ταῦτα δεῖσθαι ἐλαίου.“ ἄλλος ἐλεγκτικός, τὸ τὰ ἀνομολογούμενα σκοπεῖν, εἴ τι ἀνομολογούμενον ἐκ πάντων καὶ χρόνων καὶ πράξεων καὶ λόγων, χωρὶς μὲν ἐπὶ τοῦ ἀμφισβητοῦντος, οἷον „καὶ φησὶ μὲν φιλεῖν ὑμᾶς, συνώμοσε δὲ τοῖς τριάκοντα,“ χωρὶς δ᾽ ἐπ᾽ αὐτοῦ, „καὶ φησὶ μὲν εἶναί με φιλόδικον, οὐκ ἔχει δὲ ἀποδεῖξαι δεδικασμένον οὐδε-

μίαν δίκην," χωρὶς δ' ἐπ' αὐτοῦ καὶ τοῦ ἀμφισβητοῦν- 23
τος, „καὶ οὗτος μὲν οὐ δεδάνεικε πώποτ' οὐδέν, ἐγὼ δὲ καὶ πολλοὺς λέλυμαι ὑμῶν." ἄλλος τοῖς προδιαβεβλημένοις καὶ ἀνθρώποις καὶ πράγμασιν, ἢ δοκοῦσι, τὸ λέγειν τὴν αἰτίαν τοῦ παραδόξου· ἔστι γάρ τι δι' ὃ φαίνεται. οἷον ὑποβεβλημένης τινὸς τὸν αὑτῆς υἱὸν διὰ τὸ ἀσπάζεσθαι ἐδόκει συνεῖναι τῷ μειρακίῳ, λεχθέντος δὲ τοῦ αἰτίου ἐλύθη ἡ διαβολή· καὶ οἷον ἐν τῷ Αἴαντι τῷ Θεοδέκτου Ὀδυσσεὺς λέγει πρὸς τὸν Αἴαντα, διότι ἀνδρειότερος ὢν τοῦ Αἴαντος οὐ δοκεῖ. ἄλλος ἀπὸ τοῦ αἰτίου, ἄν τε ὑπάρχῃ, ὅτι ἔστι, κἂν μὴ ὑπάρχῃ, ὅτι οὐκ ἔστιν. ἅμα γὰρ τὸ αἴτιον καὶ οὗ αἴτιον, καὶ ἄνευ αἰτίου οὐθέν ἐστιν. οἷον Λεωδάμας ἀπολογούμενος ἔλεγε, κατηγορήσαντος Θρασυβούλου ὅτι ἦν στηλίτης γεγονὼς ἐν τῇ ἀκροπόλει, ἀλλ' ἐκκόψαι ἐπὶ τῶν τριάκοντα· οὐκ ἐνδέχεσθαι ἔφη· μᾶλλον γὰρ ἂν πιστεύειν αὐτῷ τοὺς τριάκοντα ἐγγεγραμμένης τῆς ἔχθρας πρὸς τὸν δῆμον. ἄλλος, εἰ ἐνεδέχετο βέλτιον ἄλλως ἢ ἐνδέχεται ὧν ἢ συμβουλεύει ἢ πράττει ἢ πέπραχε σκοπεῖν· φανερὸν γὰρ ὅτι εἰ μὲν οὕτως ἔχει, οὐ πέπραχεν· οὐδεὶς γὰρ ἑκὼν τὰ φαῦλα καὶ γιγνώσκων προαιρεῖται. ἔστι δὲ τοῦτο ψεῦδος· πολλάκις γὰρ ὕστερον γίνεται δῆλον πῶς ἦν πρᾶξαι βέλτιον, πρότερον δὲ ἄδηλον. ἄλλος, ὅταν τι ἐναντίον μέλλῃ πράττεσθαι τοῖς πεπραγμένοις, ἅμα σκοπεῖν· οἷον Ξενοφάνης Ἐλεάταις ἐρωτῶσιν εἰ θύωσι τῇ Λευκοθέᾳ καὶ θρηνῶσιν, ἢ μή, συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσι, μὴ θρηνεῖν, εἰ δ' ἄνθρωπον, μὴ θύειν.

ἄλλος [τόπος] τὸ ἐκ τῶν ἁμαρτηθέντων κατηγορεῖν ἢ ἀπολογεῖσθαι, οἷον ἐν τῇ Καρκίνου Μηδείᾳ οἱ μὲν κατηγοροῦσιν ὅτι τοὺς παῖδας ἀπέκτεινεν, οὐ φαίνεσθαι γοῦν αὐτούς· ἥμαρτε γὰρ ἡ Μήδεια περὶ τὴν ἀποστολὴν τῶν παίδων· ἡ δ' ἀπολογεῖται ὅτι οὐκ ἂν τοὺς παῖδας ἀλλὰ

23 τὸν Ἰάσονα [ἂν] ἀπέκτεινεν· τοῦτο γὰρ ἥμαρτεν ἂν μὴ ποιήσασα, εἴπερ καὶ θάτερον ἐποίησεν. ἔστι δ' ὁ τόπος οὗτος τοῦ ἐνθυμήματος καὶ τὸ εἶδος ὅλη ἡ πρότερον Θεοδώρου τέχνη. ἄλλος ἀπὸ τοῦ ὀνόματος, οἷον ὡς ὁ Σοφοκλῆς.

σαφῶς Σιδηρὼ καὶ φοροῦσα τοὔνομα,

καὶ ὡς ἐν τοῖς τῶν θεῶν ἐπαίνοις εἰώθασι λέγειν, καὶ ὡς Κόνων Θρασύβουλον θρασύβουλον ἐκάλει, καὶ Ἡρόδικος Θρασύμαχον „ἀεὶ θρασύμαχος εἶ,“ καὶ Πῶλον „αἰεὶ σὺ πῶλος εἶ,“ καὶ Δράκοντα τὸν νομοθέτην, ὅτι οὐκ ἂν ἀνθρώπου οἱ νόμοι ἀλλὰ δράκοντος· χαλεποὶ γάρ. καὶ ὡς ἡ Εὐριπίδου Ἑκάβη εἰς τὴν Ἀφροδίτην

καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς.

καὶ ὡς Χαιρήμων

Πενθεὺς ἐσομένης συμφορᾶς ἐπώνυμος.

εὐδοκιμεῖ δὲ μᾶλλον τῶν ἐνθυμημάτων τὰ ἐλεγκτικὰ τῶν ἀποδεικτικῶν διὰ τὸ συναγωγὴν μὲν ἐναντίων εἶναι ἐν μικρῷ τὸ ἐλεγκτικὸν ἐνθύμημα, παράλληλα δὲ φανερὰ εἶναι τῷ ἀκροατῇ μᾶλλον. πάντων δὲ καὶ τῶν ἐλεγκτικῶν καὶ τῶν δεικτικῶν συλλογισμῶν θορυβεῖται μάλιστα τὰ τοιαῦτα ὅσα ἀρχόμενα προορῶσι μὴ τῷ ἐπιπολῆς εἶναι (ἅμα γὰρ καὶ αὐτοὶ ἐφ' αὐτοῖς χαίρουσι προαισθανόμενοι), καὶ ὅσων τοσοῦτον ὑστερίζουσιν ὥσθ' ἅμα εἰρημένων γνωρίζειν.

24 ἐπεὶ δ' ἐνδέχεται τὸν μὲν εἶναι συλλογισμόν, τὸν δὲ
26 μὴ εἶναι μὲν φαίνεσθαι δέ, ἀνάγκη καὶ ἐνθύμημα τὸ μὲν εἶναι, τὸ δὲ μὴ εἶναι ἐνθύμημα φαίνεσθαι δέ, ἐπείπερ τὸ ἐνθύμημα συλλογισμός τις. τόποι δ' εἰσὶ τῶν φαινομένων ἐνθυμημάτων εἷς μὲν ὁ παρὰ τὴν λέξιν, καὶ τούτου ἓν μὲν μέρος, ὥσπερ ἐν τοῖς διαλεκτικοῖς, τὸ μὴ συλλογισάμενον συμπερασματικῶς τὸ τελευταῖον εἰπεῖν, οὐκ ἄρα τὸ καὶ τό, ἀνάγκη ἄρα τὸ καὶ τό. καὶ τὸ τοῖς ἐνθυμήμασι

τὸ συνεστραμμένως καὶ ἀντικειμένως εἰπεῖν φαίνεται ἐνθύμημα· ἡ γὰρ τοιαύτη λέξις χώρα ἐστὶν ἐνθυμήματος. καὶ ἔοικε τὸ τοιοῦτον εἶναι παρὰ τὸ σχῆμα τῆς λέξεως. ἔστι δὲ εἰς τὸ τῇ λέξει συλλογιστικῶς λέγειν χρήσιμον τὸ συλλογισμῶν πολλῶν κεφάλαια λέγειν, ὅτι τοὺς μὲν ἔσωσε, τοῖς δ' ἑτέροις ἐτιμώρησε, τοὺς δ' Ἕλληνας ἠλευθέρωσεν· ἕκαστον μὲν γὰρ τούτων ἐξ ἄλλων ἀπεδείχθη, συντεθέντων δὲ φαίνεται καὶ ἐκ τούτων τι γίγνεσθαι. ἓν δὲ τὸ παρὰ τὴν ὁμωνυμίαν, τὸ φάναι σπουδαῖον εἶναι μῦν, ἀφ' οὗ γ' ἐστὶν ἡ τιμιωτάτη πασῶν τελετή· τὰ γὰρ μυστήρια πασῶν τιμιωτάτη τελετή. ἢ εἴ τις κύνα ἐγκωμιάζων τὸν ἐν τῷ οὐρανῷ συμπαραλαμβάνει ἢ τὸν Πᾶνα, ὅτι Πίνδαρος ἔφησεν 24

ὦ μάκαρ, ὅντε μεγάλας θεοῦ κύνα παντοδαπὸν
καλέουσιν Ὀλύμπιοι.

ἢ ὅτι τὸ μηδένα εἶναι κύνα ἀτιμότατόν ἐστιν, ὥστε τὸ κύνα δῆλον ὅτι τίμιον. καὶ τὸ κοινωνικὸν φάναι τὸν Ἑρμῆν εἶναι μάλιστα τῶν θεῶν· μόνος γὰρ καλεῖται κοινὸς Ἑρμῆς. καὶ τὸ τὸν λόγον εἶναι σπουδαιότατον, ὅτι οἱ ἀγαθοὶ ἄνδρες οὐ χρημάτων ἀλλὰ λόγου εἰσὶν ἄξιοι· τὸ γὰρ λόγου ἄξιον οὐχ ἁπλῶς λέγεται. ἄλλος τὸ διῃρημένον συντιθέντα λέγειν ἢ τὸ συγκείμενον διαιροῦντα· ἐπεὶ γὰρ ταὐτὸ δοκεῖ εἶναι οὐκ ὂν ταὐτὸν πολλάκις, ὁπότερον χρησιμώτερον, τοῦτο δεῖ ποιεῖν. ἔστι δὲ τοῦτο Εὐθυδήμου λόγος. οἷον τὸ εἰδέναι ὅτι τριήρης ἐν Πειραιεῖ ἐστίν· ἕκαστον γὰρ οἶδεν. καὶ τὸν τὰ στοιχεῖα ἐπιστάμενον ὅτι τὸ ἔπος οἶδεν· τὸ γὰρ ἔπος τὸ αὐτό ἐστιν. καὶ ἐπεὶ τὸ δὶς τοσοῦτον νοσῶδες, μηδὲ τὸ ἓν φάναι ὑγιεινὸν εἶναι· ἄτοπον γὰρ εἰ τὰ δύο ἀγαθὰ ἓν κακόν ἐστιν. οὕτω μὲν οὖν ἐλεγκτικόν, ὧδε δὲ δεικτικόν· οὐ γάρ ἐστιν ἓν ἀγαθὸν δύο κακά. ὅλος δὲ ὁ τόπος παραλογιστικός. πάλιν τὸ Πολυκράτους εἰς Θρασύβουλον, ὅτι

24 *τριάκοντα τυράννους κατέλυσεν· συντίθησι γάρ. ἢ τὸ ἐν τῷ Ὀρέστῃ τῷ Θεοδέκτου· ἐκ διαιρέσεως γάρ ἐστιν.*

δίκαιόν ἐστιν, ἥ τις ἂν κτείνῃ πόσιν,
ἀποθνήσκειν ταύτην, καὶ τῷ πατρί γε τιμωρεῖν τὸν υἱόν·

οὐκοῦν καὶ ταῦτα πέπρακται· συντεθέντα γὰρ ἴσως οὐκέτι δίκαιον. εἴη δ' ἂν καὶ παρὰ τὴν ἔλλειψιν· ἀφαιρεῖται γὰρ τὸ ὑπὸ τίνος. ἄλλος δὲ τόπος τὸ δεινώσει κατασκευάζειν ἢ ἀνασκευάζειν. τοῦτο δ' ἐστίν, ὅταν μὴ δείξας ὅτι ἐποίησεν, αὐξήσῃ τὸ πρᾶγμα· ποιεῖ γὰρ φαίνεσθαι ἢ ὡς οὐ πεποίηκεν, ὅταν ὁ τὴν αἰτίαν ἔχων αὔξῃ, ἢ ὡς πεποίηκεν, ὅταν ὁ κατηγορῶν ὀργίζηται. οὔκουν ἐστὶν ἐνθύμημα· παραλογίζεται γὰρ ὁ ἀκροατὴς ὅτι ἐποίησεν ἢ οὐκ ἐποίησεν, οὐ δεδειγμένου. ἄλλος τὸ ἐκ σημείου· ἀσυλλόγιστον γὰρ καὶ τοῦτο. οἷον εἴ τις λέγοι „ταῖς πόλεσι συμφέρουσιν οἱ ἐρῶντες· ὁ γὰρ Ἁρμοδίου καὶ Ἀριστογείτονος ἔρως κατέλυσε τὸν τύραννον Ἵππαρχον.“ ἢ εἴ τις λέγοι ὅτι κλέπτης Διονύσιος· πονηρὸς γάρ· [ἀσυλλόγιστον γὰρ δὴ τοῦτο]· οὐ γὰρ πᾶς πονηρὸς κλέπτης, ἀλλ' ὁ κλέπτης πᾶς πονηρός. ἄλλος διὰ τὸ συμβεβηκός, οἷον ὃ λέγει Πολυκράτης εἰς τοὺς μῦς, ὅτι ἐβοήθησαν διατραγόντες τὰς νευράς. ἢ εἴ τις φαίη τὸ ἐπὶ δεῖπνον κληθῆναι τιμιώτατον· διὰ γὰρ τὸ μὴ κληθῆναι ὁ Ἀχιλλεὺς ἐμήνισε τοῖς Ἀχαιοῖς ἐν Τενέδῳ· ὁ δ' ὡς ἀτιμαζόμενος ἐμήνισεν, συνέβη δὲ τοῦτο ἐπὶ τοῦ μὴ κληθῆναι. ἄλλος τὸ παρὰ τὸ ἑπόμενον, οἷον ἐν τῷ Ἀλεξάνδρῳ, ὅτι μεγαλόψυχος· ὑπεριδὼν γὰρ τὴν πολλῶν ὁμιλίαν ἐν τῇ Ἴδῃ διέτριβε καθ' αὑτόν· ὅτι γὰρ οἱ μεγαλόψυχοι τοιοῦτοι, καὶ οὗτος μεγαλόψυχος δόξειεν ἄν. καὶ ἐπεὶ καλλωπιστὴς καὶ νύκτωρ πλανᾶται, μοιχός· τοιοῦτοι γάρ. ὅμοιον δὲ καὶ ὅτι ἐν τοῖς ἱεροῖς οἱ πτωχοὶ καὶ ᾄδουσι καὶ ὀρχοῦνται, καὶ ὅτι τοῖς φυγάσιν ἔξεστιν οἰκεῖν ὅπου ἂν θέλωσιν· ὅτι γὰρ τοῖς δοκοῦσιν εὐδαιμο-

νεῖν ὑπάρχει ταῦτα, καὶ οἷς ταῦτα ὑπάρχει, δόξαιεν ἂν 24 εὐδαιμονεῖν. διαφέρει δὲ τῷ πῶς· διὸ καὶ εἰς τὴν ἔλλειψιν ἐμπίπτει. ἄλλος παρὰ τὸ ἀναίτιον ὡς αἴτιον, οἷον τῷ ἅμα ἢ μετὰ τοῦτο γεγονέναι· τὸ γὰρ μετὰ τοῦτο ὡς διὰ τοῦτο λαμβάνουσι, καὶ μάλιστα οἱ ἐν ταῖς πολιτείαις, οἷον ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν· μετ' ἐκείνην γὰρ συνέβη ο πόλεμος. ἄλλος παρὰ τὴν ἔλλειψιν τοῦ πότε καὶ πῶς, οἷον ὅτι δικαίως Ἀλέξανδρος ἔλαβε τὴν Ἑλένην· αἵρεσις γὰρ αὐτῇ ἐδόθη παρὰ τοῦ πατρός. οὐ γὰρ ἀεὶ ἴσως, ἀλλὰ τὸ πρῶτον· καὶ γὰρ ὁ πατὴρ μέχρι τούτου κύριος. ἢ εἴ τις φαίη τὸ τύπτειν τοὺς ἐλευθέρους ὕβριν εἶναι· οὐ γὰρ πάντως, ἀλλ' ὅταν ἄρχῃ χειρῶν ἀδίκων. ἔτι ὥσπερ ἐν τοῖς ἐριστικοῖς, παρὰ τὸ ἁπλῶς καὶ μὴ ἁπλῶς, ἀλλά τι, γίγνεται φαινόμενος συλλογισμός· οἷον ἐν μὲν τοῖς διαλεκτικοῖς, ὅτι ἐστὶ τὸ μὴ ὂν ὄν· ἔστι γὰρ τὸ μὴ ὂν μὴ ὄν. καὶ ὅτι ἐπιστητὸν τὸ ἄγνωστον· ἔστι γὰρ ἐπιστητὸν τὸ ἄγνωστον ὅτι ἄγνωστον. οὕτω καὶ ἐν τοῖς ῥητορικοῖς ἐστὶ φαινόμενον ἐνθύμημα παρὰ τὸ μὴ ἁπλῶς εἰκὸς ἀλλά τι εἰκός. ἔστι δὲ τοῦτο οὐ καθόλου, ὥσπερ καὶ Ἀγάθων λέγει

τάχ' ἄν τις εἰκὸς αὐτὸ τοῦτ' εἶναι λέγοι,
βροτοῖσι πολλὰ τυγχάνειν οὐκ εἰκότα.

γίγνεται γὰρ τὸ παρὰ τὸ εἰκός, ὥστε εἰκὸς καὶ τὸ παρὰ τὸ εἰκός. εἰ δὲ τοῦτο, ἔσται τὸ μὴ εἰκὸς εἰκός. ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ὥσπερ καὶ ἐπὶ τῶν ἐριστικῶν τὸ κατὰ τί καὶ πρός τί καὶ πῇ οὐ προστιθέμενα ποιεῖ τὴν συκοφαντίαν, καὶ ἐνταῦθα παρὰ τὸ εἰκὸς εἶναι μὴ ἁπλῶς ἀλλά τι εἰκός. ἔστι δ' ἐκ τούτου τοῦ τόπου ἡ Κόρακος τέχνη συγκειμένη· ἄν τε γὰρ μὴ ἔνοχος ᾖ τῇ αἰτίᾳ, οἷον ἀσθενὴς ὢν αἰκίας φεύγῃ· οὐ γὰρ εἰκός· κἂν ἔνοχος ὤν, οἷον ἂν ἰσχυρὸς ὤν· οὐ γὰρ εἰκός, ὅτι εἰκὸς ἔμελλε δόξειν.

24 ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ἢ γὰρ ἔνοχον ἀνάγκη ἢ μὴ ἔνοχον εἶναι τῇ αἰτίᾳ· φαίνεται μὲν οὖν ἀμφότερα εἰκότα, ἔστι δὲ τὸ μὲν εἰκός, τὸ δὲ οὐχ ἁπλῶς ἀλλ' ὥσπερ εἴρηται. καὶ τὸ τὸν ἥττω δὲ λόγον κρείττω ποιεῖν τοῦτ' ἐστίν. καὶ ἐντεῦθεν δικαίως ἐδυσχέραινον οἱ ἄνθρωποι τὸ Πρωταγόρου ἐπάγγελμα· ψεῦδός τε γάρ ἐστι, καὶ οὐκ ἀληθὲς ἀλλὰ φαινόμενον εἰκός, καὶ ἐν οὐδεμιᾷ τέχνῃ ἀλλ' ἐν ῥητορικῇ καὶ ἐριστικῇ.

καὶ περὶ μὲν ἐνθυμημάτων καὶ τῶν ὄντων καὶ τῶν
25 φαινομένων εἴρηται· περὶ δὲ λύσεως ἐχόμενόν ἐστι τῶν εἰρημένων εἰπεῖν. ἔστι δὲ λύειν ἢ ἀντισυλλογισάμενον ἢ ἔνστασιν ἐνεγκόντα. τὸ μὲν οὖν ἀντισυλλογίζεσθαι δῆλον ὅτι ἐκ τῶν αὐτῶν τόπων ἐνδέχεται ποιεῖν· οἱ μὲν γὰρ συλλογισμοὶ ἐκ τῶν ἐνδόξων, δοκοῦντα δὲ πολλὰ ἐναντία ἀλλήλοις ἐστίν. αἱ δ' ἐνστάσεις φέρονται καθάπερ καὶ ἐν τοῖς τοπικοῖς, τετραχῶς· ἢ γὰρ ἐξ ἑαυτοῦ ἢ ἐκ τοῦ ὁμοίου ἢ ἐκ τοῦ ἐναντίου ἢ ἐκ τῶν κεκριμένων. λέγω δὲ ἀφ' ἑαυτοῦ μέν, οἷον εἰ περὶ ἔρωτος εἴη τὸ ἐνθύμημα ὡς σπουδαῖος, ἡ ἔνστασις διχῶς· ἢ γὰρ καθόλου εἰπόντα ὅτι πᾶσα ἔνδεια πονηρόν, ἢ κατὰ μέρος ὅτι οὐκ ἂν ἐλέγετο Καύνιος ἔρως, εἰ μὴ ἦσαν καὶ πονηροὶ ἔρωτες. ἀπὸ δὲ τοῦ ἐναντίου ἔνστασις φέρεται, οἷον εἰ τὸ ἐνθύμημα ἦν ὅτι ὁ ἀγαθὸς ἀνὴρ πάντας τοὺς φίλους εὖ ποιεῖ, ἀλλ' οὐδ' ὁ μοχθηρὸς κακῶς. ἀπὸ δὲ τοῦ ὁμοίου, εἰ ἦν τὸ ἐνθύμημα ὅτι οἱ κακῶς πεπονθότες ἀεὶ μισοῦσιν, ὅτι ἀλλ' οὐδ' οἱ εὖ πεπονθότες ἀεὶ φιλοῦσιν. αἱ δὲ κρίσεις αἱ ἀπὸ τῶν γνωρίμων ἀνδρῶν, οἷον εἴ τις ἐνθύμημα εἶπεν ὅτι τοῖς μεθύουσι δεῖ συγγνώμην ἔχειν, ἀγνοοῦντες γὰρ ἁμαρτάνουσιν, ἔνστασις ὅτι οὔκουν ὁ Πιττακὸς αἰνετός· οὐ γὰρ ἂν μείζους ζημίας ἐνομοθέτησεν ἐάν τις μεθύων ἁμαρτάνῃ.

ἐπεὶ δὲ τὰ ἐνθυμήματα λέγεται ἐκ τεττάρων, τὰ δὲ

τέτταρα ταῦτ' ἐστὶν εἰκὸς παράδειγμα τεκμήριον σημεῖον, ἔστι δὲ τὰ μὲν ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ ἢ ὄντων ἢ δοκούντων συνηγμένα ἐνθυμήματα ἐκ τῶν εἰκότων, τὰ δὲ [δι' ἐπαγωγῆς] διὰ τοῦ ὁμοίου, ἢ ἑνὸς ἢ πλειόνων, ὅταν λαβὼν τὸ καθόλου εἶτα συλλογίσηται τὰ κατὰ μέρος διὰ παραδείγματος, τὰ δὲ δι' ἀναγκαίου καὶ ὄντος διὰ τεκμηρίου, τὰ δὲ διὰ τοῦ καθόλου ἢ τοῦ ἐν μέρει ὄντος, ἐάν τε ὂν ἐάν τε μή, διὰ σημείων, τὸ δὲ εἰκὸς οὐ τὸ ἀεὶ ἀλλὰ τὸ ὡς ἐπὶ τὸ πολύ, φανερὸν ὅτι τὰ τοιαῦτα μὲν τῶν ἐνθυμημάτων ἀεὶ ἔστι λύειν φέροντα ἔνστασιν, ἡ δὲ λύσις φαινομένη ἀλλ' οὐκ ἀληθὴς ἀεί· οὐ γὰρ ὅτι οὐκ εἰκός, λύει ὁ ἐνιστάμενος, ἀλλ' ὅτι οὐκ ἀναγκαῖον. διὸ καὶ ἀεὶ ἔστι πλεονεκτεῖν ἀπολογούμενον μᾶλλον ἢ κατηγοροῦντα διὰ τοῦτον τὸν παραλογισμόν· ἐπεὶ γὰρ ὁ μὲν κατηγορῶν δι' εἰκότων ἀποδείκνυσιν, ἔστι δὲ οὐ ταὐτὸ λῦσαι ἢ ὅτι οὐκ εἰκὸς ἢ ὅτι οὐκ ἀναγκαῖον, ἀεὶ δ' ἔχει ἔνστασιν τὸ ὡς ἐπὶ τὸ πολύ· οὐ γὰρ ἂν ἦν εἰκὸς ἀλλ' ἀεὶ καὶ ἀναγκαῖον· ὁ δὲ κριτὴς οἴεται, ἂν οὕτως ἐλύθῃ, ἢ οὐκ εἰκὸς εἶναι ἢ οὐχ αὑτῷ κριτέον, παραλογιζόμενος, ὥσπερ ἐλέγομεν· οὐ γὰρ ἐκ τῶν ἀναγκαίων δεῖ αὐτὸν μόνον κρίνειν, ἀλλὰ καὶ ἐκ τῶν εἰκότων· τοῦτο γάρ ἐστι τὸ γνώμῃ τῇ ἀρίστῃ κρίνειν. οὔκουν ἱκανὸν ἂν λύσῃ ὅτι οὐκ ἀναγκαῖον, ἀλλὰ δεῖ λύειν ὅτι οὐκ εἰκός. τοῦτο δὲ συμβήσεται, ἐὰν ᾖ ἡ ἔνστασις μᾶλλον ὡς ἐπὶ τὸ πολύ. ἐνδέχεται δὲ εἶναι τοιαύτην διχῶς, ἢ τῷ χρόνῳ ἢ τοῖς πράγμασιν, κυριώτατα δέ, εἰ ἀμφοῖν· εἰ γὰρ τὰ πλεονάκις οὕτω, τοῦτ' ἐστὶν εἰκὸς μᾶλλον. λύεται δὲ καὶ τὰ σημεῖα καὶ τὰ διὰ σημείου ἐνθυμήματα εἰρημένα, κἂν ᾖ ὑπάρχοντα, ὥσπερ ἐλέχθη ἐν τοῖς πρώτοις· ὅτι γὰρ ἀσυλλόγιστόν ἐστι πᾶν σημεῖον, δῆλον ἡμῖν ἐκ τῶν ἀναλυτικῶν. πρὸς δὲ τὰ * παραδειγματώδη ἡ αὐτὴ λύσις καὶ τὰ εἰκότα· ἐάν τε γὰρ ἔχωμέν τι οὐχ οὕτω, λέλυται, ὅτι

25 οὐκ ἀναγκαῖον, εἰ καὶ πλείω ἢ πλεονάκις ἄλλως· ἐάν τε καὶ τὰ πλείω καὶ τὰ πλεονάκις, οὕτω μαχετέον, ἢ ὅτι τὸ παρὸν οὐχ ὅμοιον ἢ οὐχ ὁμοίως ἢ διαφοράν γέ τινα ἔχει. τὰ δὲ τεκμήρια καὶ τεκμηριώδη ἐνθυμήματα κατὰ μὲν τὸ ἀσυλλόγιστον οὐκ ἔσται λῦσαι (δῆλον δὲ καὶ τοῦθ' ἡμῖν ἐκ τῶν ἀναλυτικῶν), λείπεται δ' ὡς οὐχ ὑπάρχει τὸ λεγόμενον δεικνύναι. εἰ δὲ φανερὸν καὶ ὅτι ὑπάρχει καὶ ὅτι τεκμήριον, ἄλυτον ἤδη γίγνεται τοῦτο· πάντα γὰρ γίγνεται ἀπόδειξις ἤδη φανερά.

26 τὸ δ' αὔξειν καὶ μειοῦν οὐκ ἔστιν ἐνθυμήματος στοιχεῖον· τὸ γὰρ αὐτὸ λέγω στοιχεῖον καὶ τόπον· ἔστι γὰρ στοιχεῖον καὶ τόπος, εἰς ὃ πολλὰ ἐνθυμήματα ἐμπίπτει. τὸ δ' αὔξειν καὶ μειοῦν ἐστὶν [ἐνθυμήματα] πρὸς τὸ δεῖξαι ὅτι μέγα ἢ μικρόν, ὥσπερ καὶ ὅτι ἀγαθὸν ἢ κακὸν ἢ δίκαιον ἢ ἄδικον καὶ τῶν ἄλλων ὁτιοῦν. ταῦτα δ' ἐστὶ πάντα περὶ ἃ οἱ συλλογισμοὶ καὶ τὰ ἐνθυμήματα· ὥστ' εἰ μηδὲ τούτων ἕκαστον ἐνθυμήματος τόπος, οὐδὲ τὸ αὔξειν καὶ μειοῦν. οὐδὲ τὰ λυτικὰ ἐνθυμήματα εἶδός τι ἐστὶν ἄλλο τῶν κατασκευαστικῶν· δῆλον γὰρ ὅτι λύει μὲν ἢ δείξας ἢ ἔνστασιν ἐνεγκών, ἀνταποδείκνυσι δὲ τὸ ἀντικείμενον, οἷον εἰ ἔδειξεν ὅτι γέγονεν, οὗτος ὅτι οὐ γέγονεν, εἰ δ' ὅτι οὐ γέγονεν, οὗτος ὅτι γέγονεν. ὥστε αὕτη μὲν οὐκ ἂν εἴη [ἡ] διαφορά· τοῖς αὐτοῖς γὰρ χρῶνται ἀμφότεροι· ὅτι γὰρ οὐκ ἔστιν ἢ ἔστιν, ἐνθυμήματα φέρουσιν· ἡ δ' ἔνστασις οὐκ ἔστιν ἐνθύμημα, ἀλλὰ καθάπερ ἐν τοῖς τοπικοῖς τὸ εἰπεῖν δόξαν τινὰ ἐξ ἧς ἔσται δῆλον ὅτι οὐ συλλελόγισται ἢ ὅτι ψεῦδός τι εἴληφεν.

ἐπεὶ δὲ [δὴ] τρία ἐστὶν ἃ δεῖ πραγματευθῆναι περὶ τὸν λόγον, ὑπὲρ μὲν παραδειγμάτων καὶ γνωμῶν καὶ ἐνθυμημάτων καὶ ὅλως τῶν περὶ τὴν διάνοιαν, ὅθεν τε εὐπορήσομεν καὶ ὡς αὐτὰ λύσομεν, εἰρήσθω ἡμῖν τοσαῦτα, λοιπὸν δὲ διελθεῖν περὶ λέξεως καὶ τάξεως.

Γ.

1 Ἐπεὶ δὲ τρία ἐστὶν ἃ δεῖ πραγματευθῆναι περὶ τὸν λόγον, ἓν μὲν ἐκ τίνων αἱ πίστεις ἔσονται, δεύτερον δὲ περὶ τὴν λέξιν, τρίτον δὲ πῶς χρὴ τάξαι τὰ μέρη τοῦ λόγου, περὶ μὲν τῶν πίστεων εἴρηται, καὶ ἐκ πόσων, ὅτι ἐκ τριῶν εἰσί, καὶ ταῦτα ποῖα, καὶ διὰ τί τοσαῦτα μόνα· ἢ γὰρ τῷ αὐτοί τι πεπονθέναι οἱ κρίνοντες, ἢ τῷ ποιούς τινας ὑπολαμβάνειν τοὺς λέγοντας, ἢ τῷ ἀποδεδεῖχθαι πείθονται πάντες. εἴρηται δὲ καὶ τὰ ἐνθυμήματα, πόθεν δεῖ πορίζεσθαι· ἔστι γὰρ τὰ μὲν εἴδη τῶν ἐνθυμημάτων, τὰ δὲ τόποι. περὶ δὲ τῆς λέξεως ἐχόμενόν ἐστιν εἰπεῖν· οὐ γὰρ ἀπόχρη τὸ ἔχειν ἃ δεῖ λέγειν, ἀλλ' ἀνάγκη καὶ ταῦτα ὡς δεῖ εἰπεῖν, καὶ συμβάλλεται πολλὰ πρὸς τὸ φανῆναι ποιόν τινα τὸν λόγον. τὸ μὲν οὖν πρῶτον ἐζητήθη κατὰ φύσιν, ὅπερ πέφυκε πρῶτον, αὐτὰ τὰ πράγματα ἐκ τίνων ἔχει τὸ πιθανόν· δεύτερον δὲ τὸ ταῦτα τῇ λέξει διαθέσθαι· τρίτον δὲ τούτων, ὃ δύναμιν μὲν ἔχει μεγίστην, οὔπω δ' ἐπικεχείρηται, τὸ περὶ τὴν ὑπόκρισιν. καὶ γὰρ εἰς τὴν τραγικὴν [καὶ ῥαψῳδίαν] ὀψὲ παρῆλθεν· ὑπεκρίνοντο γὰρ αὐτοὶ τὰς τραγῳδίας οἱ ποιηταὶ τὸ πρῶτον. δῆλον οὖν ὅτι καὶ περὶ τὴν ῥητορικήν ἐστι τὸ τοιοῦτον ὥσπερ καὶ περὶ τὴν ποιητικήν· ὅπερ ἕτεροί τινες ἐπραγματεύθησαν καὶ Γλαύκων ὁ Τήιος. ἔστι δὲ αὐτὴ μὲν ἐν τῇ φωνῇ, πῶς αὐτῇ δεῖ χρῆσθαι πρὸς ἕκαστον πάθος, οἷον πότε μεγάλῃ καὶ πότε μικρᾷ καὶ μέσῃ, καὶ πῶς τοῖς τόνοις, οἷον ὀξείᾳ καὶ βαρείᾳ καὶ μέσῃ, καὶ ῥυθμοῖς τίσι πρὸς ἕκαστα. τρία γάρ ἐστι περὶ ἃ σκοποῦσιν· ταῦτα δ' ἐστὶ μέγεθος ἁρμονία ῥυθμός. τὰ μὲν οὖν ἆθλα σχεδὸν ἐκ τῶν ἀγώνων οὗτοι λαμβάνουσιν, καὶ καθάπερ ἐκεῖ μεῖζον δύνανται νῦν τῶν ποιητῶν οἱ ὑποκριταί, καὶ κατὰ τοὺς πολιτικοὺς ἀγῶνας διὰ τὴν μοχθηρίαν τῶν πολιτειῶν. οὔπω δὲ σύγκειται τέχνη περὶ αὐτῶν, ἐπεὶ

καὶ τὸ περὶ τὴν λέξιν ὀψὲ προῆλθεν· καὶ δοκεῖ φορτικὸν εἶναι, καλῶς ὑπολαμβανόμενον. ἀλλ' ὅλης οὔσης πρὸς δόξαν τῆς πραγματείας τῆς περὶ τὴν ῥητορικήν, οὐκ ὀρθῶς ἔχοντος, ἀλλ' ὡς ἀναγκαίου τὴν ἐπιμέλειαν ποιητέον, ἐπεὶ τό γε δίκαιον μηδὲν πλείω ζητεῖν περὶ τὸν λόγον ἢ ὡς μήτε λυπεῖν μήτε εὐφραίνειν· δίκαιον γὰρ αὐτοῖς ἀγωνίζεσθαι τοῖς πράγμασιν, ὥστε τἆλλα ἔξω τοῦ ἀποδεῖξαι περίεργά ἐστιν· ἀλλ' ὅμως μέγα δύναται, καθάπερ εἴρηται, διὰ τὴν τοῦ ἀκροατοῦ μοχθηρίαν. τὸ μὲν οὖν τῆς λέξεως ὅμως ἔχει τι μικρὸν ἀναγκαῖον ἐν πάσῃ διδασκαλίᾳ· διαφέρει γάρ τι πρὸς τὸ δηλῶσαι ὡδὶ ἢ ὡδὶ εἰπεῖν· οὐ μέντοι τοσοῦτον, ἀλλ' ἅπαντα φαντασία ταῦτ' ἐστὶ καὶ πρὸς τὸν ἀκροατήν· διὸ οὐδεὶς οὕτω γεωμετρεῖν διδάσκει. ἐκείνη μὲν οὖν ὅταν ἔλθῃ ταὐτὸ ποιήσει τῇ ὑποκριτικῇ, ἐγκεχειρήκασι δὲ ἐπ' ὀλίγον περὶ αὐτῆς εἰπεῖν τινές, οἷον Θρασύμαχος ἐν τοῖς ἐλέοις· καὶ ἔστι φύσεως τὸ ὑποκριτικὸν εἶναι, καὶ ἀτεχνότερον, περὶ δὲ τὴν λέξιν ἔντεχνον. διὸ καὶ τοῖς τοῦτο δυναμένοις γίνεται πάλιν ἆθλα, καθάπερ καὶ τοῖς κατὰ τὴν ὑπόκρισιν ῥήτορσιν· οἱ γὰρ γραφόμενοι λόγοι μεῖζον ἰσχύουσι διὰ τὴν λέξιν ἢ διὰ τὴν διάνοιαν.

ἤρξαντο μὲν οὖν κινῆσαι τὸ πρῶτον, ὥσπερ πέφυκεν, οἱ ποιηταί· τὰ γὰρ ὀνόματα μιμήματά ἐστιν, ὑπῆρξε δὲ καὶ ἡ φωνὴ πάντων μιμητικώτατον τῶν μορίων ἡμῖν· διὸ καὶ αἱ τέχναι συνέστησαν, ἥ τε ῥαψῳδία καὶ ἡ ὑποκριτικὴ καὶ ἄλλαι γε. ἐπεὶ δ' οἱ ποιηταὶ λέγοντες εὐήθη διὰ τὴν λέξιν ἐδόκουν πορίσασθαι τήνδε δόξαν, διὰ τοῦτο ποιητικὴ πρώτη ἐγένετο λέξις, οἷον ἡ Γοργίου. καὶ νῦν ἔτι οἱ πολλοὶ τῶν ἀπαιδεύτων τοὺς τοιούτους οἴονται διαλέγεσθαι κάλλιστα. τοῦτο δ' οὐκ ἔστιν, ἀλλ' ἑτέρα λόγου καὶ ποιήσεως λέξις ἐστίν. δηλοῖ δὲ τὸ συμβαῖνον· οὐδὲ γὰρ οἱ τὰς τραγῳδίας ποιοῦντες ἔτι χρῶνται τὸν

αὐτὸν τρόπον, ἀλλ' ὥσπερ καὶ ἐκ τῶν τετραμέτρων εἰς 1 τὸ ἰαμβεῖον μετέβησαν διὰ τὸ τῷ λόγῳ τοῦτο τῶν μέτρων ὁμοιότατον εἶναι τῶν ἄλλων, οὕτω καὶ τῶν ὀνομάτων [ἀφείκασιν] ὅσα παρὰ τὴν διάλεκτόν ἐστιν, οἷς οἱ πρότερον ἐκόσμουν, καὶ ἔτι νῦν οἱ τὰ ἑξάμετρα ποιοῦντες, ἀφείκασιν· διὸ γελοῖον μιμεῖσθαι τούτους οἳ αὐτοὶ οὐκέτι χρῶνται ἐκείνῳ τῷ τρόπῳ. ὥστε φανερὸν ὅτι οὐχ ἅπαντα ὅσα περὶ λέξεως ἔστιν εἰπεῖν ἀκριβολογητέον ἡμῖν, ἀλλ' ὅσα περὶ τοιαύτης οἵας λέγομεν. περὶ δ' ἐκείνης εἴρηται ἐν τοῖς περὶ ποιητικῆς.

ἔστω οὖν ἐκεῖνα τεθεωρημένα, καὶ ὡρίσθω λέξεως 2 ἀρετὴ σαφῆ εἶναι (σημεῖον γὰρ ὅτι ὁ λόγος, [ὡς] ἐὰν μὴ δηλοῖ, οὐ ποιήσει τὸ ἑαυτοῦ ἔργον·) καὶ μήτε ταπεινὴν μήτε ὑπὲρ τὸ ἀξίωμα, ἀλλὰ πρέπουσαν· ἡ γὰρ ποιητικὴ ἴσως οὐ ταπεινή, ἀλλ' οὐ πρέπουσα λόγῳ. τῶν δ' ὀνομάτων καὶ ῥημάτων σαφῆ μὲν ποιεῖ τὰ κύρια, μὴ ταπεινὴν δὲ ἀλλὰ κεκοσμημένην τἆλλα ὀνόματα ὅσα εἴρηται ἐν τοῖς περὶ ποιητικῆς· τὸ γὰρ ἐξαλλάξαι ποιεῖ φαίνεσθαι σεμνοτέραν· ὥσπερ γὰρ πρὸς τοὺς ξένους οἱ ἄνθρωποι καὶ πρὸς τοὺς πολίτας, τὸ αὐτὸ πάσχουσι καὶ πρὸς τὴν λέξιν. διὸ δεῖ ποιεῖν ξένην τὴν διάλεκτον· θαυμασταὶ γὰρ τῶν ἀπόντων εἰσίν, ἡδὺ δὲ τὸ θαυμαστόν. ἐπὶ μὲν οὖν τῶν μέτρων πολλά τε ποιεῖ τοῦτο, καὶ ἁρμόττει ἐκεῖ· πλέον γὰρ ἐξέστηκε περὶ ἃ καὶ περὶ οὓς ὁ λόγος· ἐν δὲ τοῖς ψιλοῖς λόγοις πολλῷ ἐλάττοσιν (ἡ γὰρ ὑπόθεσις ἐλάττων, ἐπεὶ καὶ ἐνταῦθα, εἰ δοῦλος καλλιεποῖτο ἢ λίαν νέος, ἀπρεπέστερον, [ἢ] περὶ λίαν μικρῶν· ἀλλ' ἔστι καὶ ἐν τούτοις ἐπισυστελλόμενον καὶ αὐξανόμενον τὸ πρέπον) διὸ δεῖ λανθάνειν ποιοῦντας, καὶ μὴ δοκεῖν λέγειν πεπλασμένως ἀλλὰ πεφυκότως· τοῦτο γὰρ πιθανόν, ἐκεῖνο δὲ τοὐναντίον· ὡς γὰρ πρὸς ἐπιβουλεύοντα διαβάλλονται, καθάπερ πρὸς τοὺς οἴνους τοὺς μεμιγμέ-

2 νους, καὶ οἷον ἡ Θεοδώρου φωνὴ πέπονθε πρὸς τὴν τῶν ἄλλων ὑποκριτῶν· ἡ μὲν γὰρ τοῦ λέγοντος ἔοικεν εἶναι, αἱ δ' ἀλλότριαι. κλέπτεται δ' εὖ, ἐάν τις ἐκ τῆς εἰωθυίας διαλέκτου ἐκλέγων συντιθῇ· ὅπερ Εὐριπίδης ποιεῖ καὶ ὑπέδειξε πρῶτος.

ὄντων δ' ὀνομάτων καὶ ῥημάτων ἐξ ὧν ὁ λόγος συνέστηκεν, τῶν δὲ ὀνομάτων τοσαῦτ' ἐχόντων εἴδη ὅσα τεθεώρηται ἐν τοῖς περὶ ποιητικῆς, τούτων γλώτταις μὲν καὶ διπλοῖς ὀνόμασι καὶ πεποιημένοις ὀλιγάκις καὶ ὀλιγαχοῦ χρηστέον· ὅπου δέ, ὕστερον ἐροῦμεν. τό τε διὰ τί εἴρηται· ἐπὶ τὸ μεῖζον γὰρ ἐξαλλάττει τοῦ πρέποντος. τὸ δὲ κύριον καὶ τὸ οἰκεῖον καὶ μεταφορὰ μόναι χρήσιμοι πρὸς τὴν τῶν ψιλῶν λόγων λέξιν. σημεῖον δέ, ὅτι τούτοις μόνοις πάντες χρῶνται· πάντες γὰρ μεταφοραῖς διαλέγονται καὶ τοῖς οἰκείοις καὶ τοῖς κυρίοις· ὥστε δῆλον ὡς ἂν εὖ ποιῇ τις, ἔσται τε ξενικὸν καὶ λανθάνειν ἐνδέχεται καὶ σαφηνιεῖ. αὕτη δ' ἦν ἡ τοῦ ῥητορικοῦ λόγου ἀρετή. τῶν δ' ὀνομάτων τῷ μὲν σοφιστῇ ὁμωνυμίαι χρήσιμοι (παρὰ ταύτας γὰρ κακουργεῖ), τῷ ποιητῇ δὲ συνωνυμίαι. λέγω δὲ κύριά τε καὶ συνώνυμα, οἷον τὸ πορεύεσθαι καὶ τὸ βαδίζειν· ταῦτα γὰρ ἀμφότερα καὶ κύρια καὶ συνώνυμα ἀλλήλοις.

τί μὲν οὖν τούτων ἕκαστόν ἐστι, καὶ πόσα εἴδη [μεταφορᾶς], καὶ ὅτι τοῦτο πλεῖστον δύναται καὶ ἐν ποιήσει καὶ ἐν λόγοις αἱ μεταφοραί, εἴρηται, καθάπερ ἐλέγομεν, ἐν τοῖς περὶ ποιητικῆς· τοσούτῳ δ' ἐν λόγῳ δεῖ μᾶλλον φιλοπονεῖσθαι περὶ αὐτῶν, ὅσῳ ἐξ ἐλαττόνων βοηθημάτων ὁ λόγος ἐστὶ τῶν μέτρων. καὶ τὸ σαφὲς καὶ τὸ ἡδὺ καὶ τὸ ξενικὸν ἔχει μάλιστα ἡ μεταφορά. καὶ λαβεῖν οὐκ ἔστιν αὐτὴν παρ' ἄλλου. δεῖ δὲ καὶ τὰ ἐπίθετα καὶ τὰς μεταφορὰς ἁρμοττούσας λέγειν. τοῦτο δ' ἔσται ἐκ τοῦ ἀνάλογον· εἰ δὲ μή, ἀπρεπὲς φανεῖται διὰ τὸ παράλληλα

τὰ ἐναντία μάλιστα φαίνεσθαι. ἀλλὰ δεῖ σκοπεῖν, ὡς 2
νέῳ φοινικίς, οὕτω γέροντι τί· οὐ γὰρ ἡ αὐτὴ πρέπει ἐσθής. καὶ ἐάν τε κοσμεῖν βούλῃ, ἀπὸ τοῦ βελτίονος τῶν ἐν ταὐτῷ γένει φέρειν τὴν μεταφοράν, ἐάν τε ψέγειν, ἀπὸ τῶν χειρόνων. λέγω δ' οἷον, ἐπεὶ τὰ ἐναντία ἐν τῷ αὐτῷ γένει, τὸ φάναι τὸν μὲν πτωχεύοντα εὔχεσθαι τὸν δὲ εὐχόμενον πτωχεύειν, ὅτι ἄμφω αἰτήσεις, τὸ εἰρημένον ἐστὶ ποιεῖν· ὡς καὶ Ἰφικράτης Καλλίαν μητραγύρτην ἀλλ' οὐ δᾳδοῦχον. ὁ δ' ἔφη ἀμύητον αὐτὸν εἶναι· οὐ γὰρ ἂν μητραγύρτην αὐτὸν καλεῖν, ἀλλὰ δᾳδοῦχον· ἄμφω γὰρ περὶ θεόν, ἀλλὰ τὸ μὲν τίμιον τὸ δὲ ἄτιμον. καὶ ὁ μὲν διονυσοκόλακας, αὐτοὶ δ' αὑτοὺς τεχνίτας καλοῦσιν· ταῦτα δ' ἄμφω μεταφορά, ἡ μὲν ῥυπαινόντων ἡ δὲ τοὐναντίον. καὶ οἱ μὲν λῃσταὶ αὑτοὺς ποριστὰς καλοῦσι νῦν· διὸ ἔξεστι λέγειν τὸν ἀδικήσαντα μὲν ἁμαρτάνειν, τὸν δ' ἁμαρτάνοντα ἀδικῆσαι, καὶ τὸν κλέψαντα καὶ λαβεῖν καὶ πορθῆσαι. τὸ δὲ ὡς ὁ Τήλεφος Εὐριπίδου φησί,

κώπας ἀνάσσειν κἀποβὰς εἰς Μυσίαν

ἀπρεπές, ὅτι μεῖζον τὸ ἀνάσσειν ἢ κατ' ἀξίαν· οὐ κέκλεπται οὖν. ἔστι δὲ καὶ ἐν ταῖς συλλαβαῖς ἁμαρτία, ἐὰν μὴ ἡδείας ᾖ σημεῖα φωνῆς, οἷον Διονύσιος προσαγορεύει ὁ χαλκοῦς ἐν τοῖς ἐλεγείοις κραυγὴν Καλλιόπης τὴν ποίησιν, ὅτι ἄμφω φωναί· φαύλη δὲ ἡ μεταφορὰ ταῖς ἀσήμοις φωναῖς. ἔτι δὲ οὐ πόρρωθεν δεῖ ἀλλ' ἐκ τῶν συγγενῶν καὶ τῶν ὁμοειδῶν μεταφέρειν τὰ ἀνώνυμα ὠνομασμένως, ὃ λεχθὲν δῆλόν ἐστιν ὅτι συγγενές, οἷον ἐν τῷ αἰνίγματι τῷ εὐδοκιμοῦντι

ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα·

ἀνώνυμον γὰρ τὸ πάθος, ἔστι δ' ἄμφω πρόσθεσίς τις· κόλλησιν τοίνυν εἶπε τὴν τῆς σικύας προσβολήν. καὶ ὅλως ἐκ τῶν εὖ ᾐνιγμένων ἔστι μεταφορὰς λαβεῖν ἐπιει-

3 τὸ σῶμα παρήμπισχεν ἀλλὰ τὴν τοῦ σώματος αἰσχύνην, καὶ ἀντίμιμον τὴν τῆς ψυχῆς ἐπιθυμίαν (τοῦτο δ' ἅμα καὶ διπλοῦν καὶ ἐπίθετον, ὥστε ποίημα γίνεται), καὶ οὕτως ἔξεδρον τὴν τῆς μοχθηρίας ὑπερβολήν. διὸ ποιητικῶς λέγοντες τῇ ἀπρεπείᾳ τὸ γελοῖον καὶ τὸ ψυχρὸν ἐμποιοῦσι, καὶ τὸ ἀσαφὲς διὰ τὴν ἀδολεσχίαν· ὅταν γὰρ γιγνώσκοντι ἐπεμβάλλῃ, διαλύει τὸ σαφὲς τῷ ἐπισκοτεῖν· οἱ δ' ἄνθρωποι τοῖς διπλοῖς χρῶνται, ὅταν ἀνώνυμον ᾖ καὶ ὁ λόγος εὐσύνθετος, οἷον τὸ χρονοτριβεῖν· ἀλλ' ἂν πολύ, πάντως ποιητικόν. διὸ χρησιμωτάτη ἡ διπλῆ λέξις τοῖς διθυραμβοποιοῖς· οὗτοι γὰρ ψοφώδεις· αἱ δὲ γλῶτται τοῖς ἐποποιοῖς· σεμνὸν γὰρ καὶ αὔθαδες· ἡ μεταφορὰ δὲ τοῖς ἰαμβείοις· τούτοις γὰρ νῦν χρῶνται, ὥσπερ εἴρηται. καὶ ἔτι τέταρτον τὸ ψυχρὸν ἐν ταῖς μεταφοραῖς γίγνεται· εἰσὶ γὰρ καὶ μεταφοραὶ ἀπρεπεῖς, αἱ μὲν διὰ τὸ γελοῖον (χρῶνται γὰρ καὶ οἱ κωμῳδοποιοὶ μεταφοραῖς), αἱ δὲ διὰ τὸ σεμνὸν ἄγαν καὶ τραγικόν· ἀσαφεῖς δέ, ἂν πόρρωθεν. οἷον Γοργίας „χλωρὰ καὶ ἔναιμα τὰ πράγματα· σὺ δὲ ταῦτα αἰσχρῶς μὲν ἔσπειρας, κακῶς δὲ ἐθέρισας·“ ποιητικῶς γὰρ ἄγαν. καὶ ὡς Ἀλκιδάμας τὴν φιλοσοφίαν ἐπιτείχισμα τῶν νόμων, καὶ τὴν Ὀδύσσειαν καλὸν ἀνθρωπίνου βίου κάτοπτρον, καὶ „οὐδὲν τοιοῦτον ἄθυρμα τῇ ποιήσει προσφέρων·“ ἅπαντα γὰρ ταῦτα ἀπίθανα διὰ τὰ εἰρημένα. τὸ δὲ Γοργίου εἰς τὴν χελιδόνα, ἐπεὶ κατ' αὐτοῦ πετομένη ἀφῆκε τὸ περίττωμα, ἄριστα τῶν τραγικῶν· εἶπε γὰρ „αἰσχρόν γε ὦ Φιλομήλα.“ ὄρνιθι μὲν γάρ, εἰ ἐποίησεν, οὐκ αἰσχρόν, παρθένῳ δὲ αἰσχρόν. εὖ οὖν ἐλοιδόρησεν εἰπὼν ὃ ἦν, ἀλλ' οὐχ ὃ ἔστιν.

4 Ἔστι δὲ καὶ ἡ εἰκὼν μεταφορά· διαφέρει γὰρ μικρόν· ὅταν μὲν γὰρ εἴπῃ τὸν Ἀχιλλέα

ὡς δὲ λέων ἐπόρουσεν,

εἰκών ἐστιν, ὅταν δὲ „λέων ἐπόρουσε,“ μεταφορά· διὰ 4
γὰρ τὸ ἄμφω ἀνδρείους εἶναι, προσηγόρευσε μετενέγκας λέοντα τὸν Ἀχιλλέα. χρήσιμον δὲ ἡ εἰκὼν καὶ ἐν λόγῳ, ὀλιγάκις δέ· ποιητικὸν γάρ. οἰστέαι δὲ ὥσπερ αἱ μεταφοραί· μεταφοραὶ γάρ εἰσι διαφέρουσαι τῷ εἰρημένῳ. εἰσὶ δ' εἰκόνες οἷον ἣν Ἀνδροτίων εἰς Ἰδριέα, ὅτι ὅμοιος τοῖς ἐκ τῶν δεσμῶν κυνιδίοις· ἐκεῖνά τε γὰρ προσπίπτοντα δάκνειν, καὶ Ἰδριέα λυθέντα ἐκ τῶν δεσμῶν εἶναι χαλεπόν. καὶ ὡς Θεοδάμας εἴκαζεν Ἀρχίδαμον Εὐξένῳ γεωμετρεῖν οὐκ ἐπισταμένῳ ἐν τῷ ἀνάλογον· ἔσται γὰρ καὶ ὁ Εὔξενος Ἀρχίδαμος γεωμετρικός. καὶ τὸ ἐν τῇ πολιτείᾳ τῇ Πλάτωνος, ὅτι οἱ τοὺς τεθνεῶτας σκυλεύοντες ἐοίκασι τοῖς κυνιδίοις, ἃ τοὺς λίθους δάκνει τοῦ βάλλοντος οὐχ ἁπτόμενα. καὶ ἡ εἰς τὸν δῆμον, ὅτι ὅμοιος ναυκλήρῳ ἰσχυρῷ μὲν ὑποκώφῳ δέ. καὶ ἡ εἰς τὰ μέτρα τῶν ποιητῶν, ὅτι ἔοικε τοῖς ἄνευ κάλλους ὡραίοις· οἱ μὲν γὰρ ἀπανθήσαντες, τὰ δὲ διαλυθέντα οὐχ ὅμοια φαίνεται. καὶ ἡ Περικλέους εἰς Σαμίους, ἐοικέναι αὐτοὺς τοῖς παιδίοις ἃ τὸν ψωμὸν δέχεται μέν, κλαίοντα δέ. καὶ εἰς Βοιωτούς, ὅτι ὅμοιοι τοῖς πρίνοις· τούς τε γὰρ πρίνους ὑφ' αὑτῶν κατακόπτεσθαι, καὶ τοὺς Βοιωτοὺς πρὸς ἀλλήλους μαχομένους. καὶ ὁ Δημοσθένης τὸν δῆμον, ὅτι ὅμοιός ἐστι τοῖς ἐν τοῖς πλοίοις ναυτιῶσιν. καὶ ὡς Δημοκράτης εἴκασε τοὺς ῥήτορας ταῖς τίτθαις αἳ τὸ ψώμισμα καταπίνουσαι τῷ σιάλῳ τὰ παιδία παραλείφουσιν. καὶ ὡς Ἀντισθένης Κηφισόδοτον τὸν λεπτὸν λιβανωτῷ εἴκασεν, ὅτι ἀπολλύμενος εὐφραίνει. πάσας γὰρ ταύτας καὶ ὡς εἰκόνας καὶ ὡς μεταφορὰς ἔξεστι λέγειν· ὥστε ὅσαι ἂν εὐδοκιμῶσιν ὡς μεταφοραὶ λεχθεῖσαι, δῆλον ὅτι αὗται καὶ εἰκόνες ἔσονται, καὶ αἱ εἰκόνες μεταφοραὶ λόγου δεόμεναι. ἀεὶ δὲ δεῖ τὴν μεταφορὰν τὴν ἐκ τοῦ ἀνάλογον ἀνταποδιδόναι καὶ ἐπὶ θάτερα καὶ ἐπὶ τῶν ὁμογε-

4 νῶν· οἷον εἰ ἡ φιάλη ἀσπὶς Διονύσου, καὶ τὴν ἀσπίδα ἁρμόττει λέγεσθαι φιάλην Ἄρεος.

5 ὁ μὲν οὖν λόγος συντίθεται ἐκ τούτων, ἔστι δ' ἀρχὴ τῆς λέξεως τὸ ἑλληνίζειν· τοῦτο δ' ἐστὶν ἐν πέντε, πρῶτον μὲν ἐν τοῖς συνδέσμοις, ἂν ἀποδιδῷ τις ὡς πεφύκασι πρότεροι καὶ ὕστεροι γίγνεσθαι ἀλλήλων, οἷον ἔνιοι ἀπαιτοῦσιν, ὥσπερ ὁ μέν καὶ ὁ ἐγὼ μέν ἀπαιτεῖ τὸν δέ καὶ τὸν ὁ δέ. δεῖ δὲ ἕως μέμνηται ἀνταποδιδόναι ἀλλήλοις, καὶ μήτε μακρὰν ἀπαρτᾶν μήτε σύνδεσμον πρὸ συνδέσμου ἀποδιδόναι τοῦ ἀναγκαίου· ὀλιγαχοῦ γὰρ ἁρμόττει. „ἐγὼ δ', ἐπεί μοι εἶπεν (ἦλθε γὰρ Κλέων δεόμενός τε καὶ ἀξιῶν) ἐπορευόμην παραλαβὼν αὐτούς.“ ἐν τούτοις γὰρ πολλοὶ πρὸ τοῦ ἀποδοθησομένου συνδέσμου προεμβέβληνται σύνδεσμοι. ἐὰν δὲ πολὺ τὸ μεταξὺ γένηται τοῦ ἐπορευόμην, ἀσαφές. ἓν μὲν δὴ τὸ εὖ ἐν τοῖς συνδέσμοις, δεύτερον δὲ τὸ τοῖς ἰδίοις ὀνόμασι λέγειν καὶ μὴ τοῖς περιέχουσιν. τρίτον, μὴ ἀμφιβόλοις· ταῦτα δέ, ἂν μὴ τἀναντία προαιρῆται. ὅπερ ποιοῦσιν, ὅταν μηθὲν μὲν ἔχωσι λέγειν, προσποιῶνται δέ τι λέγειν· οἱ γὰρ τοιοῦτοι ἐν ποιήσει λέγουσι ταῦτα, οἷον Ἐμπεδοκλῆς· φενακίζει γὰρ τὸ κύκλῳ πολὺ ὄν, καὶ πάσχουσιν οἱ ἀκροαταὶ ὅπερ οἱ πολλοὶ παρὰ τοῖς μάντεσιν· ὅταν γὰρ λέγωσιν ἀμφίβολα, συμπαρανεύουσιν.

Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει.

καὶ διὰ τὸ ὅλως ἔλαττον εἶναι ἁμάρτημα, διὰ τῶν γενῶν τοῦ πράγματος λέγουσιν οἱ μάντεις· τύχοι γὰρ ἄν τις μᾶλλον ἐν τοῖς ἀρτιασμοῖς ἄρτια ἢ περισσὰ εἰπὼν μᾶλλον ἢ πόσα ἔχει, καὶ τὸ ὅτι ἔσται ἢ τὸ πότε, διὸ οἱ χρησμολόγοι οὐ προσορίζονται τὸ πότε. ἅπαντα δὴ ταῦτα ὅμοια· ὥστ' ἂν μὴ τοιούτου τινὸς ἕνεκα, φευκτέον. τέταρτον, ὡς Πρωταγόρας τὰ γένη τῶν ὀνομάτων διῄρει, ἄρρενα καὶ θήλεα καὶ σκεύη· δεῖ γὰρ ἀποδιδόναι καὶ ταῦτα

ὀρθῶς· „ἡ δ' ἐλθοῦσα καὶ διαλεχθεῖσα ᾤχετο.“ 5 πέμπτον, ἐν τῷ τὰ πολλὰ καὶ ὀλίγα καὶ ἓν ὀρθῶς ὀνομάζειν· „οἱ δ' ἐλθόντες ἔτυπτόν με.“

ὅλως δὲ δεῖ εὐανάγνωστον εἶναι τὸ γεγραμμένον καὶ εὔφραστον· ἔστι δὲ τὸ αὐτό. ὅπερ οἱ πολλοὶ σύνδεσμοι οὐκ ἔχουσιν, οὐδ' ἃ μὴ ῥᾴδιον διαστίξαι, ὥσπερ τὰ Ἡρακλείτου. τὰ γὰρ Ἡρακλείτου διαστίξαι ἔργον διὰ τὸ ἄδηλον εἶναι ποτέρῳ πρόσκειται, τῷ ὕστερον ἢ τῷ πρότερον, οἷον ἐν τῇ ἀρχῇ αὐτοῦ τοῦ συγγράμματος· φησὶ γὰρ „τοῦ λόγου τοῦδ' ἐόντος ἀεὶ ἀξύνετοι ἄνθρωποι γίγνονται.“ ἄδηλον γὰρ τὸ ἀεί, πρὸς ὁποτέρῳ διαστίξαι. ἔτι τάδε ποιεῖ σολοικίζειν τὸ μὴ ἀποδιδόναι, ἐὰν μὴ ἐπιζευγνύῃς ἀμφοῖν ὃ ἁρμόττει· οἷον ἢ ψόφον ἢ χρῶμα, τὸ μὲν ἰδών οὐ κοινόν, τὸ δ' αἰσθόμενος κοινόν. ἀσαφῆ δὲ ἂν μὴ προθεὶς εἴπῃς, μέλλων πολλὰ μεταξὺ ἐμβάλλειν· οἷον „ἔμελλον γὰρ διαλεχθεὶς ἐκείνῳ τάδε καὶ τάδε καὶ ὧδε πορεύεσθαι,“ ἀλλὰ μὴ „ἔμελλον γὰρ διαλεχθεὶς πορεύεσθαι, εἶτα τάδε καὶ τάδε καὶ ὧδε ἐγένετο.“

εἰς ὄγκον δὲ τῆς λέξεως συμβάλλεται τάδε, τῷ λόγῳ 6 χρῆσθαι ἀντ' ὀνόματος, οἷον μὴ κύκλον, ἀλλ' ἐπίπεδον τὸ ἐκ τοῦ μέσου ἴσον. εἰς δὲ συντομίαν τὸ ἐναντίον, ἀντὶ τοῦ λόγου ὄνομα. καὶ ἐὰν αἰσχρὸν ἢ ἀπρεπές· ἐὰν μὲν ἐν τῷ λόγῳ ᾖ αἰσχρόν, τοὔνομα λέγειν, ἐὰν δ' ἐν τῷ ὀνόματι, τὸν λόγον. καὶ μεταφοραῖς δηλοῦν καὶ τοῖς ἐπιθέτοις, εὐλαβούμενον τὸ ποιητικόν. καὶ τὸ ἓν πολλὰ ποιεῖν, ὅπερ οἱ ποιηταὶ ποιοῦσιν· ἑνὸς ὄντος λιμένος ὅμως λέγουσι

λιμένας εἰς Ἀχαϊκούς

καὶ

δέλτου μὲν αἵδε πολύθυροι διαπτυχαί.

καὶ μὴ ἐπιζευγνύναι, ἀλλ' ἑκατέρῳ ἑκάτερον, „τῆς γυναικὸς τῆς ἡμετέρας·“ ἐὰν δὲ συντόμως, τοὐναντίον

6 „τῆς ἡμετέρας γυναικός.“ καὶ μετὰ συνδέσμου λέγειν· ἐὰν δὲ συντόμως, ἄνευ μὲν συνδέσμου, μὴ ἀσύνδετα δέ, οἷον πορευθεὶς καὶ διαλεχθείς, πορευθεὶς διελέχθην. καὶ τὸ Ἀντιμάχου χρήσιμον, ἐξ ὧν μὴ ἔχει λέγειν, ὃ ἐκεῖνος ποιεῖ ἐπὶ τοῦ Τευμησσοῦ,

ἔστι τις ἠνεμόεις ὀλίγος λόφος·

αὔξεται γὰρ οὕτως εἰς ἄπειρον. ἔστι δὲ τοῦτο καὶ ἐπὶ ἀγαθῶν καὶ κακῶν, ὅπως οὐκ ἔχει, ὁποτέρως ἂν ᾖ χρήσιμον. ὅθεν καὶ τὰ ὀνόματα οἱ ποιηταὶ φέρουσι, τὸ ἄχορδον καὶ τὸ ἄλυρον μέλος· ἐκ τῶν στερήσεων γὰρ ἐπιφέρουσιν· εὐδοκιμεῖ γὰρ τοῦτο ἐν ταῖς μεταφοραῖς λεγόμενον ταῖς ἀνάλογον, οἷον τὸ φάναι τὴν σάλπιγγα εἶναι μέλος ἄλυρον.

7 τὸ δὲ πρέπον ἕξει ἡ λέξις, ἐὰν ᾖ παθητική τε καὶ ἠθικὴ καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἀνάλογον. τὸ δ' ἀνάλογόν ἐστιν, ἐὰν μήτε περὶ εὐόγκων αὐτοκαβδάλως λέγηται μήτε περὶ εὐτελῶν σεμνῶς, μηδ' ἐπὶ τῷ εὐτελεῖ ὀνόματι ἐπῇ κόσμος· εἰ δὲ μή, κωμῳδία φαίνεται, οἷον ποιεῖ Κλεοφῶν· ὁμοίως γὰρ ἔνια ἔλεγε καὶ εἰ εἴπειεν ἂν „πότνια συκῆ.“ παθητικὴ δέ, ἐὰν μὲν ᾖ ὕβρις, ὀργιζομένου λέξις, ἐὰν δὲ ἀσεβῆ καὶ αἰσχρά, δυσχεραίνοντος καὶ εὐλαβουμένου καὶ λέγειν, ἐὰν δὲ ἐπαινετά, ἀγαμένως, ἐὰν δὲ ἐλεεινά, ταπεινῶς, καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως. πιθανοῖ τε τὸ πρᾶγμα καὶ ἡ οἰκεία λέξις· παραλογίζεται γὰρ ἡ ψυχὴ ὡς ἀληθῶς λέγοντος, ὅτι ἐπὶ τοῖς τοιούτοις οὕτως ἔχουσιν, ὥστ' οἴονται, εἰ καὶ μὴ οὕτως ἔχει, ὡς ὁ λέγων, τὰ πράγματα οὕτως ἔχειν, καὶ συνομοιοπαθεῖ ὁ ἀκούων ἀεὶ τῷ παθητικῶς λέγοντι, κἂν μηθὲν λέγῃ. διὸ πολλοὶ καταπλήττουσι τοὺς ἀκροατὰς θορυβοῦντες. καὶ ἠθικὴ δὲ αὕτη ἡ ἐκ τῶν σημείων δεῖξις, ὅτι ἀκολουθεῖ ἡ ἁρμόττουσα ἑκάστῳ γένει καὶ ἕξει. λέγω δὲ γένος μὲν καθ' ἡλικίαν, οἷον παῖς ἢ ἀνὴρ

γέρων, καὶ γυνὴ ἢ ἀνήρ, καὶ Λάκων ἢ Θετταλός, ἕξεις 7
δέ, καθ' ἃς ποιός τις τῷ βίῳ· οὐ γὰρ καθ' ἅπασαν ἕξιν οἱ βίοι ποιοί τινες. ἐὰν οὖν καὶ τὰ ὀνόματα οἰκεῖα λέγῃ τῇ ἕξει, ποιήσει τὸ ἦθος· οὐ γὰρ ταὐτὰ οὐδ' ὡσαύτως ἀγροῖκος ἂν καὶ πεπαιδευμένος εἴπειεν. πάσχουσι δέ τι οἱ ἀκροαταὶ καὶ ᾧ κατακόρως χρῶνται οἱ λογογράφοι, „τίς δ' οὐκ οἶδεν;“ „ἅπαντες ἴσασιν·“ ὁμολογεῖ γὰρ ὁ ἀκούων αἰσχυνόμενος, ὅπως μετέχῃ οὗπερ καὶ οἱ ἄλλοι πάντες.

τὸ δ' εὐκαίρως ἢ μὴ εὐκαίρως χρῆσθαι κοινὸν ἁπάντων τῶν εἰδῶν ἐστίν. ἄκος δ' ἐπὶ πάσῃ ὑπερβολῇ τὸ θρυλούμενον· δεῖ γὰρ αὐτὸν αὑτῷ προσεπιπλήττειν· δοκεῖ γὰρ ἀληθὲς εἶναι, ἐπεὶ οὐ λανθάνει γε ὃ ποιεῖ τὸν λέγοντα. ἔτι τοῖς ἀνάλογον μὴ πᾶσιν ἅμα χρήσασθαι· οὕτω γὰρ κλέπτεται ὁ ἀκροατής. λέγω δὲ οἷον ἐὰν τὰ ὀνόματα σκληρὰ ᾖ, μὴ καὶ τῇ φωνῇ καὶ τῷ προσώπῳ καὶ τοῖς ἁρμόττουσιν· εἰ δὲ μή, φανερὸν γίνεται ἕκαστον ὅ ἐστιν. ἐὰν δὲ τὸ μὲν τὸ δὲ μή, λανθάνει ποιῶν τὸ αὐτό. ἐὰν οὖν τὰ μαλακὰ σκληρῶς καὶ τὰ σκληρὰ μαλακῶς λέγηται, ἀπίθανον γίγνεται. τὰ δὲ ὀνόματα τὰ διπλᾶ καὶ τὰ ἐπίθετα πλείω καὶ τὰ ξένα μάλιστα ἁρμόττει λέγοντι παθητικῶς· συγγνώμη γὰρ ὀργιζομένῳ κακὸν φάναι οὐρανόμηκες ἢ πελώριον εἰπεῖν. καὶ ὅταν ἔχῃ ἤδη τοὺς ἀκροατὰς καὶ ποιήσῃ ἐνθουσιάσαι ἢ ἐπαίνοις ἢ ψόγοις ἢ ὀργῇ ἢ φιλίᾳ, οἷον καὶ Ἰσοκράτης ποιεῖ ἐν τῷ πανηγυρικῷ ἐπὶ τέλει, „φήμη δὲ καὶ γνώμη“ καὶ „οἵ τινες ἔτλησαν·“ φθέγγονταί τε γὰρ τὰ τοιαῦτα ἐνθουσιάζοντες, ὥστε καὶ ἀποδέχονται δῆλον ὅτι ὁμοίως ἔχοντες. διὸ καὶ τῇ ποιήσει ἥρμοσεν· ἔνθεον γὰρ ἡ ποίησις. ἢ δὴ οὕτω δεῖ, ἢ μετ' εἰρωνείας, ὥσπερ Γοργίας ἐποίει καὶ τὰ ἐν τῷ Φαίδρῳ.

τὸ δὲ σχῆμα τῆς λέξεως δεῖ μήτε ἔμμετρον εἶναι 8

8 μήτε ἄρρυθμον· τὸ μὲν γὰρ ἀπίθανον (πεπλάσθαι γὰρ δοκεῖ) καὶ ἅμα καὶ ἐξίστησιν· προσέχειν γὰρ ποιεῖ τῷ ὁμοίῳ, πότε πάλιν ἥξει. ὥσπερ οὖν τῶν κηρύκων προλαμβάνουσι τὰ παιδία τὸ „τίνα αἱρεῖται ἐπίτροπον ὁ ἀπελευθερούμενος; Κλέωνα.“ τὸ δὲ ἄρρυθμον ἀπέραντον, δεῖ δὲ πεπεράνθαι μέν, μὴ μέτρῳ δέ· ἀηδὲς γὰρ καὶ ἄγνωστον τὸ ἄπειρον. περαίνεται δὲ ἀριθμῷ πάντα· ὁ δὲ τοῦ σχήματος τῆς λέξεως ἀριθμὸς ῥυθμός ἐστιν, οὗ καὶ τὰ μέτρα τμητά. διὸ ῥυθμὸν δεῖ ἔχειν τὸν λόγον, μέτρον δὲ μή· ποίημα γὰρ ἔσται. ῥυθμὸν δὲ μὴ ἀκριβῶς· τοῦτο δὲ ἔσται, ἐὰν μέχρι του ᾖ. τῶν δὲ ῥυθμῶν ὁ μὲν ἡρῷος σεμνὸς καὶ λεκτικῆς ἁρμονίας δεόμενος, ὁ δ' ἴαμβος αὐτή ἐστιν ἡ λέξις ἡ τῶν πολλῶν· διὸ μάλιστα πάντων τῶν μέτρων ἰαμβεῖα φθέγγονται λέγοντες. δεῖ δὲ σεμνότητα γενέσθαι καὶ ἐκστῆσαι. ὁ δὲ τροχαῖος κορδακικώτερος· δηλοῖ δὲ τὰ τετράμετρα· ἔστι γὰρ τροχερὸς ῥυθμὸς τὰ τετράμετρα. λείπεται δὲ παιάν, ᾧ ἐχρῶντο μὲν ἀπὸ Θρασυμάχου ἀρξάμενοι, οὐκ εἶχον δὲ λέγειν τίς ἦν. ἔστι δὲ τρίτος ὁ παιάν, καὶ ἐχόμενος τῶν εἰρημένων· τρία γὰρ πρὸς δύ' ἐστίν, ἐκείνων δὲ ὁ μὲν ἓν πρὸς ἕν, ὁ δὲ δύο πρὸς ἕν. ἔχεται δὲ τῶν λόγων τούτων ὁ ἡμιόλιος· οὗτος δ' ἐστὶν ὁ παιάν. οἱ μὲν οὖν ἄλλοι διά τε τὰ εἰρημένα ἀφετέοι, καὶ διότι μετρικοί· ὁ δὲ παιὰν ληπτέος· ἀπὸ μόνου γὰρ οὐκ ἔστι μέτρον τῶν ῥηθέντων ῥυθμῶν, ὥστε μάλιστα λανθάνειν. νῦν μὲν οὖν χρῶνται τῷ ἑνὶ παιᾶνι καὶ ἀρχόμενοι, δεῖ δὲ διαφέρειν τὴν τελευτὴν τῆς ἀρχῆς. ἔστι δὲ παιᾶνος δύο εἴδη ἀντικείμενα ἀλλήλοις, ὧν τὸ μὲν ἐν ἀρχῇ ἁρμόττει, ὥσπερ καὶ χρῶνται· οὗτος δ' ἐστὶν οὗ ἄρχει μὲν ἡ μακρά, τελευτῶσι δὲ τρεῖς βραχεῖαι,

Δαλογενὲς εἴτε Λυκίαν

καὶ

χρυσεοκόμα Ἕκατε παῖ Διός. 8

ἕτερος δ' ἐξ ἐναντίας, οὗ βραχεῖαι ἄρχουσι τρεῖς, ἡ δὲ μακρὰ τελευταία·

μετὰ δὲ γᾶν ὕδατά τ' ὠκεανὸν ἠφάνισε νύξ.

οὗτος δὲ τελευτὴν ποιεῖ· ἡ γὰρ βραχεῖα διὰ τὸ ἀτελὴς εἶναι ποιεῖ κολοβόν. ἀλλὰ δεῖ τῇ μακρᾷ ἀποκόπτεσθαι καὶ δήλην εἶναι τὴν τελευτήν, μὴ διὰ τὸν γραφέα, μηδὲ διὰ τὴν παραγραφήν, ἀλλὰ διὰ τὸν ῥυθμόν.

ὅτι μὲν οὖν εὔρυθμον δεῖ εἶναι τὴν λέξιν καὶ μὴ ἄρρυθμον, καὶ τίνες εὔρυθμον ποιοῦσι ῥυθμοὶ καὶ πῶς ἔχοντες, εἴρηται· τὴν δὲ λέξιν ἀνάγκη εἶναι ἢ εἰρομένην 9
καὶ τῷ συνδέσμῳ μίαν, ὥσπερ αἱ ἐν τοῖς διθυράμβοις ἀναβολαί, ἢ κατεστραμμένην καὶ ὁμοίαν ταῖς τῶν ἀρχαίων ποιητῶν ἀντιστρόφοις. ἡ μὲν οὖν εἰρομένη λέξις ἡ ἀρχαία ἐστίν· „Ἡροδότου Θουρίου ἥδ' ἱστορίης ἀπόδεξις·“ ταύτῃ γὰρ πρότερον μὲν ἅπαντες, νῦν δὲ οὐ πολλοὶ χρῶνται. λέγω δὲ εἰρομένην, ἣ οὐδὲν ἔχει τέλος καθ' αὑτήν, ἂν μὴ τὸ πρᾶγμα λεγόμενον τελειωθῇ. ἔστι δὲ ἀηδὴς διὰ τὸ ἄπειρον· τὸ γὰρ τέλος πάντες βούλονται καθορᾶν. διόπερ ἐπὶ τοῖς καμπτῆρσιν ἐκπνέουσι καὶ ἐκλύονται· προορῶντες γὰρ τὸ πέρας οὐ κάμνουσι πρότερον. ἡ μὲν οὖν εἰρομένη τῆς λέξεώς ἐστιν ἥδε, κατεστραμμένη δὲ ἡ ἐν περιόδοις· λέγω δὲ περίοδον λέξιν ἔχουσαν ἀρχὴν καὶ τελευτὴν αὐτὴν καθ' αὑτὴν καὶ μέγεθος εὐσύνοπτον. ἡδεῖα δ' ἡ τοιαύτη καὶ εὐμαθής, ἡδεῖα μὲν διὰ τὸ ἐναντίως ἔχειν τῷ ἀπεράντῳ, καὶ ὅτι ἀεί τι οἴεται ἔχειν ὁ ἀκροατὴς τῷ ἀεὶ πεπεράνθαι τι αὑτῷ· τὸ δὲ μηδὲν προνοεῖν εἶναι μηδὲ ἀνύειν ἀηδές. εὐμαθὴς δέ, ὅτι εὐμνημόνευτος. τοῦτο δέ, ὅτι ἀριθμὸν ἔχει ἡ ἐν περιόδοις λέξις, ὃ πάντων εὐμνημονευτότατον. διὸ καὶ τὰ μέτρα πάντες μνημονεύουσι μᾶλλον τῶν χύδην· ἀριθμὸν γὰρ ἔχει ᾧ μετρεῖται. δεῖ δὲ τὴν περίοδον καὶ

9 τῇ διανοίᾳ τετελειῶσθαι, καὶ μὴ διακόπτεσθαι ὥσπερ τὰ Σοφοκλέους ἰαμβεῖα,

Καλυδὼν μὲν ἥδε γαῖα Πελοπείας χθονός·

τοὐναντίον γὰρ ἔστιν ὑπολαβεῖν τῷ διαιρεῖσθαι, ὥσπερ καὶ ἐπὶ τοῦ εἰρημένου τὴν Καλυδῶνα εἶναι τῆς Πελοποννήσου.

περίοδος δὲ ἡ μὲν ἐν κώλοις, ἡ δ' ἀφελής. ἔστι δ' ἐν κώλοις μὲν λέξις ἡ τετελειωμένη τε καὶ διῃρημένη καὶ εὐανάπνευστος, μὴ ἐν τῇ διαιρέσει [ὥσπερ καὶ ἡ περίοδος] ἀλλ' ὅλη. κῶλον δ' ἐστὶ τὸ ἕτερον μόριον ταύτης. ἀφελῆ δὲ λέγω τὴν μονόκωλον. δεῖ δὲ καὶ τὰ κῶλα καὶ τὰς περιόδους μήτε μυούρους εἶναι μήτε μακράς. τὸ μὲν γὰρ μικρὸν προσπταίειν πολλάκις ποιεῖ τὸν ἀκροατήν· ἀνάγκη γάρ, ὅταν ἔτι ὁρμῶν ἐπὶ τὸ πόρρω καὶ τὸ μέτρον, οὗ ἔχει ἐν ἑαυτῷ ὅρον, ἀντισπασθῇ παυσαμένου, οἷον προσπταίειν γίγνεσθαι διὰ τὴν ἀντίκρουσιν. τὰ δὲ μακρὰ ἀπολείπεσθαι ποιεῖ, ὥσπερ οἱ ἐξωτέρω ἀποκάμπτοντες τοῦ τέρματος· ἀπολείπουσι γὰρ καὶ οὗτοι τοὺς συμπεριπατοῦντας. ὁμοίως δὲ καὶ αἱ περίοδοι αἱ μακραὶ οὖσαι λόγος γίνεται καὶ ἀναβολῇ ὅμοιον. ὥστε γίνεται ὃ ἔσκωψε Δημόκριτος ὁ Χῖος εἰς Μελανιππίδην ποιήσαντα ἀντὶ τῶν ἀντιστρόφων ἀναβολάς,

οἷ τ' αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων,
ἡ δὲ μακρὰ ἀναβολὴ τῷ ποιήσαντι κακίστη·

ἁρμόττει γὰρ τὸ τοιοῦτον καὶ εἰς τοὺς μακροκώλους λέγειν. αἵ τε λίαν βραχύκωλοι οὐ περίοδος γίγνεται· προπετῆ οὖν ἄγει τὸν ἀκροατήν.

τῆς δὲ ἐν κώλοις λέξεως ἡ μὲν διῃρημένη ἐστὶν ἡ δὲ ἀντικειμένη, διῃρημένη μὲν οἷον „πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγαγόντων καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων“, ἀντικειμένη δέ, ἐν ᾗ ἑκατέρῳ τῷ κώλῳ ἢ πρὸς ἐναντίῳ ἐναντίον σύγκειται ἢ ταὐτὸ

ἐπέζευκται τοῖς ἐναντίοις, οἷον „ἀμφοτέρους δ' ὤνησαν, 9 καὶ τοὺς ὑπομείναντας καὶ τοὺς ἀκολουθήσαντας· τοῖς μὲν γὰρ πλείω τῆς οἴκοι προσεκτήσαντο, τοῖς δὲ ἱκανὴν τὴν οἴκοι κατέλιπον.“ ἐναντία ὑπομονὴ ἀκολούθησις, ἱκανὸν πλεῖον. „ὥστε καὶ τοῖς χρημάτων δεομένοις καὶ τοῖς ἀπολαῦσαι βουλομένοις·“ ἀπόλαυσις κτήσει ἀντίκειται. καὶ ἔτι „συμβαίνει πολλάκις ἐν ταύταις καὶ τοὺς φρονίμους ἀτυχεῖν καὶ τοὺς ἄφρονας κατορθοῦν.“ „εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν, οὐ πολὺ δὲ ὕστερον τὴν ἀρχὴν τῆς θαλάττης ἔλαβον.“ „πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης, τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δ' Ἄθω διορύξας.“ „καὶ φύσει πολίτας ὄντας νόμῳ τῆς πόλεως στέρεσθαι.“ „οἱ μὲν γὰρ αὐτῶν κακῶς ἀπώλοντο, οἱ δ' αἰσχρῶς ἐσώθησαν.“ „ἰδίᾳ μὲν τοῖς βαρβάροις οἰκέταις χρῆσθαι, κοινῇ δὲ πολλοὺς τῶν συμμάχων περιορᾶν δουλεύοντας.“ „ἢ ζῶντας ἕξειν ἢ τελευτήσαντας καταλείψειν.“ καὶ ὃ εἰς Πειθόλαόν τις εἶπε καὶ Λυκόφρονα ἐν τῷ δικαστηρίῳ, „οὗτοι δ' ὑμᾶς οἴκοι μὲν ὄντες ἐπώλουν, ἐλθόντες δ' ὡς ὑμᾶς ἐώνηνται.“ ἅπαντα γὰρ ταῦτα ποιεῖ τὸ εἰρημένον. ἡδεῖα δ' ἐστὶν ἡ τοιαύτη λέξις, ὅτι τἀναντία γνωριμώτατα καὶ παράλληλα μᾶλλον γνώριμα, καὶ ὅτι ἔοικε συλλογισμῷ· ὁ γὰρ ἔλεγχος συναγωγὴ τῶν ἀντικειμένων ἐστίν.

ἀντίθεσις μὲν οὖν τὸ τοιοῦτόν ἐστιν, παρίσωσις δ' ἐὰν ἴσα τὰ κῶλα, παρομοίωσις δ' ἐὰν ὅμοια τὰ ἔσχατα ἔχῃ ἑκάτερον τὸ κῶλον. ἀνάγκη δὲ ἢ ἐν ἀρχῇ ἢ ἐπὶ τελευτῆς ἔχειν. καὶ ἀρχὴ μὲν ἀεὶ τὰ ὀνόματα, ἡ δὲ τελευτὴ τὰς ἐσχάτας συλλαβὰς ἢ τοῦ αὐτοῦ ὀνόματος πτώσεις ἢ τὸ αὐτὸ ὄνομα. ἐν ἀρχῇ μὲν τὰ τοιαῦτα „ἀγρὸν γὰρ ἔλαβεν ἀργὸν παρ' αὐτοῦ,“

δωρητοί τ' ἐπέλοντο παράρρητοί τ' ἐπέεσσιν.

9 ἐπὶ τελευτῆς δὲ „φήθησαν αὐτὸν παιδίον τετοκένα αὐτοῦ αἴτιον γεγονέναι,“ „ἐν πλείσταις δὲ φροντι ἐν ἐλαχίσταις ἐλπίσιν.“ πτῶσις δὲ ταὐτοῦ „ἄξιος δ θῆναι χαλκοῦς, οὐκ ἄξιος ὢν χαλκοῦ.“ ταὐτὸ δ’ „σὺ δ’ αὐτὸν καὶ ζῶντα ἔλεγες κακῶς καὶ νῦν γ κακῶς.“ ἀπὸ συλλαβῆς δὲ „τί ἂν ἔπαθες δεινόν, εἰ εἶδες ἀργόν;“ ἔστι δὲ ἅμα πάντα ἔχειν ταὐτό, καὶ θεσιν εἶναι ταὐτὸ καὶ πάρισον καὶ ὁμοιοτέλευτον. ἀρχαὶ τῶν περιόδων σχεδὸν ἐν τοῖς Θεοδεκτείοις θμηνται. εἰσὶ δὲ καὶ ψευδεῖς ἀντιθέσεις, οἷον κα χαρμος ἐποίει,

τόκα μὲν ἐν τήνων ἐγὼν ἦν, τόκα δὲ παρὰ τήνοις

10 ἐπεὶ δὲ διώρισται περὶ τούτων, πόθεν λέγει ἀστεῖα καὶ τὰ εὐδοκιμοῦντα λεκτέον. ποιεῖν μὲ ἐστὶ τοῦ εὐφυοῦς ἢ τοῦ γεγυμνασμένου, δεῖξαι μεθόδου ταύτης. εἴπωμεν οὖν καὶ διαριθμησώ ἀρχὴ δ’ ἔστω ἡμῖν αὕτη. τὸ γὰρ μανθάνειν ῥᾳδίο φύσει πᾶσίν ἐστι, τὰ δὲ ὀνόματα σημαίνει τι, ὥσ τῶν ὀνομάτων ποιεῖ ἡμῖν μάθησιν, ἥδιστα. αἱ μ γλῶτται ἀγνῶτες, τὰ δὲ κύρια ἴσμεν. ἡ δὲ μετ ποιεῖ τοῦτο μάλιστα· ὅταν γὰρ εἴπῃ τὸ γῆρας κα ἐποίησε μάθησιν καὶ γνῶσιν διὰ τοῦ γένους· ἄμφ ἀπηνθηκότα. ποιοῦσι μὲν οὖν καὶ αἱ τῶν ποιητῶ νες τὸ αὐτό· διόπερ ἂν εὖ, ἀστεῖον φαίνεται. ἔσ ἡ εἰκών, καθάπερ εἴρηται πρότερον, μεταφορὰ ρουσα προθέσει· διὸ ἧττον ἡδύ, ὅτι μακροτέρω οὐ λέγει ὡς τοῦτο ἐκεῖνο· οὐκοῦν οὐδὲ ζητεῖ τ ψυχή. ἀνάγκη δὴ καὶ λέξιν καὶ ἐνθυμήματα ταῦτ ἀστεῖα, ὅσα ποιεῖ ἡμῖν μάθησιν ταχεῖαν. διὸ ο ἐπιπόλαια τῶν ἐνθυμημάτων εὐδοκιμεῖ (ἐπιπόλα λέγομεν τὰ παντὶ δῆλα, καὶ ἃ μηδὲν δεῖ ζητῆσαι, ὅσα εἰρημένα ἀγνοούμενά ἐστιν, ἀλλ’ ὅσων ἢ ἅμ

μένων ἡ γνῶσις γίνεται, καὶ εἰ μὴ πρότερον ὑπῆρχεν, ἢ μικρὸν ὑστερίζει ἡ διάνοια· γίγνεται γὰρ οἷον μάθησις, ἐκείνως δὲ οὐδέτερον. κατὰ μὲν οὖν τὴν διάνοιαν τοῦ λεγομένου τὰ τοιαῦτα εὐδοκιμεῖ τῶν ἐνθυμημάτων, κατὰ δὲ τὴν λέξιν τῷ μὲν σχήματι, ἐὰν ἀντικειμένως λέγηται, οἷον „καὶ τὴν τοῖς ἄλλοις κοινὴν εἰρήνην νομιζόντων τοῖς αὑτῶν ἰδίοις πόλεμον·“ ἀντίκειται πόλεμος εἰρήνῃ. τοῖς δ' ὀνόμασιν, ἐὰν ἔχῃ μεταφοράν, καὶ ταύτην μήτ' ἀλλοτρίαν, χαλεπὸν γὰρ συνιδεῖν, μήτ' ἐπιπόλαιον, οὐδὲν γὰρ ποιεῖ πάσχειν. ἔτι εἰ πρὸ ὀμμάτων ποιεῖ· ὁρᾶν γὰρ δεῖ τὰ πραττόμενα μᾶλλον ἢ μέλλοντα. δεῖ ἄρα τούτων στοχάζεσθαι τριῶν, μεταφορᾶς ἀντιθέσεως ἐνεργείας.

τῶν δὲ μεταφορῶν τεττάρων οὐσῶν εὐδοκιμοῦσι μάλιστα αἱ κατ' ἀναλογίαν, ὥσπερ Περικλῆς ἔφη τὴν νεότητα τὴν ἀπολομένην ἐν τῷ πολέμῳ οὕτως ἠφανίσθαι ἐκ τῆς πόλεως ὥσπερ εἴ τις τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ ἐξέλοι. καὶ Λεπτίνης περὶ Λακεδαιμονίων, οὐκ ἐᾶν περιιδεῖν τὴν Ἑλλάδα ἑτερόφθαλμον γενομένην. καὶ Κηφισόδοτος σπουδάζοντος Χάρητος εὐθύνας δοῦναι περὶ τὸν Ὀλυνθιακὸν πόλεμον ἠγανάκτει, φάσκων εἰς πνῖγμα τὸν δῆμον ἔχοντα τὰς εὐθύνας πειρᾶσθαι δοῦναι. καὶ παρακαλῶν ποτὲ τοὺς Ἀθηναίους εἰς Εὔβοιαν ἐπισιτισομένους ἔφη δεῖν ἐξιέναι τὸ Μιλτιάδου ψήφισμα. καὶ Ἰφικράτης σπεισαμένων Ἀθηναίων πρὸς Ἐπίδαυρον καὶ τὴν παραλίαν ἠγανάκτει, φάσκων αὐτοὺς τὰ ἐφόδια τοῦ πολέμου παρῃρῆσθαι. καὶ Πειθόλαος τὴν πάραλον ῥόπαλον τοῦ δήμου, Σηστὸν δὲ τηλίαν τοῦ Πειραιέως. καὶ Περικλῆς τὴν Αἴγιναν ἀφελεῖν ἐκέλευσε τὴν λήμην τοῦ Πειραιέως. καὶ Μοιροκλῆς οὐθὲν ἔφη πονηρότερος εἶναι, ὀνομάσας τινὰ τῶν ἐπιεικῶν· ἐκεῖνον μὲν γὰρ ἐπιτρίτων τόκων πονηρεύεσθαι, αὐτὸν δὲ ἐπιδεκάτων. καὶ

10 τὸ Ἀναξανδρίδου ἰαμβεῖον ὑπὲρ τῶν θυγατέρων πρὸς τὸν γάμον ἐγχρονιζουσῶν,

ὑπερήμεροί μοι τῶν γάμων αἱ παρθένοι.

καὶ τὸ Πολυεύκτου εἰς ἀποπληκτικόν τινα Σπεύσιππον, τὸ μὴ δύνασθαι ἡσυχίαν ἄγειν ὑπὸ τῆς τύχης ἐν πεντεσυρίγγῳ νόσῳ δεδεμένον. καὶ Κηφισόδοτος τὰς τριήρεις ἐκάλει μύλωνας ποικίλους, ὁ Κύων δὲ τὰ καπηλεῖα Ἀττικὰ φιδίτια. Αἰσίων δέ, ὅτι εἰς Σικελίαν τὴν πόλιν ἐξέχεαν· τοῦτο γὰρ μεταφορὰ καὶ πρὸ ὀμμάτων. καὶ „ὥστε βοῆσαι τὴν Ἑλλάδα·" καὶ τοῦτο τρόπον τινὰ μεταφορὰ καὶ πρὸ ὀμμάτων. καὶ ὥσπερ Κηφισόδοτος εὐλαβεῖσθαι ἐκέλευε μὴ πολλὰς ποιήσωσι τὰς συνδρομὰς ἐκκλησίας. καὶ Ἰσοκράτης πρὸς τοὺς συντρέχοντας ἐν ταῖς πανηγύρεσιν. καὶ οἷον ἐν τῷ ἐπιταφίῳ, διότι ἄξιον ἦν ἐπὶ τῷ τάφῳ τῷ τῶν ἐν Σαλαμῖνι τελευτησάντων κείρασθαι τὴν Ἑλλάδα ὡς συγκαταθαπτομένης τῇ ἀρετῇ αὐτῶν τῆς ἐλευθερίας· εἰ μὲν γὰρ εἶπεν ὅτι ἄξιον δακρῦσαι συγκαταθαπτομένης τῆς ἀρετῆς, μεταφορὰ καὶ πρὸ ὀμμάτων, τὸ δὲ „τῇ ἀρετῇ τῆς ἐλευθερίας" ἀντίθεσίν τινα ἔχει. καὶ ὡς Ἰφικράτης εἶπεν „ἡ γὰρ ὁδός μοι τῶν λόγων διὰ μέσων τῶν Χάρητι πεπραγμένων ἐστίν·" μεταφορὰ κατ' ἀναλογίαν, καὶ τὸ διὰ μέσου πρὸ ὀμμάτων ποιεῖ. καὶ τὸ φάναι παρακαλεῖν τοὺς κινδύνους τοῖς κινδύνοις βοηθήσοντας, πρὸ ὀμμάτων μεταφορά. καὶ Λυκολέων ὑπὲρ Χαβρίου „οὐδὲ τὴν ἱκετηρίαν αἰσχυνθέντες αὐτοῦ, τὴν εἰκόνα τὴν χαλκῆν·" μεταφορὰ γὰρ ἐν τῷ παρόντι, ἀλλ' οὐκ ἀεί, ἀλλὰ πρὸ ὀμμάτων· κινδυνεύοντος γὰρ αὐτοῦ ἱκετεύει ἡ εἰκών, τὸ ἄψυχον δὴ ἔμψυχον, τὸ ὑπόμνημα τῶν τῆς πόλεως ἔργων. καὶ „πάντα τρόπον μικρὸν φρονεῖν μελετῶντες·" τὸ γὰρ μελετᾶν αὔξειν τι ἐστίν. καὶ ὅτι τὸν νοῦν ὁ θεὸς φῶς ἀνῆψεν ἐν τῇ ψυχῇ· ἄμφω γὰρ δηλοῖ τι. „οὐ γὰρ δια-

λυόμεθα τοὺς πολέμους, ἀλλ' ἀναβαλλόμεθα·" ἄμφω 10 γάρ ἐστι μέλλοντα, καὶ ἡ ἀναβολὴ καὶ ἡ τοιαύτη εἰρήνη. καὶ τὸ τὰς συνθήκας φάναι τρόπαιον εἶναι πολὺ κάλλιον τῶν ἐν τοῖς πολέμοις γινομένων· τὰ μὲν γὰρ ὑπὲρ μικρῶν καὶ μιᾶς τύχης, αὗται δ' ὑπὲρ παντὸς τοῦ πολέμου· ἄμφω γὰρ νίκης σημεῖα. ὅτι καὶ αἱ πόλεις τῷ ψόγῳ τῶν ἀνθρώπων μεγάλας εὐθύνας διδόασιν· ἡ γὰρ εὔθυνα βλάβη τις δικαία ἐστίν.

ὅτι μὲν οὖν τὰ ἀστεῖα ἐκ μεταφορᾶς τε τῆς ἀνάλογον λέγεται καὶ τῷ πρὸ ὀμμάτων ποιεῖν, εἴρηται· λεκτέον δὲ 11 τί λέγομεν πρὸ ὀμμάτων, καὶ τί ποιοῦσι γίγνεται τοῦτο. 11 λέγω δὴ πρὸ ὀμμάτων ταῦτα ποιεῖν ὅσα ἐνεργοῦντα σημαίνει. οἷον τὸν ἀγαθὸν ἄνδρα φάναι εἶναι τετράγωνον μεταφορά, ἄμφω γὰρ τέλεια, ἀλλ' οὐ σημαίνει ἐνέργειαν. ἀλλὰ τὸ „ἀνθοῦσαν ἔχοντος τὴν ἀκμήν" ἐνέργεια, καὶ τὸ „σὲ δ' ὥσπερ ἄφετον" ἐνέργεια, καὶ

τοὐντεῦθεν οὖν Ἕλληνες ᾄξαντες ποσίν

τὸ ᾄξαντες ἐνέργεια καὶ μεταφορά· ταχὺ γὰρ λέγει. καὶ ὡς κέχρηται Ὅμηρος πολλαχοῦ τῷ τὰ ἄψυχα ἔμψυχα λέγειν διὰ τῆς μεταφορᾶς. ἐν πᾶσι δὲ τῷ ἐνέργειαν ποιεῖν εὐδοκιμεῖ, οἷον ἐν τοῖσδε,

αὖτις ἐπὶ δάπεδόνδε κυλίνδετο λᾶας ἀναιδής,

καὶ

ἔπτατ' ὀϊστός,

καὶ

ἐπιπτέσθαι μενεαίνων,

καὶ

ἐν γαίῃ ἵσταντο λιλαιόμενα χροὸς ἆσαι,

καὶ

αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμώωσα.

ἐν πᾶσι γὰρ τούτοις διὰ τὸ ἔμψυχα εἶναι ἐνεργοῦντα φαίνεται· τὸ ἀναισχυντεῖν γὰρ καὶ μαιμᾶν καὶ τἆλλα

11 ἐνέργεια. ταῦτα δὲ προσῆψε διὰ τῆς κατ' ἀναλογίαν μεταφορᾶς· ὡς γὰρ ὁ λίθος πρὸς τὸν Σίσυφον, ὁ ἀναισχυντῶν πρὸς τὸν ἀναισχυντούμενον. ποιεῖ δὲ καὶ ἐν ταῖς εὐδοκιμούσαις εἰκόσιν ἐπὶ τῶν ἀψύχων ταῦτα· κυρτά, φαληριόωντα· πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα· κινούμενα γὰρ καὶ ζῶντα ποιεῖ πάντα, ἡ δ' ἐνέργεια κίνησις.

δεῖ δὲ μεταφέρειν, καθάπερ εἴρηται πρότερον, ἀπὸ οἰκείων καὶ μὴ φανερῶν, οἷον καὶ ἐν φιλοσοφίᾳ τὸ ὅμοιον καὶ ἐν πολὺ διέχουσι θεωρεῖν εὐστόχου, ὥσπερ Ἀρχύτας ἔφη ταὐτὸν εἶναι διαιτητὴν καὶ βωμόν· ἐπ' ἄμφω γὰρ τὸ ἀδικούμενον καταφεύγει. ἢ εἴ τις φαίη ἄγκυραν καὶ κρεμάθραν τὸ αὐτὸ εἶναι· ἄμφω γὰρ ταὐτό τι, ἀλλὰ διαφέρει τῷ ἄνωθεν καὶ κάτωθεν. καὶ τὸ ὡμαλίσθαι τὰς πόλεις ἐν πολὺ διέχουσι ταὐτό, ἐν ἐπιφανείᾳ καὶ δυνάμεσι, τὸ ἴσον.

ἔστι δὲ καὶ τὰ ἀστεῖα τὰ πλεῖστα διὰ μεταφορᾶς καὶ ἐκ τοῦ προσεξαπατᾶν· μᾶλλον γὰρ γίγνεται δῆλον ὅτι ἔμαθε παρὰ τὸ ἐναντίως ἔχειν, καὶ ἔοικε λέγειν ἡ ψυχὴ „ὡς ἀληθῶς, ἐγὼ δ' ἥμαρτον." καὶ τῶν ἀποφθεγμάτων δὲ τὰ ἀστεῖά ἐστιν ἐκ τοῦ μὴ ὅ φησι λέγειν, οἷον τὸ Στησιχόρου, ὅτι οἱ τέττιγες ἑαυτοῖς χαμόθεν ᾄσονται. καὶ τὰ εὖ ᾐνιγμένα διὰ τὸ αὐτὸ ἡδέα· μάθησις γάρ, καὶ λέγεται μεταφορά. καὶ ὃ λέγει Θεόδωρος, τὸ καινὰ λέγειν. γίγνεται δέ, ὅταν παράδοξον ᾖ, καὶ μή, ὡς ἐκεῖνος λέγει, πρὸς τὴν ἔμπροσθεν δόξαν, ἀλλ' ὥσπερ οἱ ἐν τοῖς γελοίοις τὰ παραπεποιημένα. ὅπερ δύναται καὶ τὰ παρὰ γράμμα σκώμματα· ἐξαπατᾷ γάρ. καὶ ἐν τοῖς μέτροις· οὐ γὰρ ὥσπερ ὁ ἀκούων ὑπέλαβεν·

ἔστειχε δ' ἔχων ὑπὸ ποσσὶ χίμεθλα·

ὁ δ' ᾤετο πέδιλα ἐρεῖν. τούτου δ' ἅμα λεγομένου δεῖ δῆλον εἶναι. τὰ δὲ παρὰ γράμμα ποιεῖ οὐχ ὃ λέγει λέ-

γειν, ἀλλ' ὃ μεταστρέφει ὄνομα, οἷον τὸ Θεοδώρου εἰς 11 Νίκωνα τὸν κιθαρῳδόν „θράττει σε·“ προσποιεῖται γὰρ λέγειν τὸ „θράττει σε“ καὶ ἐξαπατᾷ· ἄλλο γὰρ λέγει· διὸ μαθόντι ἡδύ, ἐπεὶ εἰ μὴ ὑπολαμβάνει Θρᾷκα εἶναι, οὐ δόξει ἀστεῖον εἶναι. καὶ τὸ „βούλει αὐτὸν πέρσαι.“ δεῖ δὲ ἀμφότερα προσηκόντως λεχθῆναι. οὕτω δὲ καὶ τὰ ἀστεῖα, οἷον τὸ φάναι Ἀθηναίοις τὴν τῆς θαλάττης ἀρχὴν μὴ ἀρχὴν εἶναι τῶν κακῶν· ὄνασθαι γάρ. ἢ ὥσπερ Ἰσοκράτης τὴν ἀρχὴν τῇ πόλει ἀρχὴν εἶναι τῶν κακῶν. ἀμφοτέρως γὰρ ὃ οὐκ ἂν ᾠήθη τις ἐρεῖν, τοῦτ' εἴρηται, καὶ ἐγνώσθη ὅτι ἀληθές· τό τε γὰρ τὴν ἀρχὴν φάναι ἀρχὴν εἶναι οὐθὲν σοφόν· ἀλλ' οὐχ οὕτω λέγει ἀλλ' ἄλλως, καὶ ἀρχὴν οὐχ ὃ εἶπεν ἀπόφησιν, ἀλλ' ἄλλως. ἐν ἅπασι δὲ τούτοις, ἐὰν προσηκόντως τὸ ὄνομα ἐνέγκῃ ὁμωνυμίᾳ ἢ μεταφορᾷ, τότε τὸ εὖ. οἷον „Ἀνάσχετος οὐκ ἀνασχετός·“ ὁμωνυμίαν ἀπέφησεν, ἀλλὰ προσηκόντως, εἰ ἀηδής. καὶ

οὐκ ἂν γένοιο μᾶλλον ἢ σε δεῖ ξένος·

ξένος ἢ οὐ μᾶλλον ἢ σε δεῖ, τὸ αὐτό. καὶ „οὐ δεῖ τὸν ξένον ξένον αἰεὶ εἶναι·“ ἀλλότριον γὰρ καὶ τοῦτο. τὸ αὐτὸ καὶ τὸ Ἀναξανδρίδου τὸ ἐπαινούμενον,

καλόν γ' ἀποθανεῖν πρὶν θανάτου δρᾶν ἄξιον·

ταὐτὸ γάρ ἐστι τῷ εἰπεῖν ἄξιόν γ' ἀποθανεῖν μὴ ὄντα ἄξιον ἀποθανεῖν, ἢ ἄξιόν γ' ἀποθανεῖν μὴ θανάτου ἄξιον ὄντα, ἢ μὴ ποιοῦντα θανάτου ἄξια. τὸ μὲν οὖν εἶδος τὸ αὐτὸ τῆς λέξεως τούτων· ἀλλ' ὅσῳ ἂν ἐλάττονι καὶ ἀντικειμένως λεχθῇ, τοσούτῳ εὐδοκιμεῖ μᾶλλον. τὸ δ' αἴτιον ὅτι ἡ μάθησις διὰ μὲν τὸ ἀντικεῖσθαι μᾶλλον, διὰ δὲ τὸ ἐν ὀλίγῳ θᾶττον γίνεται. δεῖ δ' ἀεὶ προσεῖναι ἢ τὸ πρὸς ὃν λέγεται ἢ ὀρθῶς λέγεσθαι, εἰ τὸ λεγόμενον ἀληθὲς καὶ μὴ ἐπιπόλαιον· ἔστι γὰρ ταῦτα χωρὶς ἔχειν, οἷον „ἀποθνήσκειν δεῖ μηθὲν ἁμαρτάνοντα·“ ἀλλ' οὐκ

11 ἀστεῖον. „τὴν ἀξίαν δεῖ γαμεῖν τὸν ἄξιον.“ ἀλλ' οὐκ ἀστεῖον καὶ ἐὰν ἅμα ἄμφω ἔχῃ· „ἄξιόν γ' ἀποθανεῖν μὴ ἄξιον ὄντα τοῦ ἀποθανεῖν.“ ὅσῳ δ' ἂν πλείω ἔχῃ, τοσούτῳ ἀστειότερον φαίνεται, οἷον εἰ καὶ τὰ ὀνόματα μεταφορὰ εἴη καὶ μεταφορὰ τοιαδὶ καὶ ἀντίθεσις καὶ παρίσωσις, καὶ ἔχοι ἐνέργειαν.

εἰσὶ δὲ καὶ αἱ εἰκόνες, ὥσπερ εἴρηται καὶ ἐν τοῖς ἄνω, ἀεὶ εὐδοκιμοῦσαι τρόπον τινὰ μεταφοραί. ἀεὶ γὰρ ἐκ δυοῖν λέγονται, ὥσπερ ἡ ἀνάλογον μεταφορά· οἷον ἡ ἀσπίς φαμέν ἐστι φιάλη Ἄρεος, καὶ τόξον φόρμιγξ ἄχορδος. οὕτω μὲν οὖν λέγουσιν οὐχ ἁπλοῦν, τὸ δ' εἰπεῖν τὸ τόξον φόρμιγγα ἢ τὴν ἀσπίδα φιάλην ἁπλοῦν. καὶ εἰκάζουσι δὲ οὕτως, οἷον πιθήκῳ αὐλητήν, λύχνῳ ψακαζομένῳ [εἰς] μύωπα· ἄμφω γὰρ συνάγεται. τὸ δὲ εὖ ἐστὶν ὅταν μεταφορὰ ᾖ· ἔστι γὰρ εἰκάσαι τὴν ἀσπίδα φιάλῃ Ἄρεος καὶ τὸ ἐρείπιον ῥάκει οἰκίας, καὶ τὸν Νικήρατον φάναι Φιλοκτήτην εἶναι δεδηγμένον ὑπὸ Πράτυος, ὥσπερ εἴκασε Θρασύμαχος ἰδὼν τὸν Νικήρατον ἡττημένον ὑπὸ Πράτυος ῥαψῳδοῦντα, κομῶντα δὲ καὶ αὐχμηρὸν ἔτι. ἐν οἷς μάλιστα ἐκπίπτουσιν οἱ ποιηταί, ἐὰν μὴ εὖ, καὶ ἐὰν εὖ, εὐδοκιμοῦσιν. λέγω δ' ὅταν ἀποδιδῶσιν,

ὥσπερ σέλινον οὖλα τὰ σκέλη φορεῖ,
ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ κωρύκῳ.

καὶ τὰ τοιαῦτα πάντ' εἰκόνες εἰσίν. αἱ δ' εἰκόνες ὅτι μεταφοραί, εἴρηται πολλάκις.

καὶ αἱ παροιμίαι μεταφοραὶ ἀπ' εἴδους ἐπ' εἶδός εἰσιν· οἷον ἄν τις ὡς ἀγαθὸν πεισόμενος αὐτὸς ἐπαγάγηται, εἶτα βλαβῇ, ὡς ὁ Καρπάθιός φησι τὸν λαγώ· ἄμφω γὰρ τὸ εἰρημένον πεπόνθασιν.

ὅθεν μὲν οὖν τὰ ἀστεῖα λέγεται καὶ διότι, σχεδὸν εἴρηται τὸ αἴτιον. εἰσὶ δὲ καὶ εὐδοκιμοῦσαι ὑπερβολαὶ

μεταφοραί, οἷον εἰς ὑπωπιασμένον „ᾠήθητε δ' ἂν αὐτὸν εἶναι συκαμίνων κάλαθον·" ἐρυθρὸν γάρ τι τὸ ὑπώπιον, ἀλλὰ τὸ πολὺ σφόδρα. τὸ δὲ ὥσπερ τὸ καὶ τό, ὑπερβολὴ τῇ λέξει διαφέρουσα. 11

ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ κωρύκῳ·

ᾠήθης δ' ἂν αὐτὸν Φιλάμμωνα εἶναι μαχόμενον τῷ κωρύκῳ.

ὥσπερ σέλινον οὖλα τὰ σκέλη φορεῖν·

ᾠήθης δ' ἂν οὐ σκέλη ἀλλὰ σέλινα ἔχειν οὕτως οὖλα. εἰσὶ δὲ ὑπερβολαὶ μειρακιώδεις· σφοδρότητα γὰρ δηλοῦσιν. (διὸ ὀργιζόμενοι λέγουσι μάλιστα·

οὐδ' εἴ μοι τόσα δοίη ὅσα ψάμαθός τε κόνις τε.
κούρην δ' οὐ γαμέω Ἀγαμέμνονος Ἀτρείδαο,
οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι,
ἔργα δ' Ἀθηναίῃ.

χρῶνται δὲ μάλιστα τούτῳ οἱ Ἀττικοὶ ῥήτορες.) διὸ πρεσβυτέρῳ λέγειν ἀπρεπές.

δεῖ δὲ μὴ λεληθέναι ὅτι ἄλλη ἑκάστῳ γένει ἁρμόττει 12 λέξις. οὐ γὰρ ἡ αὐτὴ γραφικὴ καὶ ἀγωνιστική, οὐδὲ δημηγορικὴ καὶ δικανική. ἄμφω δὲ ἀνάγκη εἰδέναι· τὸ μὲν γάρ ἐστιν ἑλληνίζειν ἐπίστασθαι, τὸ δὲ μὴ ἀναγκάζεσθαι κατασιωπᾶν, ἄν τι βούληται μεταδοῦναι τοῖς ἄλλοις, ὅπερ πάσχουσιν οἱ μὴ ἐπιστάμενοι γράφειν. ἔστι δὲ λέξις γραφικὴ μὲν ἡ ἀκριβεστάτη, ἀγωνιστικὴ δὲ ἡ ὑποκριτικωτάτη. ταύτης δὲ δύο εἴδη· ἡ μὲν γὰρ ἠθικὴ ἡ δὲ παθητική. διὸ καὶ οἱ ὑποκριταὶ τὰ τοιαῦτα τῶν δραμάτων διώκουσι, καὶ οἱ ποιηταὶ τοὺς τοιούτους. βαστάζονται δὲ οἱ ἀναγνωστικοί, οἷον Χαιρήμων (ἀκριβὴς γὰρ ὥσπερ λογογράφος) καὶ Λικύμνιος τῶν διθυραμβοποιῶν. καὶ παραβαλλομένη ἡ μὲν τῶν γραφόντων ἐν τοῖς ἀγῶσι στενὴ φαίνεται, ἡ δὲ τῶν ῥητόρων [ἢ τῶν

12 λεχθέντων] ἰδιωτικὴ ἐν ταῖς χερσίν. αἴτιον δ' ὅτι ἐ τῷ ἀγῶνι ἁρμόττει· διὸ καὶ τὰ ὑποκριτικὰ ἀφῃρημένη τῆς ὑποκρίσεως οὐ ποιοῦντα τὸ αὑτῶν ἔργον φαίνετα εὐήθη, οἷον τά τε ἀσύνδετα καὶ τὸ πολλάκις τὸ αὐτ εἰπεῖν ἐν τῇ γραφικῇ ὀρθῶς ἀποδοκιμάζεται, ἐν δὲ ἀγω νιστικῇ οὔ, καὶ οἱ ῥήτορες χρῶνται· ἔστι γὰρ ὑποκρι τικά. ἀνάγκη δὲ μεταβάλλειν τὸ αὐτὸ λέγοντας· ὅπε ὥσπερ ὁδοποιεῖ τῷ ὑποκρίνεσθαι· „οὗτός ἐστιν ὁ κλέ ψας ὑμῶν, οὗτός ἐστιν ὁ ἐξαπατήσας, οὗτος ὁ τὸ ἔσχα τον προδοῦναι ἐπιχειρήσας.“ οἷον καὶ Φιλήμων ὁ ὑπο κριτὴς ἐποίει ἔν τε τῇ Ἀναξανδρίδου γεροντομανίᾳ, ὅτ λέγει Ῥαδάμανθυς καὶ Παλαμήδης, καὶ ἐν τῷ προλόγ τῶν εὐσεβῶν τὸ ἐγώ· ἐὰν γάρ τις τὰ τοιαῦτα μὴ ὑπο κρίνηται, γίνεται ὁ τὴν δοκὸν φέρων. καὶ τὰ ἀσύνδετι ὡσαύτως· „ἦλθον, ἀπήντησα, ἐδεόμην·“ ἀνάγκη γὰ ὑποκρίνεσθαι καὶ μὴ ὡς ἓν λέγοντα τῷ αὐτῷ ἤθει κα τόνῳ εἰπεῖν, ὅτι ἔχει ἴδιόν τι τὰ ἀσύνδετα· ἐν ἴσῳ γὰ χρόνῳ πολλὰ δοκεῖ εἰρῆσθαι· ὁ γὰρ σύνδεσμος ἓν ποιε τὰ πολλά, ὥστ' ἐὰν ἐξαιρεθῇ, δῆλον ὅτι τοὐναντίο ἔσται τὸ ἓν πολλά. ἔχει οὖν αὔξησιν· „ἦλθον, διελέ χθην, ἱκέτευσα·“ πολλὰ δοκεῖ ὑπεριδεῖν ὅσα εἶπεν τοῦτο δὲ βούλεται ποιεῖν καὶ Ὅμηρος ἐν τῷ

Νιρεὺς αὖ Σύμηθεν,
Νιρεὺς Ἀγλαΐης,
Νιρεὺς ὃς κάλλιστος.

περὶ οὗ γὰρ πολλὰ λέγεται, ἀνάγκη καὶ πολλάκις εἰρῆ σθαι· εἰ οὖν [καὶ] πολλάκις, καὶ πολλὰ δοκεῖ, ὥστ ηὔξησεν ἅπαξ μνησθεὶς διὰ τὸν παραλογισμόν, καὶ μνή μην πεποίηκεν, οὐδαμοῦ ὕστερον αὐτοῦ λόγον ποιησά μενος.

ἡ μὲν οὖν δημηγορικὴ λέξις καὶ παντελῶς ἔοικε τ σκιαγραφίᾳ· ὅσῳ γὰρ ἂν πλείων ᾖ ὁ ὄχλος, πορρωτέρω

θέα, διὸ τὰ ἀκριβῆ περίεργα καὶ χείρω φαίνεται ἐν ἀμ- 12
φοτέροις· ἡ δὲ δικανικὴ ἀκριβεστέρα. ἔτι δὲ μᾶλλον ἡ ἑνὶ κριτῇ· ἐλάχιστον γάρ ἐστιν ἐν ῥητορικοῖς· εὐσύνοπτον γὰρ μᾶλλον τὸ οἰκεῖον τοῦ πράγματος καὶ τὸ ἀλλότριον, καὶ ὁ ἀγὼν ἄπεστιν, ὥστε καθαρὰ ἡ κρίσις. διὸ οὐχ οἱ αὐτοὶ ἐν πᾶσι τούτοις εὐδοκιμοῦσι ῥήτορες· ἀλλ' ὅπου μάλιστα ὑποκρίσεως, ἐνταῦθα ἥκιστα ἀκρίβεια ἔνι. τοῦτο δέ, ὅπου φωνῆς, καὶ μάλιστα ὅπου μεγάλης.

ἡ μὲν οὖν ἐπιδεικτικὴ λέξις γραφικωτάτη· τὸ γὰρ ἔργον αὐτῆς ἀνάγνωσις· δευτέρα δὲ ἡ δικανική. τὸ δὲ προσδιαιρεῖσθαι τὴν λέξιν, ὅτι ἡδεῖαν δεῖ καὶ μεγαλοπρεπῆ, περίεργον· τί γὰρ μᾶλλον ἢ σώφρονα καὶ ἐλευθέριον καὶ εἴ τις ἄλλη ἤθους ἀρετή; τὸ δὲ ἡδεῖαν εἶναι ποιήσει δῆλον ὅτι τὰ εἰρημένα, εἴπερ ὀρθῶς ὥρισται ἡ ἀρετὴ τῆς λέξεως· τίνος γὰρ ἕνεκα δεῖ σαφῆ καὶ μὴ ταπεινὴν εἶναι ἀλλὰ πρέπουσαν; ἄν τε γὰρ ἀδολεσχῇ, οὐ σαφής, οὐδὲ ἂν σύντομος. ἀλλὰ δῆλον ὅτι τὸ μέσον ἁρμόττει. καὶ τὸ ἡδεῖαν τὰ εἰρημένα ποιήσει, ἂν εὖ μιχθῇ, τὸ εἰωθὸς καὶ ξενικόν, καὶ ὁ ῥυθμός, καὶ τὸ πιθανὸν ἐκ τοῦ πρέποντος.

περὶ μὲν οὖν τῆς λέξεως εἴρηται, καὶ κοινῇ περὶ ἁπάντων καὶ ἰδίᾳ περὶ ἕκαστον γένος· λοιπὸν δὲ περὶ
τάξεως εἰπεῖν. ἔστι δὲ τοῦ λόγου δύο μέρη· ἀναγκαῖον 13
γὰρ τό τε πρᾶγμα εἰπεῖν περὶ οὗ, καὶ τοῦτ' ἀποδεῖξαι. διὸ εἰπόντα μὴ ἀποδεῖξαι ἢ ἀποδεῖξαι μὴ προειπόντα ἀδύνατον· ὅ τε γὰρ ἀποδεικνύων τι ἀποδείκνυσι, καὶ ὁ προλέγων ἕνεκα τοῦ ἀποδεῖξαι προλέγει. τούτων δὲ τὸ μὲν πρόθεσίς ἐστι τὸ δὲ πίστις, ὥσπερ ἂν εἴ τις διέλοι ὅτι τὸ μὲν πρόβλημα τὸ δὲ ἀπόδειξις. νῦν δὲ διαιροῦσι γελοίως· διήγησις γάρ που τοῦ δικανικοῦ [μόνου] λόγου ἐστίν, ἐπιδεικτικοῦ δὲ καὶ δημηγορικοῦ πῶς ἐνδέχεται εἶναι διήγησιν οἵαν λέγουσιν, ἢ τὰ πρὸς τὸν ἀντίδι-

13 κον, ἢ ἐπίλογον τῶν ἀποδεικτικῶν; προοίμιον δὲ καὶ ἀντιπαραβολὴ καὶ ἐπάνοδος ἐν ταῖς δημηγορίαις τότε γίνεται ὅταν ἀντιλογία ᾖ· καὶ γὰρ ἡ κατηγορία καὶ ἡ ἀπολογία πολλάκις, ἀλλ᾽ οὐχ ἡ συμβουλή. ἀλλ᾽ ὁ ἐπίλογος [ἔτι] οὐδὲ δικανικοῦ παντός, οἷον ἐὰν μικρὸς ὁ λόγος ἢ τὸ πρᾶγμα εὐμνημόνευτον· συμβαίνει γὰρ τοῦ μήκους ἀφαιρεῖσθαι. ἀναγκαῖα ἄρα μόρια πρόθεσις καὶ πίστις. ἴδια μὲν οὖν ταῦτα, τὰ δὲ πλεῖστα προοίμιον πρόθεσις πίστις ἐπίλογος· τὰ γὰρ πρὸς τὸν ἀντίδικον τῶν πίστεών ἐστι, καὶ ἡ ἀντιπαραβολὴ αὔξησις τῶν αὐτοῦ, ὥστε μέρος τι τῶν πίστεων· ἀποδείκνυσι γάρ τι ὁ ποιῶν τοῦτο, ἀλλ᾽ οὐ τὸ προοίμιον, οὐδ᾽ ὁ ἐπίλογος, ἀλλ᾽ ἀναμιμνήσκει. ἔσται οὖν, ἄν τις τὰ τοιαῦτα διαιρῇ, ὅπερ ἐποίουν οἱ περὶ Θεόδωρον, διήγησις ἕτερον καὶ ἐπιδιήγησις καὶ προδιήγησις καὶ ἔλεγχος καὶ ἐπεξέλεγχος. δεῖ δὲ εἶδός τι λέγοντα καὶ διαφορὰν ὄνομα τίθεσθαι. εἰ δὲ μή, γίνεται κενὸν καὶ ληρῶδες, οἷον Λικύμνιος ποιεῖ ἐν τῇ τέχνῃ, ἐπούρωσιν ὀνομάζων καὶ ἀποπλάνησιν καὶ ὄζους.

14 τὸ μὲν οὖν προοίμιόν ἐστιν ἀρχὴ λόγου, ὅπερ ἐν ποιήσει πρόλογος καὶ ἐν αὐλήσει προαύλιον· πάντα γὰρ ἀρχαὶ ταῦτ᾽ εἰσί, καὶ οἷον ὁδοποίησις τῷ ἐπιόντι. τὸ μὲν οὖν προαύλιον ὅμοιον τῷ τῶν ἐπιδεικτικῶν προοιμίῳ· καὶ γὰρ οἱ αὐληταί, ὅ τι ἂν εὖ ἔχωσιν αὐλῆσαι, τοῦτο προαυλήσαντες συνῆψαν τῷ ἐνδοσίμῳ, καὶ ἐν τοῖς ἐπιδεικτικοῖς λόγοις δεῖ οὕτω γράφειν· ὅ τι γὰρ ἂν βούληται εὐθὺ εἰπόντα ἐνδοῦναι καὶ συνάψαι. ὅπερ πάντες ποιοῦσιν. παράδειγμα τὸ τῆς Ἰσοκράτους Ἑλένης προοίμιον· οὐθὲν γὰρ οἰκεῖον ὑπάρχει τοῖς ἐριστικοῖς καὶ Ἑλένῃ. ἅμα δὲ καὶ ἐὰν ἐκτοπίσῃ, ἁρμόττει μὴ ὅλον τὸν λόγον ὁμοειδῆ εἶναι. λέγεται δὲ τὰ τῶν ἐπιδεικτικῶν προοίμια ἐξ ἐπαίνου ἢ ψόγου· οἷον Γοργίας μὲν ἐν τῷ

Ὀλυμπικῷ λόγῳ „ὑπὸ πολλῶν ἄξιοι θαυμάζεσθαι, ὦ 14 ἄνδρες Ἕλληνες·“ ἐπαινεῖ γὰρ τοὺς τὰς πανηγύρεις συνάγοντας· Ἰσοκράτης δὲ ψέγει, ὅτι τὰς μὲν τῶν σωμάτων ἀρετὰς δωρεαῖς ἐτίμησαν, τοῖς δ' εὖ φρονοῦσιν οὐθὲν ἆθλον ἐποίησαν. καὶ ἀπὸ συμβουλῆς, οἷον ὅτι δεῖ τοὺς ἀγαθοὺς τιμᾶν, διὸ καὶ αὐτὸς Ἀριστείδην ἐπαινεῖ, ἢ τοὺς τοιούτους οἳ μήτε εὐδοκιμοῦσι μήτε φαῦλοι, ἀλλ' ὅσοι ἀγαθοὶ ὄντες ἄδηλοι, ὥσπερ Ἀλέξανδρος ὁ Πριάμου· οὗτος γὰρ συμβουλεύει. ἔτι δ' ἐκ τῶν δικανικῶν προοιμίων· τοῦτο δ' ἐστὶν ἐκ τῶν πρὸς τὸν ἀκροατήν, εἰ περὶ παραδόξου λόγος ἢ περὶ χαλεποῦ ἢ περὶ τεθρυλημένου πολλοῖς, ὥστε συγγνώμην ἔχειν, οἷον Χοιρίλος

νῦν δ' ὅτε πάντα δέδασται.

τὰ μὲν οὖν τῶν ἐπιδεικτικῶν λόγων προοίμια ἐκ τούτων, ἐξ ἐπαίνου, ἐκ ψόγου, ἐκ προτροπῆς, ἐξ ἀποτροπῆς, ἐκ τῶν πρὸς τὸν ἀκροατήν· δεῖ δὲ ἢ ξένα ἢ οἰκεῖα εἶναι τὰ ἐνδόσιμα τῷ λόγῳ. τὰ δὲ τοῦ δικανικοῦ προοίμια δεῖ λαβεῖν ὅτι ταὐτὸ δύναται ὅπερ τῶν δραμάτων οἱ πρόλογοι καὶ τῶν ἐπῶν τὰ προοίμια· τὰ μὲν γὰρ τῶν διθυράμβων ὅμοια τοῖς ἐπιδεικτικοῖς·

διὰ σὲ καὶ τεὰ δῶρα εἴτε σκῦλα.

ἐν δὲ τοῖς λόγοις καὶ ἔπεσι δεῖγμά ἐστι τοῦ λόγου, ἵνα προειδῶσι περὶ οὗ [ἦν] ὁ λόγος καὶ μὴ κρέμηται ἡ διάνοια· τὸ γὰρ ἀόριστον πλανᾷ· ὁ δοὺς οὖν ὥσπερ εἰς τὴν χεῖρα τὴν ἀρχὴν ποιεῖ ἐχόμενον ἀκολουθεῖν τῷ λόγῳ. διὰ τοῦτο

μῆνιν ἄειδε θεά,
ἄνδρα μοι ἔννεπε μοῦσα,
ἡγεό μοι λόγον ἄλλον, ὅπως Ἀσίας ἀπὸ γαίης
ἦλθεν ἐς Εὐρώπην πόλεμος μέγας.

καὶ οἱ τραγικοὶ δηλοῦσι περὶ τὸ δρᾶμα, κἂν μὴ εὐθὺς

14 ὥσπερ Εὐριπίδης· ἀλλ' ἐν τῷ προλόγῳ γέ που δηλοῖ, ὥσπερ καὶ Σοφοκλῆς

ἐμοὶ πατὴρ ἦν Πόλυβος.

καὶ ἡ κωμῳδία ὡσαύτως. τὸ μὲν οὖν ἀναγκαιότατον ἔργον τοῦ προοιμίου καὶ ἴδιον τοῦτο, δηλῶσαι τί ἐστι τὸ τέλος οὗ ἕνεκα ὁ λόγος. διόπερ ἂν δῆλον ᾖ καὶ μικρὸν τὸ πρᾶγμα, οὐ χρηστέον προοιμίῳ. τὰ δὲ ἄλλα εἴδη οἷς χρῶνται, ἰατρεύματα καὶ κοινά. λέγεται δὲ ταῦτα ἔκ τε τοῦ λέγοντος καὶ τοῦ ἀκροατοῦ καὶ τοῦ πράγματος καὶ τοῦ ἐναντίου. περὶ αὑτοῦ μὲν καὶ τοῦ ἀντιδίκου, ὅσα περὶ διαβολὴν λῦσαι καὶ ποιῆσαι. ἔστι δὲ οὐχ ὁμοίως· ἀπολογουμένῳ μὲν γὰρ πρῶτον τὰ πρὸς διαβολήν, κατηγοροῦντι δ' ἐν τῷ ἐπιλόγῳ. δι' ὃ δέ, οὐκ ἄδηλον· τὸν μὲν γὰρ ἀπολογούμενον, ὅταν μέλλῃ εἰσάξειν αὑτόν, ἀναγκαῖον ἀνελεῖν τὰ κωλύοντα, ὥστε λυτέον πρῶτον τὴν διαβολήν· τῷ δὲ διαβάλλοντι ἐν τῷ ἐπιλόγῳ διαβλητέον, ἵνα μνημονεύσωσι μᾶλλον. τὰ δὲ πρὸς τὸν ἀκροατὴν ἔκ τε τοῦ εὔνουν ποιῆσαι καὶ ἐκ τοῦ ὀργίσαι, καὶ ἐνίοτε [τὸ] προσεκτικὸν ἢ τοὐναντίον· οὐ γὰρ ἀεὶ συμφέρει ποιεῖν προσεκτικόν, διὸ πολλοὶ εἰς γέλωτα πειρῶνται προάγειν. εἰς δὲ εὐμάθειαν ἅπαντα ἀνάξει, ἐάν τις βούληται, καὶ τὸ ἐπιεικῆ φαίνεσθαι· προσέχουσι γὰρ μᾶλλον τούτοις. προσεκτικοὶ δὲ τοῖς μεγάλοις, τοῖς ἰδίοις, τοῖς θαυμαστοῖς, τοῖς ἡδέσιν· διὸ δεῖ ἐμποιεῖν ὡς περὶ τοιούτων ὁ λόγος. ἐὰν δὲ μὴ προσεκτικούς, ὅτι μικρόν, ὅτι οὐδὲν πρὸς ἐκείνους, ὅτι λυπηρόν. δεῖ δὲ μὴ λανθάνειν ὅτι πάντα ἔξω τοῦ λόγου τὰ τοιαῦτα· πρὸς φαῦλον γὰρ ἀκροατὴν καὶ τὰ ἔξω τοῦ πράγματος ἀκούοντα, ἐπεὶ ἂν μὴ τοιοῦτος ᾖ, οὐθὲν δεῖ προοιμίου, ἀλλ' ἢ ὅσον τὸ πρᾶγμα εἰπεῖν κεφαλαιωδῶς, ἵνα ἔχῃ ὥσπερ σῶμα κεφαλήν. ἔτι τὸ προσεκτικοὺς ποιεῖν πάντων τῶν μερῶν κοινόν, ἐὰν δέῃ· πανταχοῦ γὰρ ἀνιᾶσι μᾶλλον

ἢ ἀρχόμενοι. διὸ γελοῖον ἐν ἀρχῇ τάττειν, ὅτε μάλιστα 14
πάντες προσέχοντες ἀκροῶνται. ὥστε ὅπου ἂν ᾖ καιρός, λεκτέον „καί μοι προσέχετε τὸν νοῦν· οὐθὲν γὰρ μᾶλλον ἐμὸν ἢ ὑμέτερον“ καὶ

ἐρῶ γὰρ ὑμῖν οἷον οὐδεπώποτε
ἀκηκόατε δεινόν,

ἢ οὕτω θαυμαστόν. τοῦτο δ' ἐστίν, ὥσπερ ἔφη Πρόδικος, ὅτε νυστάζοιεν οἱ ἀκροαταί, παρεμβάλλειν τῆς πεντηκονταδράχμου αὐτοῖς. ὅτι δὲ πρὸς τὸν ἀκροατὴν οὐχ ᾗπερ ὁ ἀκροατής, δῆλον· πάντες γὰρ ἢ διαβάλλουσιν ἢ φόβους ἀπολύονται ἐν τοῖς προοιμίοις.

ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως σπουδῆς ὕπο.
τί φροιμιάζῃ;

καὶ οἱ πονηρὸν τὸ πρᾶγμα ἔχοντες ἢ δοκοῦντες· πανταχοῦ γὰρ βέλτιον διατρίβειν ἢ ἐν τῷ πράγματι. διὸ οἱ δοῦλοι οὐ τὰ ἐρωτώμενα λέγουσιν ἀλλὰ τὰ κύκλῳ, καὶ προοιμιάζονται. πόθεν δ' εὔνους δεῖ ποιεῖν, εἴρηται, καὶ τῶν ἄλλων ἕκαστον τῶν τοιούτων. ἐπεὶ δ' εὖ λέγεται

δός μ' ἐς Φαίηκας φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν,

τούτων δεῖ δύο στοχάζεσθαι. ἐν δὲ τοῖς ἐπιδεικτικοῖς οἴεσθαι δεῖ ποιεῖν συνεπαινεῖσθαι τὸν ἀκροατήν, ἢ αὐτὸν ἢ γένος ἢ ἐπιτηδεύματ' αὐτοῦ ἢ ἁμῶς γέ πως· ὃ γὰρ λέγει Σωκράτης ἐν τῷ ἐπιταφίῳ, ἀληθές, ὅτι οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν ἀλλ' ἐν Λακεδαιμονίοις.

τὰ δὲ τοῦ δημηγορικοῦ ἐκ τῶν τοῦ δικανικοῦ λόγου ἐστίν, φύσει δ' ἥκιστα ἔχει· καὶ γὰρ καὶ περὶ οὗ ἴσασι, καὶ οὐδὲν δεῖται τὸ πρᾶγμα προοιμίου, ἀλλ' ἢ δι' αὑτὸν ἢ τοὺς ἀντιλέγοντας, ἢ ἐὰν μὴ ἡλίκον βούλει ὑπολαμβάνωσιν, ἀλλ' ἢ μεῖζον ἢ ἔλαττον. διὸ ἢ διαβάλλειν ἢ ἀπολύεσθαι ἀνάγκη, καὶ ἢ αὐξῆσαι ἢ μειῶσαι. τούτων δὴ ἕνεκα προοιμίου δεῖται, ἢ κόσμου χάριν, ὡς αὐτοκάβδα-

16 μιμνήσκειν· διὸ οἱ πολλοὶ οὐδὲν δέονται διηγήσεως, οἷον εἰ θέλεις Ἀχιλλέα ἐπαινεῖν· ἴσασι γὰρ πάντες τὰς πράξεις, ἀλλὰ χρῆσθαι αὐταῖς δεῖ. ἐὰν δὲ Κριτίαν, δεῖ· οὐ γὰρ πολλοὶ ἴσασιν. * * * νῦν δὲ γελοίως τὴν διήγησίν φασι δεῖν εἶναι ταχεῖαν. καίτοι ὥσπερ ὁ τῷ μάττοντι ἐρομένῳ πότερον σκληρὰν ἢ μαλακὴν μάξῃ, „τί δ᾽;" ἔφη, „εὖ ἀδύνατον;" καὶ ἐνταῦθα ὁμοίως· δεῖ γὰρ μὴ μακρῶς διηγεῖσθαι ὥσπερ οὐδὲ προοιμιάζεσθαι μακρῶς, οὐδὲ τὰς πίστεις λέγειν· οὐδὲ γὰρ ἐνταῦθά ἐστι τὸ εὖ ἢ τὸ ταχὺ ἢ τὸ συντόμως, ἀλλὰ τὸ μετρίως· τοῦτο δ᾽ ἐστὶ τὸ λέγειν ὅσα δηλώσει τὸ πρᾶγμα, ἢ ὅσα ποιήσει ὑπολαβεῖν γεγονέναι ἢ βεβλαφέναι ἢ ἠδικηκέναι, ἢ τηλικαῦτα ἡλίκα βούλει· τῷ δὲ ἐναντίῳ τὰ ἐναντία. παραδιηγεῖσθαι δὲ ὅσα εἰς τὴν σὴν ἀρετὴν φέρει, οἷον „ἐγὼ δ᾽ ἐνουθέτουν ἀεὶ τὰ δίκαια λέγων, μὴ τὰ τέκνα ἐγκαταλείπειν." ἢ θατέρου κακίαν· „ὁ δ᾽ ἀπεκρίνατό μοι ὅτι οὗ ἂν ᾖ αὐτός, ἔσται ἄλλα παιδία·" ὃ τοὺς ἀφισταμένους Αἰγυπτίους ἀποκρίνασθαί φησιν ὁ Ἡρόδοτος. ἢ ὅσα ἡδέα τοῖς δικασταῖς. ἀπολογουμένῳ δὲ ἐλάττων ἡ διήγησις, αἱ δ᾽ ἀμφισβητήσεις ἢ μὴ γεγονέναι ἢ μὴ βλαβερὸν εἶναι ἢ μὴ ἄδικον ἢ μὴ τηλικοῦτον, ὥστε περὶ τὸ ὁμολογούμενον οὐ διατριπτέον, ἐὰν μή τι εἰς ἐκεῖνο συντείνῃ, οἷον εἰ πέπρακται, ἀλλ᾽ οὐκ ἄδικον. ἔτι πεπραγμένα δεῖ λέγειν, ὅσα μὴ πραττόμενα ἢ οἶκτον ἢ δείνωσιν φέρει. παράδειγμα ὁ Ἀλκίνου ἀπόλογος, ὅτι πρὸς τὴν Πηνελόπην ἐν ἑξήκοντα ἔπεσι πεποίηται. καὶ ὡς Φάϋλλος τὸν κύκλον, καὶ ὁ ἐν τῷ Οἰνεῖ πρόλογος. ἠθικὴν δὲ χρὴ τὴν διήγησιν εἶναι. ἔσται δὲ τοῦτο, ἂν εἰδῶμεν τί ἦθος ποιεῖ. ἓν μὲν δὴ τὸ προαίρεσιν δηλοῦν, ποιὸν δὲ τὸ ἦθος τῷ ποιὰν ταύτην· ἡ δὲ προαίρεσις ποιὰ τῷ τέλει. διὰ τοῦτο οὐκ ἔχουσιν οἱ μαθηματικοὶ λόγοι ἤθη, ὅτι οὐδὲ προαίρεσιν· τὸ γὰρ οὗ ἕνεκα οὐκ ἔχουσιν. ἀλλ᾽ οἱ Σωκρατικοί· περὶ

τοιούτων γὰρ λέγουσιν. ἀλλὰ ἠθικὰ τὰ ἑπόμενα ἑκάστῳ 16 ἤθει, οἷον ὅτι ἅμα λέγων ἐβάδιζεν· δηλοῖ γὰρ θρασύτητα καὶ ἀγροικίαν ἤθους. καὶ μὴ ὡς ἀπὸ διανοίας λέγειν, ὥσπερ οἱ νῦν, ἀλλ' ὡς ἀπὸ προαιρέσεως. „ἐγὼ δ' ἐβουλόμην· καὶ προειλόμην γὰρ τοῦτο· ἀλλ' εἰ μὴ ὠνήμην, βέλτιον." τὸ μὲν γὰρ φρονίμου τὸ δὲ ἀγαθοῦ· φρονίμου μὲν γὰρ ἐν τῷ τὸ ὠφέλιμον διώκειν, ἀγαθοῦ δ' ἐν τῷ τὸ καλόν. ἂν δ' ἄπιστον ᾖ, τότε τὴν αἰτίαν ἐπιλέγειν, ὥσπερ Σοφοκλῆς ποιεῖ παράδειγμα τὸ ἐκ τῆς Ἀντιγόνης, ὅτι μᾶλλον τοῦ ἀδελφοῦ ἐκήδετο ἢ ἀνδρὸς ἢ τέκνων· τὰ μὲν γὰρ ἂν γενέσθαι ἀπολόμενα,

μητρὸς δ' ἐν ᾅδου καὶ πατρὸς βεβηκότων
οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.

ἐὰν δὲ μὴ ἔχῃς αἰτίαν, ἀλλ' ὅτι οὐκ ἀγνοεῖς ἄπιστα λέγων, ἀλλὰ φύσει τοιοῦτος εἶ· ἀπιστοῦσι γὰρ ἄλλο τι πράττειν ἑκόντα πλὴν τὸ συμφέρον. ἔτι ἐκ τῶν παθητικῶν λέγε διηγούμενος καὶ τὰ ἑπόμενα καὶ ἃ ἴσασι, καὶ τὰ ἰδίᾳ ἢ αὐτῷ ἢ ἐκείνῳ προσόντα· „ὁ δ' ᾤχετό με ὑποβλέψας." καὶ ὡς περὶ Κρατύλου Αἰσχίνης, ὅτι διασίζων, τοῖν χεροῖν διασείων· πιθανὰ γάρ, διότι σύμβολα γίνεται ταῦτα ἃ ἴσασιν ἐκείνων ὧν οὐκ ἴσασιν. πλεῖστα δὲ τοιαῦτα λαβεῖν ἐξ Ὁμήρου ἔστιν.

ὣς ἄρ' ἔφη, γρηῦς δὲ κατέσχετο χερσὶ πρόσωπα·

οἱ γὰρ δακρύειν ἀρχόμενοι ἐπιλαμβάνονται τῶν ὀφθαλμῶν. καὶ εὐθὺς εἰσάγαγε σεαυτὸν ποιόν τινα, ἵνα ὡς τοιοῦτον θεωρῶσι καὶ τὸν ἀντίδικον· λανθάνων δὲ ποίει, ὅτι ῥᾴδιον ὁρᾶν [δὲ] ἐκ τῶν ἀπαγγελλόντων· περὶ ὧν γὰρ μηθὲν ἴσμεν, ὅμως λαμβάνομεν ὑπόληψίν τινα. πολλαχοῦ δὲ δεῖ διηγεῖσθαι, καὶ ἐνίοτε οὐκ ἐν ἀρχῇ. ἐν δὲ δημηγορίᾳ ἥκιστα διήγησίς ἐστιν, ὅτι περὶ τῶν μελλόντων οὐθεὶς διηγεῖται· ἀλλ' ἐάν περ διήγησις ᾖ, τῶν γε-

16 νομένων ἔσται, ἵν' ἀναμνησθέντες ἐκείνων βέλτιον βουλεύσωνται περὶ τῶν ὕστερον. [ἢ διαβάλλοντες, ἢ ἐπαινοῦντες.] ἀλλὰ τότε οὐ τὸ τοῦ συμβούλου ποιεῖ ἔργον. ἂν δ' ᾖ ἄπιστον, ὑπισχνεῖσθαί τε καὶ αἰτίαν λέγειν εὐθύς, καὶ διατάττειν οἷς βούλονται, οἷον ἡ Ἰοκάστη ἡ Καρκίνου ἐν τῷ Οἰδίποδι ἀεὶ ὑπισχνεῖται πυνθανομένου τοῦ ζητοῦντος τὸν υἱόν. καὶ ὁ Αἵμων ὁ Σοφοκλέους.

17 τὰς δὲ πίστεις δεῖ ἀποδεικτικὰς εἶναι· ἀποδεικνύναι δὲ χρή, ἐπεὶ περὶ τεττάρων ἡ ἀμφισβήτησις, περὶ τοῦ ἀμφισβητουμένου φέροντα τὴν ἀπόδειξιν· οἷον εἰ ὅτι οὐ γέγονεν ἀμφισβητεῖ, ἐν τῇ κρίσει δεῖ τούτου μάλιστα τὴν ἀπόδειξιν φέρειν, εἰ δ' ὅτι οὐκ ἔβλαψεν, τούτου, καὶ ὅτι οὐ τοσόνδε ἢ ὅτι δικαίως, ὡσαύτως καὶ περὶ τοῦ γενέσθαι τοῦτο ἀμφισβήτησις. μὴ λανθανέτω δ' ὅτι ἀναγκαῖον ἐν ταύτῃ τῇ ἀμφισβητήσει μόνῃ τὸν ἕτερον εἶναι πονηρόν· οὐ γάρ ἐστιν ἄγνοια αἰτία, ὥσπερ ἂν εἴ τινες περὶ τοῦ δικαίου ἀμφισβητοῖεν, ὥστ' ἐν τούτῳ χρονιστέον, ἐν δὲ τοῖς ἄλλοις οὔ. ἐν δὲ τοῖς ἐπιδεικτικοῖς τὸ πολύ, ὅτι καλὰ καὶ ὠφέλιμα, ἡ αὔξησις ἔσται· τὰ γὰρ πράγματα δεῖ πιστεύεσθαι· ὀλιγάκις γὰρ καὶ τούτων ἀποδείξεις φέρουσιν, ἐὰν ἄπιστα ᾖ ἢ ἐὰν ἄλλως αἰτίαν ἔχῃ. ἐν δὲ τοῖς δημηγορικοῖς ἢ ὡς οὐκ ἔσται ἀμφισβητήσειεν ἄν τις, ἢ ὡς ἔσται μὲν ἃ κελεύει, ἀλλ' οὐ δίκαια ἢ οὐκ ὠφέλιμα ἢ οὐ τηλικαῦτα. δεῖ δὲ καὶ ὁρᾶν εἴ τι ψεύδεται ἐκτὸς τοῦ πράγματος· τεκμήρια γὰρ ταῦτα φαίνεται καὶ τῶν ἄλλων ὅτι ψεύδεται. ἔστι δὲ τὰ μὲν παραδείγματα δημηγορικώτατα, τὰ δ' ἐνθυμήματα δικανικώτερα· ἡ μὲν γὰρ περὶ τὸ μέλλον, ὥστ' ἐκ τῶν γενομένων ἀνάγκη παραδείγματα λέγειν, ἡ δὲ περὶ ὄντων ἢ μὴ ὄντων, οὗ μᾶλλον ἀπόδειξίς ἐστι καὶ ἀνάγκη· ἔχει γὰρ τὸ γεγονὸς ἀνάγκην. οὐ δεῖ δὲ ἐφεξῆς λέγειν τὰ ἐνθυμήματα, ἀλλ' ἀναμιγνύναι· εἰ

δὲ μή, καταβλάπτει ἄλληλα. ἔστι γὰρ καὶ τοῦ ποσοῦ 17 ὅρος·

ὦ φίλ', ἐπεὶ τόσα εἶπες ὅσ' ἂν πεπνυμένος ἀνήρ,

ἀλλ' οὐ τοιαῦτα. καὶ μὴ περὶ πάντων ἐνθυμήματα ζητεῖν· εἰ δὲ μή, ποιήσεις ὅπερ ἔνιοι ποιοῦσι τῶν φιλοσοφούντων, οἳ συλλογίζονται τὰ γνωριμώτερα καὶ πιστότερα ἢ ἐξ ὧν λέγουσιν. καὶ ὅταν πάθος ποιῇς, μὴ λέγε ἐνθύμημα· ἢ γὰρ ἐκκρούσει τὸ πάθος ἢ μάτην εἰρημένον ἔσται τὸ ἐνθύμημα· ἐκκρούουσι γὰρ αἱ κινήσεις ἀλλήλας αἱ ἅμα, καὶ ἢ ἀφανίζουσιν ἢ ἀσθενεῖς ποιοῦσιν. οὐδ' ὅταν ἠθικὸν τὸν λόγον, οὐ δεῖ ἐνθύμημά τι ζητεῖν ἅμα· οὐ γὰρ ἔχει οὔτε ἦθος οὔτε προαίρεσιν ἡ ἀπόδειξις. γνώμαις δὲ χρηστέον καὶ ἐν διηγήσει καὶ ἐν πίστει· ἠθικὸν γάρ. „καὶ ἐγὼ δέδωκα, καὶ ταῦτ' εἰδὼς ὡς οὐ δεῖ πιστεύειν." ἐὰν δὲ παθητικῶς, „καὶ οὐ μεταμέλει μοι καίπερ ἠδικημένῳ· τούτῳ μὲν γὰρ περίεστι τὸ κέρδος, ἐμοὶ δὲ τὸ δίκαιον." τὸ δὲ δημηγορεῖν χαλεπώτερον τοῦ δικάζεσθαι, εἰκότως, διότι περὶ τὸ μέλλον· ἐκεῖνο δὲ περὶ τὸ γεγονός, ὃ ἐπιστητὸν ἤδη καὶ τοῖς μάντεσιν, ὡς ἔφη Ἐπιμενίδης ὁ Κρής· ἐκεῖνος γὰρ περὶ τῶν ἐσομένων οὐκ ἐμαντεύετο, ἀλλὰ περὶ τῶν γεγονότων μὲν ἀδήλων δέ. καὶ ὁ νόμος ὑπόθεσις ἐν τοῖς δικανικοῖς· ἔχοντα δὲ ἀρχὴν ῥᾷον εὑρεῖν ἀπόδειξιν. καὶ οὐκ ἔχει πολλὰς διατριβάς, οἷον πρὸς ἀντίδικον ἢ περὶ αὑτοῦ, ἢ παθητικὸν ποιεῖν. ἀλλ' ἥκιστα πάντων, ἐὰν μὴ ἐξιστῇ. δεῖ οὖν ἀποροῦντα τοῦτο ποιεῖν ὅπερ οἱ Ἀθήνησι ῥήτορες ποιοῦσι καὶ Ἰσοκράτης· καὶ γὰρ συμβουλεύων κατηγορεῖ, οἷον Λακεδαιμονίων μὲν ἐν τῷ πανηγυρικῷ, Χάρητος δ' ἐν τῷ συμμαχικῷ. ἐν δὲ τοῖς ἐπιδεικτικοῖς δεῖ τὸν λόγον ἐπεισοδιοῦν ἐπαίνοις, οἷον Ἰσοκράτης ποιεῖ· ἀεὶ γάρ τινα εἰσάγει. καὶ ὃ ἔλεγε Γοργίας, ὅτι οὐχ ὑπολείπει αὐτὸν ὁ

17 λόγος, ταὐτό ἐστιν· εἰ γὰρ Ἀχιλλέα λέγων Πηλέα ἐπαινεῖ, εἶτα Αἰακόν, εἶτα τὸν θεόν, ὁμοίως δὲ καὶ ἀνδρίαν ἢ τὰ καὶ τά, ποιεῖ ὃ τοιόνδε ἐστίν. ἔχοντα μὲν οὖν ἀποδείξεις καὶ ἠθικῶς λεκτέον καὶ ἀποδεικτικῶς, ἐὰν δὲ μὴ ἔχῃς ἐνθυμήματα, ἠθικῶς· καὶ μᾶλλον τῷ ἐπιεικεῖ ἁρμόττει χρηστὸν φαίνεσθαι ἢ τὸν λόγον ἀκριβῆ. τῶν δὲ ἐνθυμημάτων τὰ ἐλεγκτικὰ μᾶλλον εὐδοκιμεῖ τῶν δεικτικῶν, ὅτι ὅσα ἔλεγχον ποιεῖ, μᾶλλον δῆλον ὅτι συλλελόγισται· παράλληλα γὰρ μᾶλλον τἀναντία γνωρίζεται.

τὰ δὲ πρὸς τὸν ἀντίδικον οὐχ ἕτερόν τι εἶδος, ἀλλὰ τῶν πίστεων ἔστι τὰ μὲν λῦσαι ἐνστάσει τὰ δὲ συλλογισμῷ. δεῖ δὲ καὶ ἐν συμβουλῇ καὶ ἐν δίκῃ ἀρχόμενον μὲν λέγειν τὰς ἑαυτοῦ πίστεις πρότερον, ὕστερον δὲ πρὸς τἀναντία ἀπαντᾶν λύοντα καὶ προδιασύροντα. ἂν δὲ πολύχους ᾖ ἡ ἐναντίωσις, πρότερον τὰ ἐναντία, οἷον ἐποίησε Καλλίστρατος ἐν τῇ Μεσσηνιακῇ ἐκκλησίᾳ· ἃ γὰρ ἐροῦσι προανελὼν οὕτως τότε αὐτὸς εἶπεν. ὕστερον δὲ λέγοντα πρῶτον πρὸς τὸν ἐναντίον λόγον λεκτέον, λύοντα καὶ ἀντισυλλογιζόμενον, καὶ μάλιστα ἂν εὐδοκιμηκότα ᾖ· ὥσπερ γὰρ ἄνθρωπον προδιαβεβλημένον οὐ δέχεται ἡ ψυχή, τὸν αὐτὸν τρόπον οὐδὲ λόγον, ἐὰν ὁ ἐναντίος εὖ δοκῇ εἰρηκέναι. δεῖ οὖν χώραν ποιεῖν ἐν τῷ ἀκροατῇ τῷ μέλλοντι λόγῳ· ἔσται δέ, ἂν ἀνέλῃς. διὸ ἢ πρὸς πάντα ἢ τὰ μέγιστα ἢ τὰ εὐδοκιμοῦντα ἢ τὰ εὐέλεγκτα μαχεσάμενον οὕτω τὰ αὑτοῦ πιστὰ ποιητέον.

ταῖς θεαῖσι πρῶτα σύμμαχος γενήσομαι·
ἐγὼ γὰρ Ἥραν.

ἐν τούτοις ἥψατο πρῶτον τοῦ εὐηθεστάτου.

περὶ μὲν οὖν πίστεων ταῦτα· εἰς δὲ τὸ ἦθος, ἐπειδὴ ἔνια περὶ αὑτοῦ λέγειν ἢ ἐπίφθονον ἢ μακρολογίαν ἢ ἀντιλογίαν ἔχει, καὶ περὶ ἄλλου ἢ λοιδορίαν ἢ ἀγροικίαν,

ἕτερον χρὴ λέγοντα ποιεῖν, ὅπερ Ἰσοκράτης ποιεῖ ἐν τῷ 17
Φιλίππῳ καὶ ἐν τῇ ἀντιδόσει, καὶ ὡς Ἀρχίλοχος ψέγει· ποιεῖ γὰρ τὸν πατέρα λέγοντα περὶ τῆς θυγατρὸς ἐν τῷ ἰάμβῳ

χρημάτων δ' ἄελπτον οὐθέν ἐστιν οὐδ' ἀπώμοτον,

καὶ τὸν Χάρωνα τὸν τέκτονα ἐν τῷ ἰάμβῳ οὗ ἀρχὴ

οὔ μοι τὰ Γύγεω.

καὶ ὡς Σοφοκλῆς τὸν Αἵμονα ὑπὲρ τῆς Ἀντιγόνης πρὸς τὸν πατέρα ὡς λεγόντων ἑτέρων. δεῖ δὲ καὶ μεταβάλλειν τὰ ἐνθυμήματα καὶ γνώμας ποιεῖν ἐνίοτε, οἷον „χρὴ δὲ τὰς διαλλαγὰς ποιεῖν τοὺς νοῦν ἔχοντας εὐτυχοῦντας· οὕτω γὰρ ἂν μέγιστα πλεονεκτοῖεν.“ ἐνθυμηματικῶς δέ „εἰ γὰρ δεῖ, ὅταν ὠφελιμώταται ὦσι καὶ πλεονεκτικώταται αἱ καταλλαγαί, τότε καταλλάττεσθαι, εὐτυχοῦντας δεῖ καταλλάττεσθαι.“

περὶ δὲ ἐρωτήσεως, εὔκαιρόν ἐστι ποιεῖσθαι μάλιστα 18
μὲν ὅταν τὸ ἕτερον εἰρηκὼς ᾖ, ὥστε ἑνὸς προσερωτηθέντος συμβαίνει τὸ ἄτοπον· οἷον Περικλῆς Λάμπωνα ἐπήρετο περὶ τῆς τελετῆς τῶν τῆς σωτείρας ἱερῶν, εἰπόντος δὲ ὅτι οὐχ οἷόν τε ἀτέλεστον ἀκούειν, ἤρετο εἰ οἶδεν αὐτός, φάσκοντος δέ „καὶ πῶς ἀτέλεστος ὤν;“ δεύτερον δὲ ὅταν τὸ μὲν φανερὸν ᾖ, τὸ δὲ ἐρωτήσαντι δῆλον ᾖ ὅτι δώσει· πυθόμενον μὲν γὰρ δεῖ τὴν μίαν πρότασιν μὴ προσερωτᾶν τὸ φανερὸν ἀλλὰ τὸ συμπέρασμα εἰπεῖν, οἷον Σωκράτης Μελήτου οὐ φάσκοντος αὐτὸν θεοὺς νομίζειν, εἴρηκεν ὡς ἂν δαιμόνιόν τι λέγοι, ἤρετο εἰ οὐχ οἱ δαίμονες ἤτοι θεῶν παῖδες εἶεν ἢ θεῖόν τι, φήσαντος δέ „ἔστιν οὖν“ ἔφη „ὅστις θεῶν μὲν παῖδας οἴεται εἶναι, θεοὺς δὲ οὔ;“ ἔτι ὅταν μέλλῃ ἢ ἐναντία λέγοντα δείξειν ἢ παράδοξον. τέταρτον δέ, ὅταν μὴ ἐνῇ ἀλλ' ἢ σοφιστικῶς ἀποκρινάμενον λῦσαι· ἐὰν γὰρ οὕτως ἀποκρίνηται,

18 ὅτι ἔστι μὲν ἔστι δ' οὔ, ἢ τὰ μὲν τὰ δ' οὔ, ἢ πῇ μὲν πῇ δ' οὔ, θορυβοῦσιν ὡς ἀποροῦντος. ἄλλως δὲ μὴ ἐγχειρεῖν· ἐὰν γὰρ ἐνστῇ, κεκρατῆσθαι δοκεῖ· οὐ γὰρ οἷόν τε πολλὰ ἐρωτᾶν διὰ τὴν ἀσθένειαν τοῦ ἀκροατοῦ. διὸ καὶ τὰ ἐνθυμήματα ὅτι μάλιστα συστρέφειν δεῖ.

ἀποκρίνασθαι δὲ δεῖ πρὸς μὲν τὰ ἀμφίβολα διαιροῦντα λόγῳ καὶ μὴ συντόμως, πρὸς δὲ τὰ δοκοῦντα ἐναντία τὴν λύσιν φέροντα εὐθὺς τῇ ἀποκρίσει, πρὶν ἐπερωτῆσαι τὸ ἐπιὸν ἢ συλλογίσασθαι· οὐ γὰρ χαλεπὸν προορᾶν ἐν τίνι ὁ λόγος. φανερὸν δ' ἡμῖν ἔστω ἐκ τῶν τοπικῶν καὶ τοῦτο καὶ αἱ λύσεις. καὶ συμπεραινόμενον, ἐὰν ἐρώτημα ποιῇ τὸ συμπέρασμα, τὴν αἰτίαν εἰπεῖν· οἷον Σοφοκλῆς ἐρωτώμενος ὑπὸ Πεισάνδρου εἰ ἔδοξεν αὐτῷ ὥσπερ καὶ τοῖς ἄλλοις προβούλοις, καταστῆσαι τοὺς τετρακοσίους, ἔφη. „τί δέ; οὐ πονηρά σοι ταῦτα ἐδόκει εἶναι;“ ἔφη. „οὐκοῦν σὺ ταῦτα ἔπραξας τὰ πονηρά;“ „ναὶ“ ἔφη. „οὐ γὰρ ἦν ἄλλα βελτίω.“ καὶ ὡς ὁ Λάκων εὐθυνόμενος τῆς ἐφορίας, ἐρωτώμενος εἰ δοκοῦσιν αὐτῷ δικαίως ἀπολωλέναι ἅτεροι, ἔφη. ὁ δὲ „οὐκοῦν σὺ τούτοις ταὐτὰ ἔθου;“ καὶ ὃς ἔφη. „οὐκοῦν δικαίως ἂν“ ἔφη „καὶ σὺ ἀπόλοιο;“ „οὐ δῆτα“ ἔφη· „οἱ μὲν γὰρ χρήματα λαβόντες ταῦτα ἔπραξαν, ἐγὼ δ' οὔ, ἀλλὰ γνώμῃ.“ διὸ οὔτ' ἐπερωτᾶν δεῖ μετὰ τὸ συμπέρασμα, οὔτε τὸ συμπέρασμα ἐπερωτᾶν, ἐὰν μὴ τὸ πολὺ περιῇ τοῦ ἀληθοῦς.

περὶ δὲ τῶν γελοίων, ἐπειδή τινα δοκεῖ χρῆσιν ἔχειν ἐν τοῖς ἀγῶσι, καὶ δεῖν ἔφη Γοργίας τὴν μὲν σπουδὴν διαφθείρειν τῶν ἐναντίων γέλωτι τὸν δὲ γέλωτα σπουδῇ, ὀρθῶς λέγων, εἴρηται πόσα εἴδη γελοίων ἐστὶν ἐν τοῖς περὶ ποιητικῆς, ὧν τὸ μὲν ἁρμόττει ἐλευθέρῳ τὸ δ' οὔ· ὅπως τὸ ἁρμόττον αὑτῷ λήψεται. ἔστι δ' ἡ εἰρωνεία τῆς

18

βωμολοχίας ἐλευθεριώτερον· ὁ μὲν γὰρ αὑτοῦ ἕνεκα ποιεῖ γελοῖον, ὁ δὲ βωμολόχος ἑτέρου. 19

ὁ δ' ἐπίλογος σύγκειται ἐκ τεττάρων, ἔκ τε τοῦ πρὸς ἑαυτὸν κατασκευάσαι εὖ τὸν ἀκροατὴν καὶ τὸν ἐναντίον φαύλως, καὶ ἐκ τοῦ αὐξῆσαι καὶ ταπεινῶσαι, καὶ ἐκ τοῦ εἰς τὰ πάθη τὸν ἀκροατὴν καταστῆσαι, καὶ ἐξ ἀναμνήσεως. πέφυκε γὰρ μετὰ τὸ ἀποδεῖξαι αὐτὸν μὲν ἀληθῆ τὸν δὲ ἐναντίον ψευδῆ, οὕτω τὸ ἐπαινεῖν καὶ ψέγειν καὶ ἐπιχαλκεύειν. δυοῖν δὲ θατέρου δεῖ στοχάζεσθαι, ἢ ὅτι τούτοις ἀγαθὸς ἢ ὅτι ἁπλῶς, ὁ δ' ὅτι κακὸς τούτοις ἢ ὅτι ἁπλῶς. ἐξ ὧν δὲ δὴ τοιούτους κατασκευάζειν δεῖ, εἴρηνται οἱ τόποι πόθεν σπουδαίους δεῖ κατασκευάζειν καὶ φαύλους. τὸ δὲ μετὰ τοῦτο [δεδειγμένων] ἤδη αὔξειν ἐστὶ κατὰ φύσιν ἢ ταπεινοῦν· δεῖ γὰρ τὰ πεπραγμένα ὁμολογεῖσθαι, εἰ μέλλει τὸ ποσὸν ἐρεῖν· καὶ γὰρ ἡ τῶν σωμάτων αὔξησις ἐκ προϋπαρχόντων ἐστίν. ὅθεν δὲ δεῖ αὔξειν καὶ ταπεινοῦν, ἔκκεινται οἱ τόποι πρότερον. μετὰ δὲ ταῦτα, δήλων ὄντων καὶ οἷα καὶ ἡλίκα, εἰς τὰ πάθη ἄγειν τὸν ἀκροατήν· ταῦτα δ' ἐστὶν ἔλεος καὶ δείνωσις καὶ ὀργὴ καὶ μῖσος καὶ φθόνος καὶ ζῆλος καὶ ἔρις. εἴρηνται δὲ καὶ τούτων οἱ τόποι πρότερον. ὥστε λοιπὸν ἀναμνῆσαι τὰ προειρημένα. τοῦτο δὲ ἁρμόττει ποιεῖν οὕτως ὥσπερ φασὶν ἐν τοῖς προοιμίοις, οὐκ ὀρθῶς λέγοντες· ἵνα γὰρ εὐμαθὴς ᾖ, κελεύουσι πολλάκις εἰπεῖν. ἐκεῖ μὲν οὖν δεῖ τὸ πρᾶγμα εἰπεῖν, ἵνα μὴ λανθάνῃ περὶ οὗ ἡ κρίσις, ἐνταῦθα δὲ δι' ὧν δέδεικται κεφαλαιωδῶς. ἀρχὴ δέ, διότι ἃ ὑπέσχετο ἀποδέδωκεν· ὥστε ἅ τε καὶ δι' ὃ λεκτέον. λέγεται δὲ ἐξ ἀντιπαραβολῆς τοῦ ἐναντίου. παραβάλλειν δὲ ἢ ὅσα περὶ τὸ αὐτὸ ἄμφω εἶπον, ἢ μὴ καταντικρύ. „ἀλλ' οὗτος μὲν τάδε περὶ τούτου, ἐγὼ δὲ ταδί, καὶ διὰ ταῦτα.“ ἢ ἐξ εἰρωνείας, οἷον „οὗτος γὰρ τάδ' εἶπεν, ἐγὼ δὲ τάδε.

19 καὶ τί ἂν ἐποίει, εἰ τάδε ἔδειξεν, ἀλλὰ μὴ ταδί;“ ἢ ἐξ ἐρωτήσεως· „τί οὐ δέδεικται;“ ἢ „οὗτος τί ἔδειξεν;“ ἢ δὴ οὕτως [ἢ] ἐκ παραβολῆς, ἢ κατὰ φύσιν, ὡς ἐλέχθη, οὕτω τὰ αὑτοῦ, καὶ πάλιν, ἐὰν βούλῃ, χωρὶς τὰ τοῦ ἐναντίου λόγου. τελευτὴ δὲ τῆς λέξεως ἁρμόττει ἡ ἀσύνδετος, ὅπως ἐπίλογος ἀλλὰ μὴ λόγος ᾖ· „εἴρηκα, ἀκηκόατε, ἔχετε, κρίνατε.“

II.

ΠΕΡΙ ΕΡΩΤΗΣΕΩΣ ΚΑΙ ΑΠΟΚΡΙΣΕΩΣ.

ΠΕΡΙ ΕΡΩΤΗΣΕΩΣ.

Ἐρώτα δὲ αὐτὸν τετραχῶς· τοσοῦτοι γάρ εἰσι τῶν ἐρωτήσεων οἱ τρόποι. πολλάκις γὰρ αὗται κατὰ καιρὸν ἢ μὴ γενόμεναι καὶ ὤνησαν καὶ ἔβλαψαν. εἰσὶ δὲ οἱ τρόποι οἵδε· τὸ εἰς ἄτοπον ἀπάγειν, τὸ τὰ ὁμολογούμενα ἐρωτᾶν [καὶ] τὸ ἐρωτᾶν τότε, ὅταν μέλλῃς εἰς τοὐναντίον περιτρέπειν, καὶ τὸ ἀληθέσι ψεύδη συμπλέκοντος πυνθάνεσθαι.

Εἰς μὲν οὖν τὸ ἄτοπον ἐμβαλεῖς τὸν ἀντίδικον ἐρωτήσας οὕτως ὡς Περικλῆς Λάμπωνα ἤρετο „Τί ταῦτα ἐστίν," εἰπών, „τὰ δρώμενα ἐν τοῖς μυστηρίοις; „εἰπόντος δὲ τοῦ Λάμπωνος ὡς οὐχ οἷόν τε ταυτὶ τοῖς ἀμυήτοις ἐξαγγέλλειν, ἀνήρετο ὁ Περικλῆς, εἰ αὐτὸς οἶδεν· συμφήσαντος δὲ τοῦ Λάμπωνος „καὶ πῶς" εἶπεν „ἀτέλεστος ὤν;"

Ὁμολογούμενα δὲ ἐρωτήσεις, εἰ τὰ ἐξ ἀνάγκης δοθησόμενα ὑπὸ τῶν ἀντιδίκων πυνθάνοιο καὶ ὧν ῥηθέντων ἐπὶ τὸ συμπέρασμα εὐθὺς χωρήσεις, τὰ ὁμολογούμενα παραλιπών, ὡς Πλάτων ἐν τῇ Σωκράτους ἀπολογίᾳ. λεγόντων γὰρ τῶν κατηγόρων ὡς Σωκράτης θεοὺς οὐ νομίζει καὶ καινὰ δαιμόνια εἰσάγει, ἀνήρετο αὐτοὺς περὶ τῶν δαιμονίων, εἰ μὴ θεοὺς ἢ θεῶν παῖδας ἡγοῦνται αὐτούς· ὡς δὲ συνέφησαν, „ἔστι δὲ ὅστις θεοὺς οὐ νομίζει θεῶν παῖδας νομίζων;" παρέλιπε γὰρ τὸ αὐτόθεν ὁμολογούμενον, ὅτι ὁ δαιμόνια νομίζων θεοὺς νομίζει.

Εἰς τὸ ἐναντίον δὲ περιστήσεις, ὡς Λυσίας ἐν τῷ

Ἐρατοσθένους. ἐπειδὴ γὰρ ὡμολόγει μὲν ἀπαγαγεῖν τὸν ἀδελφὸν αὐτοῦ Πολέμαρχον διὰ τὸ προστάξαι τοὺς τριάκοντα, ὧν εἷς ἦν καὶ αὐτός, ἐρωτηθεὶς δὲ εἰ παρῆν καὶ αὐτὸς προτεθείσης περὶ αὐτοῦ βουλῆς, καὶ εἰ ἀντέλεγεν ἢ ἐπήνει τὰ δοκοῦντα τοῖς ἄλλοις, ὡς ἔφη καὶ παρεῖναι καὶ ἀντιλέγειν τοῖς ἄλλοις, προσηρώτα εἰ ἄδικα πάσχειν ἡγεῖτο αὐτόν, καὶ συγχωρήσαντος ἐπήγαγεν· „εἶτα, ὦ σχετλιώτατε πάντων, ἀντέλεγες μὲν ἵνα σώσειας, συνελάμβανες δὲ ἵνα ἀποκτείνοις;“

Τελευταῖος δὲ τοῦ ἐρωτᾶν καιρός, ὅταν μὴ ἐγχωρῇ λῦσαι τὴν ἐρώτησιν, ἀλλ' ἢ σοφιστικῶς ἀποκρινάμενον· οἷον, τὰ μὲν ἔστι, τὰ δ' οὔ· ἢ πῇ μὲν ἀληθὲς τὸ λεγόμενον, πῇ δὲ ψεῦδός ἐστι. πρὸς γὰρ τοὺς οὕτω ἀποκριναμένους οἱ ἀκροώμενοι θορυβοῦσιν ὡς ἀποροῦντας καὶ οὐκ ἔχοντας ἀντειπεῖν.

Δεῖ δὲ παρὰ ταῦτα μηδένα ἄλλον τρόπον ἐρωτήσεων τῶν πρὸς τὸν ἀντίδικον ἐπινοεῖν· ἐνστάντος γὰρ τοῦ ἐρωτωμένου πρὸς ὁτιοῦν [οὐ πρὸς ὁτιοῦν] ἡττῆσθαι δόξει. δεῖ δὲ ὁμοίως [ἐρωτᾶν] μήτε διὰ πολλῶν ῥημάτων περαιοῦσθαι τὰ ἐνθυμήματα· ἀσθενὴς γὰρ ὁ ἀκροατής, μήτε φεύγοντος τοῦ ἐρωτωμένου τὴν ἀπόκρισιν, ἀναγκάζειν αὐτὸν ἀποκρίνεσθαι· οἵ τε γὰρ φεύγοντες τὰς ἀποκρίσεις συνεγνωκέναι δοκοῦσι, καὶ τάχα ἂν εὕροιέν τινα διάλογον βιασθέντες ἀπαντῆσαι πρὸς τὴν ἀπόκρισιν.

Ἔστι δὲ ἄλλος τρόπος ἔξω τῶν πρὸς τὸν ἀντίδικον [τοῦ ἐρωτᾶν· τοῦτο δὲ ποιεῖν δεῖ], ὅταν ἴδωμεν τοὺς δικαστὰς συμπεριφερομένους ἡμῖν, καὶ ἃ ἡμεῖς ἂν βουληθείημεν ἀποκρινομένους, πυνθάνεσθαι καὶ τούτων· τοῦτον γὰρ τὸν τρόπον ἔστιν ἄνευ κινδύνου πάντα συλλογίζεσθαι. ὡς γὰρ αὐτοῦ τοῦ πράγματος ἔχοντος τἀληθὲς οἱ ἀκούοντες καὶ τοῖς ἐξ ἐναντίας [τοῖς] ἐρωτῶσι προσομολογοῦσιν. δεῖ δὲ καὶ τὰς αἰτίας ἐπιφέρειν ταῖς ἐρωτήσεσιν [καὶ ταῖς

ἀποκρίσεσιν], αἷς αὐτοὶ μὲν ἐρωτῶμεν, οἷον· εἰ δὲ τίς σε ἔροιτο· τί δή ποτε; τοῦτο γὰρ εὔλογον ἢ φύσιν ἔχον ἐστὶ [τοῦ] ἀποκρίνεσθαι ἢ τοῦ εὐνοϊκῶς ἔχοντος τῇ πόλει· καὶ γὰρ ἡδὺ καὶ ἀκριβέστερον οὕτω φαίνεσθαι. χρήσῃ δὲ [καὶ] τούτῳ τῷ ὀργάνῳ πανταχοῦ.

Εἰσὶν οὖν τῶν ἐρωτήσεων οὗτοι οἱ τρόποι· τὸ τὰ ὁμολογούμενα ἐρωτᾶν, τὸ εἰς ἄτοπον ἐμβάλλειν τὸν ἐρωτώμενον, καὶ τὸ ἐρωτᾶν τότε ὅτε εἰς τοὐναντίον μέλλεις περιστήσειν, καὶ ἀληθέσι ψεύδη συμπλέκοντα ἐρωτᾶν, καὶ μὴ διὰ πολλῶν ἐρωτήσεων συμπεραίνειν τὸν συλλογισμόν, καὶ αὐτὸν ἐρωτᾶν, ὅταν ἴδωμεν καὶ τοὺς δικαστὰς συμπεριφερομένους ἡμῖν, καὶ τὸ μετὰ προσθέσεως τῆς αἰτίας ἐρωτᾶν.

ΠΕΡΙ ΑΠΟΚΡΙΣΕΩΣ.

Τρόποι δ' αὐτῶν ἢ διώσασθαι τὰς ἀποκρίσεις τέλεον, ἢ φθάσαντες αὐτοὺς ἐρωτήσομεν· εἰ ἄρα δὲ ἀποκρίνασθαι δεῖ, τὴν αἰτίαν προσθέντες ἀποκρινούμεθα, καὶ τὰ ἀμφίβολα ἐξαπλώσομεν [καὶ] τῷ λόγῳ, καὶ πρὸ τοῦ συμπεράσματος, ὅταν εἰς τοὐναντίον ἡ ἐρώτησις περιάγῃ, φέρειν δεῖ τὴν λύσιν, καὶ αὐτὸ τὸ συμπέρασμα, αὐτὸς ἔχων λῦσαι, μὴ προσποιούμενος, ὅτι αὐτὸς ἀντερωτᾷ τὸ συμπέρασμα.

Τρόποι μὲν οὖν οὗτοι· παραδείγματος δὲ ἕνεκα ὑποτάξω καθ' ἕκαστον. ἔφην γὰρ τὰς ἀποκρίσεις ἤτοι διωσόμεθα καθάπαξ, ἂν ἔχωσί τι δυσχερές· οἷον ὡς Καλλίας ποτὲ λέγεται εἰπεῖν, ὅτι ἀποκρινεῖται, εἰ τοσοῦτον αὐτῷ δοίη χρόνον ο ερωτων, [illegible] ἐρώτησιν· ἢ φθάσαντες ἐρωτήσομεν αὐτοὺς ἃ ῥᾴδιά ἐστιν ἀποκρίνασθαι, οἷον ἐπειδὰν ἐρωτᾷ με τί ἂν ἐποίησα; οὐκ ἂν

τόδε, ἀλλὰ τόδε, οἷον οὐκ ἂν ἐσυκοφάντουν τοὺς φίλους, ἀλλ' εἰργαζόμην.

Ἐὰν δὲ ἀναγκαῖον ᾖ πάντως ἀποκρίνασθαι, αἰτίαν τινὰ χρὴ προστιθέναι τῇ ἀποκρίσει, οἷον ὡς Ὑπερίδης ἐρωτηθεὶς ὑπὸ Ἀριστογείτονος, εἰ ἔγραφε τοὺς δούλους ἐλευθέρους εἶναι, ἔφη „ἵνα μὴ οἱ ἐλεύθεροι δουλεύωσιν.“

Τά γε μὴν ἀμφίβολα οἷον τὸ πῇ μὲν ἔπραξα, πῇ δὲ οὔ, ἐξαπλοῦν τῷ λόγῳ καὶ τὰς αἰτίας προστιθέναι, οἷον „τόδε μὲν ἔπραξα διὰ τόδε,“ καὶ ὅλως τὰς βραχυλογίας καὶ συντομίας παρέχεσθαι ἐπὶ ταῖς ἀποκρίσεσι, τὰ δὲ προσδιορισμοῦ φευκτέον.

Εἰ δὲ εἰς τοὐναντίον ἡ ἐρώτησις ἀπάγει, τὴν λύσιν φέρειν χρὴ ἤτοι πρὸ τοῦ ἐπιόντος ἐρωτήματος ἢ ἁπλῶς πρὸ τοῦ συμπερανθῆναι τὸν συλλογισμὸν τῷ ἐρωτῶντι· σχεδὸν γὰρ οὐκ ἄδηλον εὐθὺς ἐρωτῶντος ὅ τι βούλεται ὁ λόγος, ὥστε φθάσαντα τὴν αἰτίαν ἐπενεγκεῖν ἢ ἀφαιρήσει τὸν τόπον. ἔστι δὲ καὶ τῷ συμπεράσματι ὡς ἐρωτήματι χρῆσθαι μὴ προσποιούμενον ὅτι ὁ ἐρωτῶν συμπέρασμα ἐπήγαγεν, ἀλλ' ὡς πρὸς τὰς ἄλλας προτάσεις ἀποκρίνασθαι καὶ πρὸς τὸ συμπέρασμα ὡς ἐρωτῶντος ἔτι,* ἀπομνημονεύουσι περὶ τοῦ τῆς ἐφορείας εὐθυνομένου Λάκωνος· ἑαλωκότων [ἔτι] τῶν συναρχόντων ἐρωτηθεὶς εἰ [δοκήσει] δικαίως ἀπήχθησαν οἱ ἔφοροι, ἔφη· πάλιν δὲ ἀναπυνθανομένων εἰ τῆς πράξεως κεκοινώνηκεν αὐτοῖς, „κεκοινώνηκα.“ „οὐκοῦν“ λεγόντων, „καὶ σὺ δικαίως ἂν ἀπόλοιο;“ „οὐ δῆτα,“ ἔφη· „οἱ μὲν γὰρ χρήματα λαμβάνοντες ταῦτα ἔπραξαν, ἐγὼ δὲ ἀπὸ γνώμης.“ μὴ προσποιηθεὶς ὅτι συμπέρασμα ἐπήγαγεν, ἔλυσε καὶ λογικῶς τὸν συλλογισμόν. ὅθεν καὶ τὸ αὐτὸ τοῖς ἐρωτῶσι παραφυλακτέον εἰ μὴ πολλή τις τῶν πραγμάτων ἀλήθεια περιείη μάλιστα, ὡς μήτε αὐτὸ τὸ συμπέρασμα ἀλλά τινα συγχωρεῖν ἀ..... τοῦ συλλογισαμένου ἅπαξ· εἰ γὰρ μετὰ τὴν ἀπόκρισιν τοῦ ἐφόρου τουτουὶ τὴν δευτέραν ὁ συλλογισμὸς ἐπήχθη τῷ κατηγόρῳ [illegible] τεθνάναι χρή,“ οὐκ ἂν ἔσχεν ἀποκρίνασθαι καὶ σωθῆναι.

III.

ΑΝΑΞΙΜΕΝΟΥΣ

ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ.

[ΡΗΤΟΡΙΚΗ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ.

ΑΡΙΣΤΟΤΕΛΗΣ ΑΛΕΞΑΝΔΡΩΙ ΕΥ ΠΡΑΤΤΕΙΝ.

Ἐπέστειλάς μοι ὅτι πολλάκις πολλοὺς πέπομφας πρὸς ἡμᾶς τοὺς διαλεξομένους ὑπὲρ τοῦ γραφῆναί σοι τὰς μεθόδους τῶν πολιτικῶν λόγων· ἐγὼ δὲ οὐ διὰ ῥᾳθυμίαν ὑπερεβαλλόμην ἐν τούτοις τοῖς χρόνοις, ἀλλὰ διὰ τὸ ζητεῖν οὕτως ὑπὲρ αὐτῶν γραφῆναί σοι διηκριβωμένως ὡς οὐδεὶς ἄλλος γέγραφε τῶν περὶ ταῦτα πραγματευομένων. ταύτην δὲ εἰκότως τὴν διάνοιαν εἶχον· ὥσπερ γὰρ ἐσθῆτα σπουδάζεις τὴν εὐπρεπεστάτην τῶν λοιπῶν ἀνθρώπων ἔχειν, οὕτω δύναμιν λόγων λαβεῖν ἐστί σοι πειρατέον τὴν εὐδοξοτάτην· πολὺ γὰρ κάλλιόν ἐστι καὶ βασιλικώτερον τὴν ψυχὴν ἔχειν εὐγνωμονοῦσαν ἢ τὴν ἕξιν τοῦ σώματος ὁρᾶν εὐειματοῦσαν. καὶ γὰρ ἄτοπόν ἐστι τὸν τοῖς ἔργοις πρωτεύοντα φαίνεσθαι τῶν τυχόντων τοῖς λόγοις ὑστερίζοντα, καὶ ταῦτα εἰδότα ὅτι τοῖς μὲν ἐν δημοκρατίᾳ πολιτευομένοις ἡ ἀναφορὰ περὶ πάντων τῶν πραγμάτων εἰς τὸν νόμον ἐστί, τοῖς δ᾽ ὑπὸ τὴν τῆς βασιλείας ἡγεμονίαν τεταγμένοις πρὸς λόγον. ὥσπερ οὖν τὰς αὐτονόμους τῶν πόλεων διορθοῦν εἴωθεν ἐπὶ τὸ κάλλιστον ἄγων ὁ κοινὸς νόμος, οὕτω τοὺς ὑπὸ τὴν σὴν βασιλείαν καθεστῶτας ἄγειν δύναιτ᾽ ἂν ἐπὶ τὸ συμφέρον ὁ σὸς λόγος. καὶ γὰρ ὁ νόμος ἐστὶν ὡς ἁπλῶς εἰπεῖν λόγος ὡρισμένος καθ᾽ ὁμολογίαν κοινὴν πόλεως, μηνύων πῶς δεῖ πράττειν ἕκαστα. πρὸς δὲ τούτοις οὐκ ἄδηλον ὡς οἶμαί σοι τοῦτό ἐστιν, ὅτι τοὺς μὲν λόγῳ χρωμένους καὶ

γουσιν, ἀλλὰ χρήματα λαβόντες ἀποκηρύττουσιν. διὰ τοῦτο οὖν ἐγώ σοι παρακελεύομαι διαφυλάττειν οὕτω τοὺς λόγους τούτους, ὅπως νέοι καθεστῶτες ὑπὸ μηδενὸς [χρήμασι] διαφθαρήσονται, κοσμίως δὲ μετὰ σοῦ συμβιώσαντες, εἰς ἡλικίαν ἐλθόντες δόξης ἀκηράτου τεύξονται. παρειλήφαμεν δέ, καθάπερ ἡμῖν ἐδήλωσε Νικάνωρ, καὶ τῶν λοιπῶν τεχνογράφων ὅστις τι γλαφυρὸν ὑπὲρ τῶν αὐτῶν τούτων γέγραφεν ἐν ταῖς τέχναις. περιτεύξῃ δὲ δυσὶ τούτοις βιβλίοις, ὧν τὸ μέν ἐστιν ἐμὸν ἐν ταῖς ὑπ' ἐμοῦ τέχναις Θεοδέκτῃ γραφείσαις, τὸ δὲ ἕτερον Κόρακος. τὰ δὲ λοιπὰ τούτοις ἰδίᾳ πάντα γέγραπται περί τε τῶν πολιτικῶν καὶ τῶν δικανικῶν παραγγελμάτων· ὅθεν πρὸς ἑκάτερον αὐτῶν εὐπορήσεις ἐκ τῶνδε τῶν ὑπομνημάτων σοι γεγραμμένων. ἔρρωσο.]

---

1 *Δύο γένη τῶν πολιτικῶν εἰσι λόγων, τὸ μὲν δημηγορικόν, τὸ δὲ δικανικόν. εἴδη δὲ τούτων ἑπτά, προτρεπτικόν, ἀποτρεπτικόν, ἐγκωμιαστικόν, ψεκτικόν, κατηγορικόν, ἀπολογητικόν, καὶ ἐξεταστικὸν ἢ αὐτὸ καθ' αὑτὸ ἢ πρὸς ἄλλο. τὰ μὲν οὖν εἴδη τῶν λόγων τοσαῦτα ἀριθμῷ ἐστι, χρησόμεθα δὲ αὐτοῖς ἔν τε ταῖς κοιναῖς δημηγορίαις καὶ ταῖς περὶ τὰ συμβόλαια δικαιολογίαις καὶ ταῖς ἰδίαις ὁμιλίαις. οὕτω δ' ἂν ἑτοιμότατον λέγειν περὶ αὐτῶν δυνηθείημεν, εἰ [καὶ] καθ' ἓν ἕκαστον εἶδος ἀπολαβόντες ἀπαριθμησαίμεθα τὰς δυνάμεις αὐτῶν καὶ τὰς χρήσεις καὶ τὰς τάξεις. καὶ πρῶτον μὲν τὰς προτροπὰς καὶ ἀποτροπάς, ἐπείπερ ἐν ταῖς ἰδίαις ὁμιλίαις καὶ ταῖς κοιναῖς δημηγορίαις ἐν τοῖς μάλιστα αὐτῶν χρῆσίς ἐστι, διέλθωμεν.*

Καθόλου μὲν οὖν εἰπεῖν, προτροπὴ μέν ἐστιν ἐπὶ προαιρέσεις ἢ λόγους ἢ πράξεις παράκλησις, ἀποτροπὴ

δὲ ἀπὸ προαιρέσεων ἢ λόγων ἢ πράξεων διακώλυσις. 1
οὕτω δὲ τούτων διωρισμένων τὸν μὲν προτρέποντα χρὴ δεικνύειν ταῦτα ἐφ' ἃ παρακαλεῖ, δίκαια ὄντα καὶ νόμιμα καὶ συμφέροντα καὶ καλὰ καὶ ἡδέα καὶ ῥάδια πραχθῆναι· εἰ δὲ μή, δυνατά τε δεικτέον, ὅταν ἐπὶ δυσχερῆ παρακαλῇ, καὶ ὡς ἀναγκαῖα ταῦτα ποιεῖν ἐστιν. τὸν δὲ ἀποτρέποντα δεῖ διὰ τῶν ἐναντίων κώλυσιν ἐπιφέρειν, ὡς οὐ δίκαιον οὐδὲ νόμιμόν ἐστιν οὐδὲ συμφέρον οὐδὲ καλὸν οὐδὲ ἡδὺ οὐδὲ δυνατὸν πράττειν τοῦτο· εἰ δὲ μή, ὡς ἐργῶδες καὶ οὐκ ἀναγκαῖον. ἅπασαι δὲ αἱ πράξεις μετέχουσι τούτων ἀμφοτέρων, ὥστε μηδετέραν τῶν ὑποθέσεων ἔχοντα λόγων ἀπορεῖν. ὧν μὲν οὖν ὀρέγεσθαι δεῖ τοὺς προτρέποντας καὶ ἀποτρέποντας, ταῦτά ἐστιν· ὁρίσασθαι δὲ πειράσομαι τούτων ἕκαστον τί ἐστι, καὶ δεῖξαι πόθεν αὐτῶν εἰς τοὺς λόγους εὐπορήσομεν. δίκαιον μὲν οὖν ἐστι τὸ τῶν ἁπάντων ἢ τὸ τῶν πλείστων ἔθος ἄγραφον, διορίζον τὰ καλὰ καὶ τὰ αἰσχρά. τοῦτο δ' ἐστὶ τὸ γονέας τιμᾶν καὶ φίλους εὖ ποιεῖν καὶ τοῖς εὐεργέταις χάριν ἀποδιδόναι· ταῦτα γὰρ καὶ τὰ τούτοις ὅμοια οὐ προστάττουσι τοῖς ἀνθρώποις οἱ γεγραμμένοι νόμοι ποιεῖν, ἀλλ' εὐθὺς ἀγράφῳ καὶ κοινῷ νόμῳ νομίζεται. τὰ μὲν οὖν δίκαια ταῦτά ἐστι, νόμος δέ ἐστιν ὁμολόγημα πόλεως κοινὸν διὰ γραμμάτων προστάττον, πῶς χρὴ πράττειν ἕκαστα. συμφέρον δέ ἐστι τῶν ὑπαρχόντων ἀγαθῶν φυλακή, ἢ τῶν μὴ προσόντων κτῆσις, ἢ τῶν ὑπαρχόντων κακῶν ἀποβολή, ἢ τῶν προσδοκωμένων γενήσεσθαι βλαβερῶν διακώλυσις. διαιρήσεις δὲ τοῦτο τοῖς μὲν ἰδιώταις εἰς σῶμα καὶ ψυχὴν καὶ τὰ ἐπίκτητα. σώματι μὲν οὖν ἐστι συμφέρον ῥώμη κάλλος ὑγίεια, ψυχῇ δὲ ἀνδρεία σοφία δικαιοσύνη, τὰ δὲ ἐπίκτητα φίλοι χρήματα κτήματα· τὰ δ' ἐναντία τούτοις ἀσύμφορα. πόλει δὲ συμφέροντα τὰ τοιαῦτά ἐστιν, ὁμόνοια, δύναμις πρὸς

πόλεμον, χρήματα καὶ προσόδων εὐπορία, συμμάχων ἀρετὴ καὶ πλῆθος· καὶ συλλήβδην ἅπαντα τὰ τούτοις ὁμοιότροπα συμφέροντα νομίζομεν, τὰ δὲ τούτοις ἐναντία ἀσύμφορα. καλὰ δέ ἐστιν ἀφ' ὧν εὐδοξία τις καὶ τιμή τις ἔνδοξος γενήσεται τοῖς πράξασιν. ἡδέα δὲ τὰ χαρὰν ἐργαζόμενα. ῥᾴδια δὲ τὰ μετὰ ἐλαχίστου χρόνου καὶ πόνου καὶ δαπάνης ἐπιτελούμενα. δυνατὰ δὲ πάντα τὰ ἐνδεχόμενα γενέσθαι. ἀναγκαῖα δὲ τὰ μὴ ἐφ' ἡμῖν ὄντα πράττειν, ἀλλ' ὡς ἐξ ἀνάγκης θείας ἢ ἀνθρωπίνης οὕτως ὄντα.

Τὰ μὲν οὖν δίκαια καὶ τὰ νόμιμα καὶ τὰ συμφέροντα καὶ τὰ καλὰ καὶ τὰ ἡδέα καὶ τὰ ῥᾴδια καὶ τὰ δυνατὰ καὶ τὰ ἀναγκαῖα ταῦτά ἐστιν· εὐπορήσομεν δὲ περὶ τούτων λέγειν ἐξ αὐτῶν τε τῶν προειρημένων καὶ τῶν ὁμοίων τούτοις καὶ τῶν ἐναντίων αὐτοῖς καὶ τῶν ἤδη κεκριμένων ὑπὸ θεῶν ἢ ἀνθρώπων ἐνδόξων ἢ ὑπὸ κριτῶν ἢ ὑπὸ τῶν ἀνταγωνιστῶν ἡμῖν.

Τὸ μὲν οὖν δίκαιον οἷόν ἐστι, πρότερον ἡμῖν δεδήλωται· τὸ δὲ ὅμοιον τῷ δικαίῳ τοιόνδ' ἐστίν. ὥσπερ γὰρ δίκαιον νομίζομεν τοῖς γονεῦσι πείθεσθαι, τὸν αὐτὸν τρόπον προσήκει τοὺς υἱεῖς μιμεῖσθαι τὰς τῶν πατέρων πράξεις. καί, καθάπερ τοὺς εὖ ποιήσαντας ἀντευεργετεῖν δίκαιόν ἐστιν, οὕτω τοὺς μηδὲν ἡμᾶς κακὸν ἐργασαμένους δίκαιόν ἐστι μὴ βλάπτειν. τὸ μὲν οὖν ὅμοιον τῷ δικαίῳ τὸν τρόπον τοῦτον δεῖ λαμβάνειν· ἐκ δὲ τῶν ἐναντίων χρὴ καταφανὲς ποιεῖν αὐτὸ τὸ παράδειγμα. καθάπερ γὰρ τοὺς κακόν τι ποιήσαντας δίκαιόν ἐστι τιμωρεῖσθαι, καὶ τοὺς εὐεργετήσαντας οὕτω προσήκει ἀντευεργετεῖν. τὸ δὲ κεκριμένον ὑπό τινων ἐνδόξων δίκαιον οὕτω λήψῃ· ἀλλ' οὐχ ἡμεῖς μόνοι μισοῦμεν καὶ κακῶς ποιοῦμεν τοὺς ἐχθρούς, ἀλλὰ καὶ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι δίκαιον εἶναι κρίνουσι τοὺς ἐχθροὺς τιμωρεῖσθαι.

Τὸ μὲν οὖν δίκαιον οὕτω μελετῶν πολλάκις λήψῃ· τὸ δὲ νόμιμον αὐτὸ μὲν οἷόν ἐστιν, ὥρισται ἡμῖν πρότερον, δεῖ δέ, ὅπου ἂν ᾖ χρήσιμον, αὐτόν τε τὸν ἀγορεύοντα καὶ τὸν νόμον λαμβάνειν, εἶτα τὸ ὅμοιον τῷ γεγραμμένῳ νόμῳ. εἴη δὲ ἂν τοιόνδε· ὥσπερ γὰρ ὁ νομοθέτης μεγίσταις ζημίαις τοὺς κλέπτας ἐκόλασεν, οὕτω δεῖ καὶ τοὺς ἐξαπατῶντας μάλιστα τιμωρεῖσθαι· καὶ γὰρ οὗτοι κλέπτουσι τὴν διάνοιαν. καί, καθάπερ ὁ νομοθέτης κληρονόμους πεποίηκε τοὺς ἐγγυτάτω γένους ὄντας τοῖς ἄπαισιν ἀποθνήσκουσιν, οὕτω καὶ τῶν τοῦ ἀπελευθέρου χρημάτων ἐμὲ νῦν προσήκει κύριον γενέσθαι· τῶν γὰρ ἀπελευθερωσάντων αὐτὸν τετελευτηκότων ἐγγυτάτω γένους αὐτὸς ὢν καὶ τῶν ἀπελευθέρων δίκαιος ἂν εἴην ἄρχειν. τὸ μὲν οὖν ὅμοιον τῷ νομίμῳ τοῦτον τὸν τρόπον λαμβάνεται· τὸ δ' ἐναντίον ὧδε· εἰ γὰρ ὁ νόμος ἀπαγορεύει τὰ δημόσια διανέμεσθαι, δῆλον ὅτι τοὺς διαιρουμένους αὐτὰ πάντας ἀδικεῖν ὁ νομοθέτης ἔκρινεν. εἰ γὰρ τιμᾶσθαι οἱ νόμοι προστάττουσι τοὺς καλῶς καὶ δικαίως τῶν κοινῶν ἐπιστατήσαντας, δῆλον ὡς καὶ τοὺς τὰ δημόσια διαφθείραντας τιμωρίας ἀξίους νομίζουσιν. ἐκ μὲν οὖν τῶν ἐναντίων καταφανὲς οὕτω γίνεται τὸ νόμιμον, ἐκ δὲ τῶν κεκριμένων ὧδε· καὶ οὐ μόνον ἐγὼ τὸν νόμον τοῦτον εἵνεκα τούτων φημὶ τὸν νομοθέτην θεῖναι, ἀλλὰ καὶ πρότερον οἱ δικασταὶ διεξιόντος Λυσιθείδου παραπλήσια τοῖς νῦν ὑπ' ἐμοῦ λεγομένοις ἐψηφίσαντο ταὐτὰ περὶ τοῦ νόμου τούτου.

Τὸ μὲν οὖν νόμιμον οὕτω μετιόντες πολλαχῶς δείξομεν· τὸ δὲ συμφέρον αὐτὸ μὲν οἷόν ἐστιν, ἐν τοῖς πρότερον ὥρισται. δεῖ δὲ λαμβάνειν εἰς τοὺς λόγους τῶν προειρημένων καὶ ἐκ τοῦ συμφέροντος ἂν ὑπάρχῃ τι, καὶ μετιόντας τὸν αὐτὸν τρόπον, ὅνπερ ὑπὲρ τοῦ νομίμου καὶ τοῦ δικαίου διήλθομεν, οὕτω καὶ τὸ συμφέρον πολ-

1 λαχῶς ἐμφανίζειν. εἴη δ' ἂν τὸ μὲν ὅμοιον τῷ συμφέροντι τοιόνδε· ὥσπερ γὰρ ἐν τοῖς πολέμοις συμφέρει τοὺς εὐψυχοτάτους πρώτους τάττειν, οὕτως ἐν ταῖς πολιτείαις λυσιτελεῖ τοὺς φρονιμωτάτους καὶ δικαιοτάτους προεστάναι τοῦ πλήθους. καί, καθάπερ τοῖς ἀνθρώποις ὑγιαίνουσι συμφέρει φυλάττεσθαι μὴ νοσήσωσιν, οὕτω καὶ ταῖς πόλεσιν ὁμονοούσαις συμφέρον ἐστὶ προσκοπεῖν μὴ στασιάσωσιν. τὰ μὲν οὖν ὅμοια τῷ συμφέροντι τοῦτον τὸν τρόπον μετιὼν πολλὰ ποιήσεις, ἐκ δὲ τῶν ἐναντίων ὧδέ σοι τὸ συμφέρον ἔσται καταφανές. εἰ γὰρ λυσιτελεῖ τοὺς ἐπιεικεῖς τῶν πολιτῶν τιμᾶν, συμφέρον ἂν εἴη καὶ τοὺς πονηροὺς κολάζειν. εἰ γὰρ οἴεσθε ἀσύμφορον τὸ μόνους ἡμᾶς πρὸς Θηβαίους πολεμεῖν, συμφέρον ἂν εἴη τὸ Λακεδαιμονίους συμμάχους ποιησαμένους ἡμᾶς οὕτω Θηβαίοις πολεμεῖν. ἐκ μὲν δὴ τῶν ἐναντίων οὕτω τὸ συμφέρον καταφανὲς ποιήσεις, τὸ δὲ κεκριμένον ὑπ' ἐνδόξων συμφέρον ὧδε χρὴ λαμβάνειν· Λακεδαιμόνιοί τε γὰρ Ἀθηναίους καταπολεμήσαντες συμφέρειν αὐτοῖς ᾠήθησαν μὴ τὴν πόλιν αὐτῶν ἀνδραποδίσασθαι, καὶ πάλιν Ἀθηναῖοι ἐξὸν αὐτοῖς ἀνοικίσαι τὴν Σπάρτην συμφέρειν σφίσιν ᾠήθησαν περιποιῆσαι Λακεδαιμονίους.

Περὶ μὲν οὖν τοῦ δικαίου καὶ τοῦ νομίμου καὶ τοῦ συμφέροντος οὕτω μετιὼν εὐπορήσεις· τὸ δὲ καλὸν καὶ τὸ ῥᾴδιον καὶ τὸ ἡδὺ καὶ τὸ δυνατὸν καὶ τὸ ἀναγκαῖον ὁμοιοτρόπως τούτοις μέτιθι. καὶ περὶ μὲν τούτων ἐντεῦθεν εὐπορήσομεν.

2 Πάλιν δὲ ὁρισώμεθα καὶ περὶ πόσων καὶ περὶ ποίων καὶ τίνων ἔν τε τοῖς βουλευτηρίοις καὶ ταῖς ἐκκλησίαις συμβουλεύομεν· ἂν γὰρ τούτων ἕκαστα σαφῶς ἐπιστώμεθα, τοὺς μὲν ἰδίους λόγους αὐτὰ τὰ πράγματα καθ' ἑκάστην ἡμῖν συμβουλίαν παραδώσει· τὰς δὲ κοινὰς ἰδέας ἐκ πολλοῦ προειδότες ἐπιφέρειν ἐφ' ἑκάσταις τῶν

πράξεων ῥᾳδίως δυνησόμεθα. τούτων οὖν ἕνεκα διαιρε- 2
τέον ἡμῖν, περὶ ὧν κοινῇ βουλεύονται πάντες.

Ἐν κεφαλαίῳ μὲν οὖν εἰπεῖν εἰσὶν ἑπτὰ τὸν ἀριθμὸν προθέσεις, περὶ ὧν δημηγορήσομεν· ἀνάγκη γάρ ἐστι καὶ βουλεύεσθαι καὶ λέγειν ἡμᾶς ἐν βουλῇ καὶ δήμῳ ἢ περὶ ἱερῶν, ἢ περὶ νόμων, ἢ περὶ τῆς πολιτικῆς κατασκευῆς, ἢ περὶ τῶν πρὸς τὰς ἄλλας πόλεις συμμαχιῶν καὶ συμβολαίων, ἢ περὶ πολέμων, ἢ περὶ εἰρήνης, ἢ περὶ πόρου χρημάτων. αἱ μὲν οὖν προθέσεις αὗται τυγχάνουσιν οὖσαι, περὶ ὧν βουλευσόμεθα καὶ δημηγορήσομεν· ἑκάστην δὲ πρόθεσιν διελώμεθα καὶ σκοπῶμεν, ἐν οἷς τρόποις ἐνδέχεται περὶ τούτων λόγῳ χρήσασθαι.

Περὶ μὲν οὖν ἱερῶν τριττῶς ἀναγκαῖον λέγειν· ἢ γὰρ ἐροῦμεν ὡς τὰ καθεστῶτα διαφυλακτέον, ἢ ὡς ἐπὶ τὸ μεγαλοπρεπέστερον [πως], ἢ ὡς ἐπὶ τὸ ταπεινότερον. ὅταν μὲν οὖν λέγωμεν, ὡς δεῖ τὰ καθεστῶτα διαφυλάττειν, εὑρήσομεν ἀφορμὰς ἐκ μὲν τοῦ δικαίου λέγοντες, τὰ πάτρια ἔθη παρὰ πᾶσι παραβαίνειν ἄδικόν ἐστι, καὶ ὅτι τὰ μαντεῖα πάντα τοῖς ἀνθρώποις προστάττει κατὰ τὰ πάτρια ποιεῖσθαι τὰς θυσίας, καὶ ὅτι τῶν πρώτων οἰκιόντων τὰς πόλεις καὶ τοῖς θεοῖς ἱδρυσαμένων τὰ ἱερὰ μάλιστα δεῖ διαμένειν τὰς περὶ τοὺς θεοὺς ἐπιμελείας. ἐκ δὲ τοῦ συμφέροντος, ὅτι πρὸς χρημάτων συντέλειαν ἢ τοῖς ἰδιώταις ἢ τῷ κοινῷ τῆς πόλεως συμφέρον ἔσται κατὰ τὰ πάτρια τῶν ἱερῶν θυομένων, καὶ ὅτι πρὸς εὐτολμίαν λυσιτελεῖ τοῖς πολίταις, ἐπεὶ συμπομπευόντων ὁπλιτῶν ἱππέων ψιλῶν εὐτολμότεροι γένοιντ᾽ ἂν οἱ πολῖται φιλοτιμούμενοι περὶ ταῦτα. ἐκ δὲ τοῦ καλοῦ, εἰ οὕτω καλὰς τὰς ἑορτὰς πρὸς τὸ θεωρῆσαι συμβέβηκεν. ἐκ δὲ τῆς ἡδονῆς, εἰ καὶ πρὸς τὸ θεωρεῖσθαι ποικιλία τις περὶ τὰς τῶν θεῶν θυσίας. ἐκ δὲ τοῦ δυνατοῦ, εἰ μήτε ἔνδεια γεγένηται μήτε ὑπερβολὴ περὶ ταύτας. οταν

1 λαχῶς ἐμφανίζειν. εἴη δ' ἂν τὸ μὲν ὅμοιον τῷ συμφέροντι τοιόνδε· ὥσπερ γὰρ ἐν τοῖς πολέμοις συμφέρει τοὺς εὐψυχοτάτους πρώτους τάττειν, οὕτως ἐν ταῖς πολιτείαις λυσιτελεῖ τοὺς φρονιμωτάτους καὶ δικαιοτάτους προεστάναι τοῦ πλήθους. καί, καθάπερ τοῖς ἀνθρώποις ὑγιαίνουσι συμφέρει φυλάττεσθαι μὴ νοσήσωσιν, οὕτω καὶ ταῖς πόλεσιν ὁμονοούσαις συμφέρον ἐστὶ προσκοπεῖν μὴ στασιάσωσιν. τὰ μὲν οὖν ὅμοια τῷ συμφέροντι τοῦτον τὸν τρόπον μετιὼν πολλὰ ποιήσεις, ἐκ δὲ τῶν ἐναντίων ὧδέ σοι τὸ συμφέρον ἔσται καταφανές. εἰ γὰρ λυσιτελεῖ τοὺς ἐπιεικεῖς τῶν πολιτῶν τιμᾶν, συμφέρον ἂν εἴη καὶ τοὺς πονηροὺς κολάζειν. εἰ γὰρ οἴεσθε ἀσύμφορον τὸ μόνους ἡμᾶς πρὸς Θηβαίους πολεμεῖν, συμφέρον ἂν εἴη τὸ Λακεδαιμονίους συμμάχους ποιησαμένους ἡμᾶς οὕτω Θηβαίοις πολεμεῖν. ἐκ μὲν δὴ τῶν ἐναντίων οὕτω τὸ συμφέρον καταφανὲς ποιήσεις, τὸ δὲ κεκριμένον ὑπ' ἐνδόξων συμφέρον ὧδε χρὴ λαμβάνειν· Λακεδαιμόνιοί τε γὰρ Ἀθηναίους καταπολεμήσαντες συμφέρειν αὐτοῖς ᾠήθησαν μὴ τὴν πόλιν αὐτῶν ἀνδραποδίσασθαι, καὶ πάλιν Ἀθηναῖοι ἐξὸν αὐτοῖς ἀνοικίσαι τὴν Σπάρτην συμφέρειν σφίσιν ᾠήθησαν περιποιῆσαι Λακεδαιμονίους.

Περὶ μὲν οὖν τοῦ δικαίου καὶ τοῦ νομίμου καὶ τοῦ συμφέροντος οὕτω μετιὼν εὐπορήσεις· τὸ δὲ καλὸν καὶ τὸ ῥᾴδιον καὶ τὸ ἡδὺ καὶ τὸ δυνατὸν καὶ τὸ ἀναγκαῖον ὁμοιοτρόπως τούτοις μέτιθι. καὶ περὶ μὲν τούτων ἐντεῦθεν εὐπορήσομεν.

2 Πάλιν δὲ ὁρισώμεθα καὶ περὶ πόσων καὶ περὶ ποίων καὶ τίνων ἔν τε τοῖς βουλευτηρίοις καὶ ταῖς ἐκκλησίαις συμβουλεύομεν· ἂν γὰρ τούτων ἕκαστα σαφῶς ἐπιστώμεθα, τοὺς μὲν ἰδίους λόγους αὐτὰ τὰ πράγματα καθ' ἑκάστην ἡμῖν συμβουλίαν παραδώσει· τὰς δὲ κοινὰς ἰδέας ἐκ πολλοῦ προειδότες ἐπιφέρειν ἐφ' ἑκάσταις τῶν

ιράξεων ῥᾳδίως δυνησόμεθα. τούτων οὖν ἕνεκα διαιρε- 2
:έον ἡμῖν, περὶ ὧν κοινῇ βουλεύονται πάντες.

Ἐν κεφαλαίῳ μὲν οὖν εἰπεῖν εἰσὶν ἑπτὰ τὸν ἀριθμὸν ιροθέσεις, περὶ ὧν δημηγορήσομεν· ἀνάγκη γάρ ἐστι ιαὶ βουλεύεσθαι καὶ λέγειν ἡμᾶς ἐν βουλῇ καὶ δήμῳ ἢ ιερὶ ἱερῶν, ἢ περὶ νόμων, ἢ περὶ τῆς πολιτικῆς κατα-ϊκευῆς, ἢ περὶ τῶν πρὸς τὰς ἄλλας πόλεις συμμαχιῶν ιαὶ συμβολαίων, ἢ περὶ πολέμων, ἢ περὶ εἰρήνης, ἢ περὶ ιόρου χρημάτων. αἱ μὲν οὖν προθέσεις αὗται τυγχάνου-ιιν οὖσαι, περὶ ὧν βουλευσόμεθα καὶ δημηγορήσομεν· κάστην δὲ πρόθεσιν διελώμεθα καὶ σκοπῶμεν, ἐν οἷς ρόποις ἐνδέχεται περὶ τούτων λόγῳ χρήσασθαι.

Περὶ μὲν οὖν ἱερῶν τριττῶς ἀναγκαῖον λέγειν· ἢ γὰρ ροῦμεν ὡς τὰ καθεστῶτα διαφυλακτέον, ἢ ὡς ἐπὶ τὸ με-αλοπρεπέστερον [πως], ἢ ὡς ἐπὶ τὸ ταπεινότερον. ὅταν ἐν οὖν λέγωμεν, ὡς δεῖ τὰ καθεστῶτα διαφυλάττειν, ὑρήσομεν ἀφορμὰς ἐκ μὲν τοῦ δικαίου λέγοντες, τὰ :άτρια ἔθη παρὰ πᾶσι παραβαίνειν ἄδικόν ἐστι, καὶ ὅτι ὰ μαντεῖα πάντα τοῖς ἀνθρώποις προστάττει κατὰ τὰ άτρια ποιεῖσθαι τὰς θυσίας, καὶ ὅτι τῶν πρώτων οἰκι-ὀντων τὰς πόλεις καὶ τοῖς θεοῖς ἱδρυσαμένων τὰ ἱερὰ άλιστα δεῖ διαμένειν τὰς περὶ τοὺς θεοὺς ἐπιμελείας. ἐκ ὲ τοῦ συμφέροντος, ὅτι πρὸς χρημάτων συντέλειαν ἢ οῖς ἰδιώταις ἢ τῷ κοινῷ τῆς πόλεως συμφέρον ἔσται ατὰ τὰ πάτρια τῶν ἱερῶν θυομένων, καὶ ὅτι πρὸς εὐ-ολμίαν λυσιτελεῖ τοῖς πολίταις, ἐπεὶ συμπομπευόντων ιλιτῶν ἱππέων ψιλῶν εὐτολμότεροι γένοιντ' ἂν οἱ πο-ται φιλοτιμούμενοι περὶ ταῦτα. ἐκ δὲ τοῦ καλοῦ, εἰ ϊτω καλὰς τὰς ἑορτὰς πρὸς τὸ θεωρῆσαι συμβέβηκεν. δὲ τῆς ἡδονῆς, εἰ καὶ πρὸς τὸ θεωρεῖσθαι ποικιλία ; περὶ τὰς τῶν θεῶν θυσίας. ἐκ δὲ τοῦ δυνατοῦ, εἰ τε ἔνδεια γεγένηται μήτε ὑπερβολὴ περὶ ταύτας. οταν

2 μὲν οὖν τοῖς καθεστῶσι συνηγορῶμεν, οὕτω μετιοῦσι σκεπτέον ἐπὶ τῶν προειρημένων ἢ τῶν τούτοις ὁμοιοτρόπων, καὶ ὡς ἐνδέχεται διδάσκειν περὶ τῶν λεγομένων· ὅταν δὲ ἐπὶ τὸ μεγαλοπρεπέστερον συμβουλεύωμεν μεθιστάναι τὰς ἱεροποιίας, περὶ μὲν τοῦ τὰ πάτρια κινεῖν ἀφορμὰς ἕξομεν εὐπρεπεῖς, λέγοντες, τὸ προστιθέναι τοῖς ὑπάρχουσιν οὐ καταλύειν ἐστὶν ἀλλ' αὔξειν τὰ καθεστῶτα· ἔπειθ' ὡς καὶ τοὺς θεοὺς εἰκὸς εὐνουστέρους εἶναι τοῖς μᾶλλον αὐτοὺς τιμῶσιν· ἔπειθ' ὡς οὐδὲ οἱ πατέρες ἀεὶ κατὰ τὰ αὐτὰ τὰς θυσίας ἦγον, ἀλλὰ πρὸς τοὺς καιροὺς καὶ τὰς εὐπραγίας ὁρῶντες καὶ ἰδίᾳ καὶ κοινῇ τὴν πρὸς τοὺς θεοὺς θεραπείαν ἐνομοθέτουν· ἔπειθ' ὡς καὶ ἐπὶ τῶν λοιπῶν ἁπάντων οὕτω καὶ τὰς πόλεις καὶ τοὺς ἰδίους οἴκους διοικοῦμεν. λέγε δὲ καὶ εἰ τούτων κατασκευασθέντων ὠφέλειά τις ἔσται τῇ πόλει ἢ λαμπρότης ἢ ἡδονὴ μετιὼν ὥσπερ ἐπὶ τῶν προτέρων εἴρηται. ὅταν δὲ ἐπὶ τὸ ταπεινότερον συστέλλωμεν, πρῶτον μὲν ἐπὶ τοὺς καιροὺς τὸν λόγον ἀνακτέον, τί πράττοντες χεῖρον οἱ πολῖται τυγχάνουσι νῦν ἢ πρότερον· ἔπειθ' ὡς οὐκ εἰκὸς τοὺς θεοὺς χαίρειν ταῖς δαπάναις τῶν θυομένων, ἀλλὰ ταῖς εὐσεβείαις τῶν θυόντων· εἶθ' ὡς πολλὴν ἄνοιαν τούτων καὶ οἱ ἄνθρωποι κατακρίνουσιν, ὅσοι παρὰ δύναμίν τι ποιοῦσιν· ἔπειθ' ὅτι οὐκ ἐπὶ τοῖς ἀνθρώποις μόνοις ἀλλὰ καὶ ἐπὶ ταῖς εὐπραγίαις καὶ κακοπραγίαις ἐστὶ τὰ περὶ τὰς πολιτικὰς δαπάνας. ἀφορμὰς μὲν οὖν ταύτας καὶ τὰς ὁμοιοτρόπους ταύταις ὑπὲρ τῶν περὶ τὰς θυσίας προθέσεων ἕξομεν· ἵνα δὲ καὶ τὰ κατὰ τὴν κρατίστην θυσίαν εἰδῶμεν εἰσηγεῖσθαι καὶ νομοθετεῖν, ὁρισώμεθα καὶ ταύτην. ἔστι γὰρ κρατίστη θυσία πασῶν ἥτις ἂν ἔχῃ πρὸς μὲν τοὺς θεοὺς ὁσίως [καὶ θείως], πρὸς δὲ τὰς δαπάνας μετρίως, πρὸς δὲ πόλεμον ὠφελίμως, πρὸς δὲ τὰς θεωρίας λαμπρῶς. ἕξει δὲ πρὸς

μὲν τοὺς θεοὺς ὁσίως, ἂν τὰ πάτρια μὴ καταλύηται· 2
πρὸς δὲ τὰς δαπάνας μετρίως, ἐὰν μὴ πάντα τὰ πεμπόμενα καταναλίσκηται· πρὸς δὲ τὰς θεωρίας λαμπρῶς, ἐὰν χρυσῷ καὶ τοῖς τοιούτοις ἃ μὴ συναναλίσκεται, δαψιλῶς τις χρήσηται· πρὸς δὲ τοὺς πολέμους ὠφελίμως, ἐὰν ἱππεῖς καὶ ὁπλῖται διεσκευασμένοι συμπομπεύωσιν. τὰ μὲν δὴ περὶ τοὺς θεοὺς ἐκ τούτων κάλλιστα κατασκευάσομεν, ἐκ δὲ τῶν πρότερον εἰρημένων καθ' οὓς ἐνδέχεται τρόπους δημηγορεῖν περὶ ἑκάστης ἱεροποιίας εἰσόμεθα.

Περὶ δὲ νόμων πάλιν καὶ τῆς πολιτικῆς κατασκευῆς ὁμοιοτρόπως διέλθωμεν. εἰσὶ δὲ νόμοι συλλήβδην μὲν εἰπεῖν ὁμολογήματα κοινὰ πόλεως, ἃ διὰ γραμμάτων ὁρίζει καὶ προστάττει πῶς χρὴ πράττειν ἕκαστα. δεῖ δὲ αὐτῶν τὴν θέσιν ἐν μὲν ταῖς δημοκρατίαις τὰς μικρὰς ἀρχὰς καὶ τὰς πολλὰς κληρωτὰς ποιεῖν· ἀστασίαστον γὰρ τοῦτο· τὰς δὲ μεγίστας χειροτονητὰς ἀπὸ τοῦ πλήθους. οὕτω γὰρ ὁ μὲν δῆμος κύριος ὢν διδόναι τὰς τιμὰς οἷς ἂν ἐθέλῃ, τοῖς λαμβάνουσιν αὐτὰς οὐ φθονήσει, οἱ δ' ἐπιφανέστεροι μᾶλλον τὴν καλοκαγαθίαν ἀσκήσουσιν, εἰδότες ὅτι τὸ παρὰ τοῖς πολίταις εὐδοκιμεῖν οὐκ ἀλυσιτελὲς αὐτοῖς ἔσται. περὶ μὲν οὖν τὰς ἀρχαιρεσίας ἐν τῇ δημοκρατίᾳ οὕτω δεῖ νομοθετεῖν, περὶ δὲ τὴν ἄλλην διοίκησιν καθ' ἓν μὲν ἕκαστον διελθεῖν πολὺ ἂν ἔργον εἴη, συλλήβδην δὲ δεῖ παραφυλάττειν ὅπως οἱ νόμοι τὸ μὲν πλῆθος ἀποτρέψωσι τοῖς τὰς οὐσίας ἔχουσιν ἐπιβουλεύειν, τοῖς δὲ πλουτοῦσιν εἰς τὰς κοινὰς λειτουργίας ἑκουσίαν ἅπασαν φιλοτιμίαν ἐμποιήσωσιν. τοῦτο δὲ οὕτως ἂν κατασκευάσειεν, εἰ τοῖς μὲν τὰς οὐσίας ἔχουσιν ἀντὶ τῶν εἰς τὸ κοινὸν δαπανωμένων τιμαί τινες ἀπὸ τῶν νόμων ἀφωρισμέναι τυγχάνοιεν, τῶν δὲ πενομένων τοὺς τὴν χώραν ἐργαζομένους καὶ ναυκληροῦντας

2 τῶν ἀγοραίων μᾶλλον προτιμῷεν, ὅπως οἱ μὲν πλουτοῦντες ἑκόντες τῇ πόλει λειτουργήσωσι, τὸ δὲ πλῆθος οὐ συκοφαντίας ἀλλ᾽ ἐργασίας ἐπιθυμήσῃ. δεῖ δὲ πρὸς τούτοις καὶ περὶ τοῦ μήτε χώραν ποιεῖν ἀνάδαστον μήτε δημεύειν τὰς οὐσίας τῶν τελευτώντων ἰσχυροὺς κεῖσθαι νόμους, καὶ μεγάλας ἐπικεῖσθαι τιμωρίας τοῖς παραβαίνουσι ταῦτα. χρὴ δὲ τοῖς ἐν πολέμῳ τελευτῶσιν εἰς ταφήν τι χωρίον δημόσιον ἐν καλῷ πρὸ τῆς πόλεως ἀφωρισμένον, καὶ τοῖς παισὶν αὐτῶν ἕως ἥβης δημοσίαν τροφὴν δίδοσθαι. τῶν μὲν οὖν ἐν τῇ δημοκρατίᾳ νόμων τὴν θέσιν τοιαύτην δεῖ ποιεῖσθαι· περὶ δὲ τὰς ὀλιγαρχίας τὰς μὲν ἀρχὰς δεῖ τοὺς νόμους ἀπονέμειν ἐξ ἴσου πᾶσι τοῖς τῆς πολιτείας μετέχουσι, τούτων δὲ εἶναι τὰς μὲν πλείστας κληρωτάς, τὰς δὲ μεγίστας κρυπτῇ ψήφῳ μεθ᾽ ὅρκων καὶ πλείστης ἀκριβείας διαψηφιστάς. δεῖ δὲ τὰς ζημίας ἐν τῇ ὀλιγαρχίᾳ μεγίστας ἐπικεῖσθαι τοῖς ὑβρίζειν τινὰς τῶν πολιτῶν ἐπιχειροῦσιν· τὸ γὰρ πλῆθος οὐχ οὕτω τῶν ἀρχῶν ἀγανακτεῖ στερούμενον, ὡς ἔχει βαρέως ὑβριζόμενον. χρὴ δὲ καὶ τὰς διαφορὰς τῶν πολιτῶν ὅτι τάχιστα διαλύειν καὶ μὴ χρονίζεσθαι, μηδὲ συνάγειν ἐκ τῆς χώρας ἐπὶ τὴν πόλιν τὸν ὄχλον· ἐκ γὰρ τῶν τοιούτων συνόδων συστρέφεται τὰ πλήθη καὶ καταλύει τὰς ὀλιγαρχίας. καθόλου δὲ εἰπεῖν, δεῖ τοὺς νόμους ἐν μὲν ταῖς δημοκρατίαις κωλύειν τοὺς πολλοὺς ταῖς τῶν πλουσίων οὐσίαις ἐπιβουλεύειν, ἐν δὲ ταῖς ὀλιγαρχίαις ἀποτρέπειν τοὺς τῆς πολιτείας μετέχοντας ὑβρίζειν τοὺς ἀσθενεστέρους καὶ συκοφαντεῖν τοὺς πολίτας. ὧν μὲν οὖν ὀρέγεσθαι δεῖ τοὺς νόμους καὶ τὴν πολιτικὴν κατασκευήν, ἐκ τούτων οὐκ ἀγνοήσεις· δεῖ δὲ τὸν συναγορεύειν ἐθέλοντα νόμῳ δεικνύειν τοῦτον ἴσον ὄντα τοῖς πολίταις ὁμολογούμενόν τε τοῖς ἄλλοις νόμοις καὶ συμφέροντα τῇ πόλει μάλιστα μὲν πρὸς ὁμόνοιαν, εἰ δὲ

μή, πρὸς τὴν τῶν πολιτῶν καλοκαγαθίαν ἢ πρὸς τὰς 2
κοινὰς προσόδους ἢ πρὸς εὐδοξίαν τῷ κοινῷ τῆς πόλεως ἢ πρὸς τὴν πολιτικὴν δύναμιν ἢ πρὸς ἄλλο τι τῶν τοιούτων· ἀντιλέγοντα δὲ σκοπεῖν πρῶτον μὲν εἰ μὴ κοινὸς ὁ νόμος· ἔπειτα εἰ μὴ τοῖς ἄλλοις ὁμολογῶν ἀλλ' ὑπεναντίος ἔσται· ἐπὶ τούτοις εἰ μὴ πρὸς μηδὲν τῶν εἰρημένων συμφέρων ἀλλὰ τοὐναντίον βλαβερός.

Περὶ μὲν οὖν νόμων καὶ τῆς κοινῆς κατασκευῆς ἐντεῦθεν καὶ τιθέναι καὶ λέγειν εὐπορήσομεν· περὶ δὲ συμμάχων καὶ τῶν πρὸς τὰς ἄλλας πόλεις συμβολαίων διελθεῖν ἐπιχειρήσομεν. τὰ μὲν οὖν συμβόλαια κατὰ τάξεις ἀναγκαῖον καὶ συνθήκας κοινὰς γίνεσθαι, συμμάχους δὲ ποιεῖσθαι κατὰ τοὺς καιροὺς τούτους, ὅταν τινὲς καθ' ἑαυτοὺς ὦσιν ἀσθενεῖς, ἢ πόλεμός τις ᾖ προσδόκιμος, ἢ διὰ τοῦτο ποιήσασθαι συμμαχίαν πρός τινας ὅτι πολέμῳ ἀποστήσειν τινὰς νομίζουσιν. αἰτίαι μὲν οὖν αὗται καὶ παραπλήσιαι ταύταις ἄλλαι πλείους [τοῦ ποιεῖσθαι συμμάχους] εἰσίν. δεῖ δὲ ὅταν συναγορεύειν βούλῃ τῇ γινομένῃ συμμαχίᾳ, τὸν καιρὸν τοιοῦτον ὑπάρχοντα ἐμφανίζειν, καὶ δεικνύναι τοὺς τὴν συμμαχίαν ποιουμένους μάλιστα μὲν δικαίους ὄντας καὶ πρότερόν τι τῇ πόλει ἀγαθὸν πεποιηκότας καὶ δύναμιν μεγάλην ἔχοντας καὶ πλησίον τοῖς τόποις κατοικοῦντας· εἰ δὲ μή, τούτων ἅπερ ἂν ὑπάρχῃ, ταῦτα συνάγειν. ὅταν δὲ διακωλύῃς τὴν συμμαχίαν, ἐμφανίζειν ἐνδέχεται πρῶτον μὲν ὡς οὐκ ἀναγκαῖον ποιεῖσθαι νῦν αὐτήν, ἔπειθ' ὡς οὐ δίκαιοι τυγχάνουσιν ὄντες, εἶθ' ὡς πρότερον ἡμᾶς κακῶς πεποιηκότες, εἰ δὲ μή, ὡς μακρὰν τοῖς τόποις ἀπέχοντες καὶ οὐχ ὑπάρχοντες δυνατοὶ κατὰ τοὺς προσήκοντας παραγενέσθαι καιρούς. ταῖς μὲν οὖν ἀντιλογίαις καὶ ταῖς συνηγορίαις ταῖς περὶ τῶν συμμάχων ἐκ τούτων καὶ τῶν τούτοις ὁμοιοτρόπων εὐπορήσομεν χρῆσθαι.

2 Περὶ εἰρήνης δὲ πάλιν καὶ πολέμου τὸν αὐτὸν τρόπον τὰς μεγίστας ἰδέας ἐκλάβωμεν. προφάσεις μὲν οὖν εἰσι τοῦ πόλεμον ἐκφέρειν πρός τινας αὗται· δεῖ πρότερον ἀδικηθέντας νῦν καιρῶν παραπεπτωκότων ἀμύνασθαι τοὺς ἀδικήσαντας, ἢ νῦν ἀδικουμένους ὑπὲρ ἑαυτῶν πολεμεῖν ἢ ὑπὲρ συγγενῶν ἢ ὑπὲρ εὐεργετῶν ἢ συμμάχοις ἀδικουμένοις βοηθεῖν, ἢ τοῦ τῇ πόλει συμφέροντος ἕνεκεν, ἢ εἰς εὐδοξίαν, ἢ εἰς εὐπορίαν, ἢ εἰς δύναμιν, ἢ εἰς ἄλλο τι τῶν τοιούτων. ὅταν μὲν οὖν ἐπὶ τὸ πολεμεῖν παρακαλῶμεν, τούτων τε τῶν προφάσεων ὅτι πλείστας συνακτέον καὶ μετὰ ταῦτα δεικτέον, ἐξ ὧν ἔστι περιγενέσθαι τῷ πολέμῳ, ὅτι τὰ πλεῖστα τούτων τοῖς παρακαλουμένοις ὑπάρχοντά ἐστιν. περιγίνονται δὲ πάντες ἢ διὰ τὴν τῶν θεῶν εὔνοιαν, ἣν εὐτυχίαν προσαγορεύομεν, ἢ διὰ σωμάτων πλῆθος καὶ ῥώμην, ἢ διὰ χρημάτων εὐπορίαν, ἢ διὰ στρατηγοῦ φρόνησιν, ἢ διὰ συμμάχων ἀρετήν, ἢ διὰ τόπων εὐφυΐαν. τούτων οὖν καὶ τῶν τοιούτων τὰ τοῖς πράγμασιν οἰκειότατα λαμβάνοντες ἐμφανιοῦμεν, ὅταν ἐπὶ τὸ πολεμεῖν παρακαλῶμεν, τὰ μὲν τῶν ἐναντίων ταπεινοῦντες, τὰ δ' ἡμέτερα ταῖς αὐξήσεσι μεγάλα καθιστῶντες. ἐὰν δὲ πόλεμον μέλλοντα γίνεσθαι διακωλύειν ἐπιχειρῶμεν, πρῶτον μὲν διὰ προφάσεων δεικτέον ἢ παντελῶς οὐδεμίαν ὑπάρχουσαν, ἢ μικρὰς καὶ ταπεινὰς οὔσας τὰς δυσχερείας· ἔπειθ' ὡς οὐ συμφέρει πολεμεῖν, διεξιόντας τὰ κατὰ τὸν πόλεμον ἀτυχήματα τοῖς ἀνθρώποις. πρὸς δὲ τούτοις τὰ πρὸς νίκας συντείνοντα τοῦ πολέμου τοῖς ἐναντίοις ὑπάρχοντα μᾶλλον δεικτέον· ταῦτα δέ ἐστιν ἅπερ ἀρτίως κατηρίθμηται. γίνεσθαι μὲν οὖν μέλλοντα πόλεμον ἐκ τούτων ἀποτρεπτέον. ἤδη δ' ἐνεστῶτα παύειν ἐπιχειροῦντας, ἐὰν μὲν κρατῶσιν οἱ συμβουλευόμενοι, αὐτὸ τοῦτο πρῶτον λεκτέον, ὅτι δεῖ τοὺς νοῦν

ἔχοντας μὴ περιμένειν, ἕως ἂν πέσωσιν, ἀλλ' ἐν τῷ 2
κρατεῖν ποιεῖσθαι τὴν εἰρήνην· ἔπειτα διότι πέφυκεν ὁ πόλεμος καὶ τῶν εὐτυχούντων ἐν αὐτῷ πολλοὺς ἀπολλύναι· ἡ δ' εἰρήνη τοὺς μὲν ἡττωμένους σώζειν, τοὺς δὲ νικῶντας, ὧν ἕνεκεν ἐπολέμησαν, [παρέχειν] ἀπολαύειν· διεξιτέον δὲ τὰς μεταβολὰς τὰς ἐν τῷ πολέμῳ, ὡς πολλαὶ καὶ παράλογοι γίνονται. τοὺς μὲν οὖν ἐν τῷ πολέμῳ κρατοῦντας ἐκ τῶν τοιούτων ἐπὶ τὴν εἰρήνην παρακλητέον, τοὺς δὲ ἐπταικότας ἐξ αὐτῶν τε τῶν συμβάντων καὶ ἐκ τοῦ μὴ παροξύνεσθαι τοῖς προαδικήσασι ταῖς συμφοραῖς πειθομένους, καὶ ἐκ τῶν κινδύνων τῶν γεγενημένων τοῦ μὴ ποιήσασθαι τὴν εἰρήνην, καὶ ἐκ τοῦ κρεῖττον εἶναι τοῖς κρείττοσι μέρος τι τῶν ὑπαρχόντων προέσθαι ἢ πολέμῳ κρατηθέντας αὐτοὺς αὐτοῖς κτήμασιν ἀπολέσθαι. συλλήβδην δὲ τοῦθ' ἡμᾶς εἰδέναι δεῖ, ὅτι τότε πάντες οἱ ἄνθρωποι τοὺς πολέμους εἰώθασι διαλύεσθαι πρὸς ἀλλήλους, ὅταν ἤτοι δίκαια ἀξιοῦν τοὺς ἐναντίους ὑπολαμβάνωσιν, ἢ διενεχθῶσι τοῖς συμμάχοις, ἢ τῷ πολέμῳ κάμνωσιν, ἢ φοβηθῶσι τοὺς ἐναντίους, ἢ στασιάσωσι πρὸς σφᾶς αὐτούς· ὥστε τούτων τε πάντων καὶ τῶν τούτοις ὁμοιοτρόπων τὰ τοῖς πράγμασιν οἰκειότατα συνάγων οὐκ ἀπορήσεις, ὅθεν χρὴ περὶ πολέμου δημηγορεῖν καὶ εἰρήνης.

Λείπεται δ' ἡμᾶς ἔτι περὶ πόρου χρημάτων διελθεῖν. πρῶτον μὲν οὖν σκεπτέον, εἴ τι τῶν τῆς πόλεως κτημάτων ἠμελημένον ἐστὶ καὶ μήτε πρόσοδον ποιεῖ μήτε τοῖς θεοῖς ἐξαίρετόν ἐστιν. λέγω δ' οἷον τόπους τινὰς δημοσίους ἠμελημένους, ἐξ ὧν τοῖς ἰδιώταις ἢ πραθέντων ἢ μισθωθέντων πρόσοδος ἄν τις τῇ πόλει γίγνοιτο· κοινότατος γὰρ ὁ τοιοῦτος πόρος ἐστίν. ἂν δὲ μηδὲν ᾖ τοιοῦτον, ἀπὸ τιμημάτων ἀναγκαῖον ποιήσασθαι τὰς εἰσφοράς, ἢ τοῖς μὲν πένησι τὰ σώματα παρέχειν εἶναι προς-

2 τεταγμένον εἰς τοὺς κινδύνους, τοῖς δὲ πλουτοῦσι τὰ χρήματα, τοῖς δὲ τεχνίταις ὅπλα. συλλήβδην δὲ περὶ πόρων εἰσηγούμενοι φάναι αὐτοὺς ἴσους τοῖς πολίταις καὶ πολυχρονίους καὶ μεγάλους ὄντας, τοὺς δὲ τῶν ἐναντίων τὰ ἐναντία τούτοις ἔχοντας. τὰς μὲν οὖν προθέσεις περὶ ὧν δημηγορήσομεν, καὶ τὰ μέρη τούτων ἐξ ὧν τοὺς λόγους συστήσομεν καὶ προτρέποντες καὶ ἀποτρέποντες, ἐκ τῶν εἰρημένων ἴσμεν. προθέμενοι δὲ πάλιν ἐφεξῆς τό τε ἐγκωμιαστικὸν εἶδος καὶ τὸ ψεκτικὸν περιλάβωμεν.

3 Συλλήβδην μὲν οὖν ἐστιν ἐγκωμιαστικὸν εἶδος προαιρέσεων καὶ πράξεων καὶ λόγων ἐνδόξων αὔξησις καὶ μὴ προσόντων συνοικείωσις, ψεκτικὸν δὲ τὸ ἐναντίον τούτῳ, τῶν μὲν ἐνδόξων ταπείνωσις, τῶν δὲ ἀδόξων αὔξησις. ἐπαινετὰ μὲν οὖν ἐστι πράγματα τὰ δίκαια καὶ τὰ νόμιμα καὶ τὰ συμφέροντα καὶ τὰ καλὰ καὶ τὰ ἡδέα καὶ τὰ ῥᾴδια πραχθῆναι. ταῦτα δὲ αὐτά τε οἷά ἐστι καὶ ὅθεν αὐτὰ πολλὰ ποιήσομεν, ἐν τοῖς πρὸ τούτων εἴρηται. δεῖ δὲ τὸν εὐλογοῦντα δεικνύειν τοῖς λόγοις ὡς τούτῳ τῷ ἀνθρώπῳ ἢ τοῖς πράγμασιν ὑπάρχει τι τούτων ὑπ' αὐτοῦ κατεργασθὲν ἢ δι' αὐτοῦ πορισθὲν ἢ ἐκ τούτου ἐπισυμβαῖνον ἢ ἕνεκεν τούτου γινόμενον ἢ οὐκ ἄνευ τούτου ἐπιτελούμενον· ὁμοιοτρόπως δὲ καὶ τῷ ψέγοντι τὰ ἐναντία τούτοις δεικτέον προσόντα τῷ ψεγομένῳ. τὸ μὲν ἐκ τούτου· οἷον ἐκ τοῦ φιλογυμναστεῖν τὸ σῶμα ὑγιαίνειν, καὶ ἐκ τοῦ μὴ φιλοπονεῖν ἐπ' ἀρρωστίαν ἐμπίπτειν, καὶ ἐκ τοῦ φιλοσοφεῖν δεινότερον εἶναι περὶ φρόνησιν, καὶ ἐκ τοῦ ἀμελεῖν ἐνδεᾶ τῶν ἀναγκαίων εἶναι. τὸ δ' ἕνεκα τούτου· οἷον ἕνεκα τοῦ στεφανωθῆναι ὑπὸ τῶν πολιτῶν πολλοὺς πόνους καὶ κινδύνους ὑπομένουσι, καὶ ἕνεκα τοῦ χαρίσασθαι τοῖς ἐρωμένοις τῶν ἄλλων οὐδὲν φροντίζουσιν. τὸ δὲ μὴ ἄνευ τούτου· οἷον οὐκ ἄνευ τῶν ναυτῶν ναυμαχιῶν νῖκαι,

ἄνευ τοῦ πίνειν αἱ παροινίαι. τὰ τοιαῦτα δὲ 3 ειρημένοις ὁμοιοτρόπως μετιὼν ἐγκωμίων καὶ ιολλῶν εὐπορήσεις. αὐξήσεις δὲ καὶ ταπεινώσεις ῆην ἅπαντα τὰ τοιαῦτα τόνδε τὸν τρόπον μετι- ῦτον μὲν ἀποφαίνων, ὥσπερ ἀρτίως μετῆλθον, τουὶ πολλὰ γεγενῆσθαι ἢ κακὰ ἢ ἀγαθά. εἷς μὲν πος τῆς αὐξήσεως οὗτος, δεύτερος δὲ κεκριμένον 'ρειν, ἂν μὲν ἐπαινῇς, ἀγαθόν, ἂν δὲ ψέγῃς, κα- α παριστάναι τὸ ὑπό σου λεγόμενον καὶ παρα- πρὸς ἄλληλα, τοῦ μὲν ὑπὸ σαυτοῦ λεγομένου ῖτα διεξιών, τοῦ δ' ἑτέρου τὰ ἐλάχιστα, καὶ οὕτω νεῖται. τρίτος δὲ πρὸς τὸ ὑπὸ σαυτοῦ λεγόμενον αβάλλειν τοὐλάχιστον τῶν ὑπὸ τὴν αὐτὴν ἰδέαν 'ων· φανεῖται γὰρ οὕτω τὸ ὑπό σου λεγόμενον ὥσπερ οἱ μέτριοι τὰ μεγέθη φαίνονται μείζους, ὸς βραχυτέρους παραστῶσιν. ἔσται δὲ καὶ ὧδε αὔξειν· εἰ κέκριται μέγα ἀγαθὸν τοῦτο, τούτῳ ίον ἐὰν λέγῃς, μέγα κακὸν φανεῖται. ὡσαύτως ιίζεται μέγα κακόν, ἐὰν τούτῳ ἐναντίον λέγῃς, 'αθὸν φανεῖται. ἔστι δὲ καὶ ὧδε μεγάλα ποιεῖν ἢ τὰ κακά, ἐὰν ἀποφαίνῃς αὐτὸν ἐκ διανοίας, ίζων ὡς ἐκ πολλοῦ προενόησεν, ὡς πολλὰ πράτ- βάλετο, ὡς πολὺν χρόνον ἔπραττεν, ὡς οὐδεὶς ρότερον τούτοις ἐπεχείρησεν, ὡς μετὰ τούτων μεθ' ὧν οὐδεὶς ἄλλος, ὡς ἐπὶ τούτοις μεθ' οὓς τερος, ὡς ἑκών, ὡς ἐκ προνοίας, ὡς εἰ πάντες ἴως ποιοῖμεν, εὐδαιμονοῖμεν ἂν ἢ φαύλως πράτ- χρὴ δὲ καὶ εἰκάζοντα συμβιβάζειν καὶ ἐποικοδο- τὸ ἕτερον ὡς ἐπὶ τὸ ἕτερον αὔξειν τρόπῳ τοιῷδε· τῶν φίλων κήδεται, τοῦτον εἰκὸς καὶ τοὺς αὐ- εῖς τιμᾶν· ὃς δὲ τοὺς γονέας τιμᾷ, οὗτος καὶ τὴν τὴν ἑαυτοῦ εὖ ποιεῖν βουλήσεται. συλλήβδην

3 δέ, ἐὰν πολλῶν αἴτιον ἀποφαίνῃς, ἐάν τε ἀγαθῶν ἐάν τε κακῶν, μεγάλα φανεῖται. σκοπεῖν δὲ καὶ τὸ πρᾶγμα ὁποῖον φανεῖται κατὰ μέρη διαιρούμενον καὶ καθόλου λεγόμενον, καὶ ὁποτέρως ἂν μεῖζον ᾖ, τόνδε τὸν τρόπον αὐτὸ λέγειν. τὰς μὲν οὖν αὐξήσεις οὕτω μετιὼν πλείστας ποιήσεις καὶ μεγίστας· ταπεινώσεις δὲ τοῖς λόγοις καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ τὸν ἐναντίον τρόπον μετιών, ὡς εἰρήκαμεν ἐπὶ τῶν μεγάλων, καὶ μάλιστα μὲν ἂν μηδενὸς αἴτιον ἐπιδεικνύῃς, εἰ δὲ μή, ὡς ἐλαχίστων καὶ σμικροτάτων. ὡς μὲν οὖν ἐγκωμιάζοντες καὶ ψέγοντες αὐξήσομεν καὶ ταπεινώσομεν, ἅπερ ἂν ἐθέλωμεν, ἐκ τούτων ἴσμεν. χρήσιμοι δὲ αἱ τῶν αὐξήσεων ἀφορμαί εἰσι καὶ ἐν τοῖς ἄλλοις εἴδεσιν, ἀλλ' ἡ πλείστη δύναμις αὐτῶν ἐστιν ἐν τοῖς ἐγκωμίοις καὶ ἐν τοῖς ψόγοις. περὶ μὲν οὖν τούτων ἐντεῦθεν εὐπορήσομεν.

4 Διέλθωμεν δὲ πάλιν ὁμοιοτρόπως τούτοις τό τε κατηγορικὸν καὶ τὸ ἀπολογητικὸν εἶδος, ὃ περὶ τὴν δικανικήν ἐστι πραγματείαν, αὐτά τε ἐξ ὧν συνέστηκε καὶ ὡς δεῖ αὐτοῖς χρῆσθαι. ἔστι δὲ τὸ μὲν κατηγορικὸν συλλήβδην εἰπεῖν ἀδικημάτων καὶ ἁμαρτημάτων ἐξάγγελσις, τὸ δ' ἀπολογητικὸν ἁμαρτημάτων καὶ ἀδικημάτων κατηγορηθέντων ἢ καθυποπτευθέντων διάλυσις. ἑκατέρου δὲ τῶν εἰδῶν τὰς δυνάμεις τὰς αὐτὰς ἔχοντος, κατηγοροῦντα μὲν ἀναγκαῖον λέγειν, ὅταν μὲν εἰς πονηρίαν κατηγορῇ, ὡς αἱ τῶν ἐναντίων πράξεις ἄδικοι καὶ παράνομοι καὶ τῷ πλήθει τῶν πολιτῶν ἀσύμφοροι τυγχάνουσιν οὖσαι, ὅταν δὲ εἰς ἀβελτερίαν, ὡς αὐτῷ τε [καὶ] τῷ πράττοντι ἀσύμφοροι καὶ αἰσχραὶ καὶ ἀηδεῖς καὶ ἀδύνατοι ἐπιτελεσθῆναι. ταῦτα μὲν καὶ τὰ τούτοις ὅμοια κατά τε τῶν πονηρῶν καὶ τῶν ἀβελτέρων ἐπιχειρήματά ἐστιν. δεῖ δὲ καὶ τοῦτο παρατηρεῖν τοὺς κατηγοροῦντας, ἐπὶ ποίοις τῶν ἀδικημάτων οἱ νόμοι τὰς τι-

μωρίας τάττουσιν, καὶ περὶ ἃ τῶν ἀδικημάτων οἱ δι- 4
κασταὶ τὰς ζημίας ὁρίζουσιν. ὅταν μὲν οὖν ᾖ νόμος διωρικώς, τοῦτο δεῖ μόνον σκοπεῖν τὸν κατήγορον, ὅπως ἐπιδείξῃ τὸ πρᾶγμα γεγενημένον. ὅταν δὲ οἱ δικασταὶ τὸ κατηγορούμενον εἰδῶσιν, αὐξητέον ἐστὶ τὰ ἀδικήματα καὶ τὰ τῶν ἐναντίων ἁμαρτήματα, καὶ μάλιστα μὲν δεικτέον, ὡς ἑκὼν καὶ ἐκ προνοίας οὐ τῆς τυχούσης, ἀλλὰ μετὰ παρασκευῆς πλείστης ἠδίκησεν· ἐὰν δὲ μὴ δυνατὸν ᾖ τοῦτο ποιεῖν, ἀλλὰ νομίζῃς δείξειν τὸν ἐναντίον, ὡς ἥμαρτε τρόπον τινά, ἢ ὅτι ταῦτα πρᾶξαι διανοηθεὶς καλῶς ἠτύχησε, περιαιρετέον τὴν συγγνώμην λέγοντα τοῖς ἀκούουσιν, ὡς οὐ δεῖ πράξαντας ἡμαρτηκέναι φάσκειν, ἀλλὰ πρὶν πράττειν εὐλαβεῖσθαι. ἔπειθ' ὡς εἰ καὶ ἐξήμαρτεν ἢ ἠτύχησεν ἐκεῖνος, δεῖ διὰ τὰς ἀτυχίας καὶ τὰς ἁμαρτίας ζημιωθῆναι μᾶλλον αὐτὸν ἢ τὸν μηδέτερον τούτων ποιήσαντα. πρὸς δὲ τούτοις καὶ ὁ νομοθέτης οὐκ ἀφῆκε τοὺς ἐξαμαρτάνοντας, ἀλλ' ὑποδίκους ἐποίησεν, ἵνα μὴ πάντες ἐξαμαρτάνωσιν. λέγε δὲ καὶ ὡς, εἰ τὸν τὰ τοιαῦτα ἀπολογούμενον ἀποδέξονται, πολλοὺς τοὺς ἀδικεῖν προαιρουμένους ἕξουσι· κατορθώσαντες μὲν γὰρ ἅπερ ἂν ἐθέλωσι πράξουσιν· ἀποτυχόντες δὲ φάσκοντες ἠτυχηκέναι τιμωρίαν οὐχ ὑφέξουσιν. τοῖς μὲν οὖν κατηγοροῦσιν ἐκ τῶν τοιούτων ἡ συγγνώμη περιαιρετέα καί, ὡς πρότερον εἴρηται, διὰ τῶν αὐξήσεων πολλῶν αἴτια κακῶν τὰ τῶν ἐναντίων ἔργα δεικτέον. τὸ μὲν οὖν κατηγορικὸν εἶδος διὰ τῶν μερῶν ἀποτελεῖται τούτων· τὸ δὲ ἀπολογητικὸν διὰ τριῶν μεθόδων συνίσταται [, πόθεν ἄν τις ἀπολογήσαιτο]· ἢ γὰρ ἀποδεικτέον τῷ ἀπολογουμένῳ ὡς οὐδὲν τῶν κατηγορουμένων ἔπραξεν· ἢ ἐὰν ἀναγκάζηται ὁμολογεῖν, πειρατέον δεικνύναι ἔννομον καὶ δίκαιον καὶ καλὸν καὶ συμφέρον τῇ πόλει τὸ πεπραγμένον· ἐὰν δὲ μὴ

4 τοῦτο δύνηται ἀποδεῖξαι, εἰς ἁμάρτημα ἢ εἰς ἀτύχημα ἄγοντα τὰς πράξεις καὶ μικρὰς τὰς βλάβας ἀπ' αὐτῶν γενομένας ἀποφαίνοντα συγγνώμης τυχεῖν πειρατέον. ἀδικίαν δὲ καὶ ἁμάρτημα καὶ ἀτυχίαν ἂν διορίζῃς, τὸ μὲν ἐκ προνοίας κακόν τι ποιεῖν ἀδικίαν τίθει, καὶ φάθι δεῖν τιμωρίαν ἐπὶ τοῖς τοιούτοις τὴν μεγίστην λαμβάνειν. τὸ δὲ δι' ἄγνοιαν βλαβερόν τι πράττειν ἁμαρτίαν εἶναι φατέον. τὸ δὲ μὴ δι' ἑαυτὸν ἀλλὰ δι' ἑτέρους τινὰς ἢ διὰ τύχην μηδὲν ἐπιτελεῖν τῶν βουλευθέντων καλῶς ἀτυχίαν τίθει, καὶ φάθι τὸ μὲν ἀδικεῖν εἶναι τῶν πονηρῶν ἀνθρώπων ἴδιον, τὸ δ' ἐξαμαρτεῖν καὶ περὶ τὰς πράξεις ἀτυχεῖν οὐ μόνον εἶναι ἑαυτῷ ἴδιον, ἀλλὰ καὶ κοινὸν καὶ τῶν δικαζόντων καὶ τῶν ἄλλων ἀνθρώπων. ἀξίου δὲ συγγνώμην ἔχειν ἀναγκασθείς τι ὁμολογεῖν τῶν τοιούτων αἰτιῶν, κοινὸν τοῖς ἀκούουσι ποιῶν τὸ ἁμαρτάνειν καὶ τὸ ἀτυχεῖν. δεῖ δὲ τὸν ἀπολογούμενον πάντα θεωρεῖν, ἐφ' οἷς τῶν ἀδικημάτων οἵ τε νόμοι τὰς τιμωρίας ἔταξαν καὶ οἱ δικασταὶ ζημίας τιμῶσι· καὶ ὅταν ὁ νόμος ὁρίζῃ τὰς τιμωρίας, δεικτέον ὡς οὐκ ἐποίησε τὸ παράπαν, ἢ ὡς ἔννομα καὶ δίκαια ἐποίησεν· ὅτε δὲ οἱ δικασταὶ καθεστήκασι τιμηταὶ τῆς ζημίας, ὁμοίως πάλιν οὐ φατέον, ὅτι ταῦτα οὐκ ἐποίησεν, ἀλλὰ [μᾶλλον] μικρὰ βεβλαμμένον τὸν ἐναντίον καὶ ἀκούσια ἀποφαίνειν πειρατέον. ἐκ τούτων μὲν οὖν καὶ ἐκ τῶν τούτοις ὁμοιοτρόπων ἐν ταῖς κατηγορίαις καὶ ταῖς ἀπολογίαις εὐπορήσομεν· λείπεται δ' ἡμῖν ἔτι διεξελθεῖν τὸ ἐξεταστικὸν εἶδος.

5 Ἐν κεφαλαίῳ μὲν οὖν εἰπεῖν, ἡ ἐξέτασίς ἐστι προαιρέσεων ἢ πράξεων ἢ λόγων πρὸς ἄλληλα ἢ πρὸς τὸν ἄλλον βίον ἐναντιουμένων ἐμφάνισις. δεῖ δὲ τὸν ἐξετάζοντα ζητεῖν, εἴ που ἢ ὁ λόγος ὃν ἐξετάζει ἢ αἱ πράξεις τοῦ ἐξεταζομένου ἢ αἱ προαιρέσεις ἐναντιοῦνται ἀλλή-

λαις. ἡ δὲ μέθοδος ἥδε· σκοπεῖν ἐν τῷ παροιχομένῳ 5
χρόνῳ, εἴ τῳ πρῶτόν τις φίλος γενόμενος πάλιν ἐχθρὸς ἐγένετο, καὶ πάλιν φίλος τῷ αὐτῷ τούτῳ, ἤ τι ἄλλο ἐναντίον εἰς μοχθηρίαν φέρον ἔπραξεν· ἢ εἴ τι πράξειεν εἰ καιροὶ παραπέσοιεν αὐτῷ, ἐναντίον τοῖς πρότερον ὑπ᾽ αὐτοῦ πεπραγμένοις. ὡσαύτως δὲ ὅρα καὶ εἴ τι εἰπὼν νῦν λέγει ἐναντίον τοῖς πρότερον αὐτῷ εἰρημένοις, ἢ εἴ τι εἴποι ἐναντίον τοῖς λεγομένοις ἢ τοῖς πρότερον εἰρημένοις. ὡσαύτως δὲ καὶ εἴ τι προείλετο ἐναντίον τοῖς πρότερον ὑπ᾽ αὐτοῦ προῃρημένοις, ἢ προέλοιτ᾽ ἂν καιρῶν παραπεσόντων. ὁμοιοτρόπως δὲ τούτοις λαμβάνειν καὶ πρὸς τὰ ἄλλα ἔνδοξα ἐπιτηδεύματα τὰς ἐν τῷ τοῦ ἐξεταζομένου βίῳ ἐναντιώσεις. τὸ μὲν οὖν ἐξεταστικὸν εἶδος οὕτω μετιὼν οὐδένα παραλείψεις τρόπον τῆς ἐξετάσεως.

Ἁπάντων δὲ τῶν εἰδῶν ἤδη διῃρημένων δεῖ καὶ χωρὶς τούτων ἑκάστῳ ὅταν ἁρμόττῃ χρῆσθαι καὶ κοινῇ, συμμιγνύντα τὰς δυνάμεις αὐτῶν. ταῦτα γὰρ ἔχει μὲν διαφορὰς εὐμεγέθεις, ἐπικοινωνοῦσι μέντοι κατὰ τὰς χρήσεις ἀλλήλοις, καὶ ταὐτὸ πεπόνθασι τοῖς τῶν ἀνθρώπων εἴδεσι· καὶ γὰρ οὗτοι τῇ μὲν ὅμοιοι τῇ δὲ ἀνόμοιοι τὰς ὄψεις καὶ τὰς αἰσθήσεις εἰσίν. οὕτω δὲ τῶν εἰδῶν διωρισμένων, καὶ ὧν προσδέονται κοινῇ πάλιν ἐξαριθμήσωμεν, καὶ διεξέλθωμεν ὡς αὐτοῖς δεῖ χρῆσθαι.

Πρῶτον μὲν οὖν καὶ τὸ δίκαιον καὶ τὸ νόμιμον καὶ 6
τὸ συμφέρον καὶ τὸ καλὸν καὶ τὸ ἡδὺ καὶ τὰ τούτοις ἀκόλουθα, καθάπερ ἐν ἀρχῇ διειλόμην, κοινὰ πᾶσι τοῖς εἴδεσίν ἐστι, μάλιστα δ᾽ αὐτοῖς τὸ προτρεπτικὸν προσχρῆται. δεύτερον δὲ τὰς αὐξήσεις καὶ ταπεινώσεις χρησίμους ἀναγκαῖον εἶναι παρὰ [τὰ λοιπὰ] πάντα, μάλιστα δ᾽ αὐτῶν ἐν τῷ ἐγκωμίῳ καὶ τοῖς ψόγοις αἱ χρήσεις. τρίτον δὲ πίστεις, αἷς ἀνάγκη μὲν πρὸς πάντα τὰ μέρη τῶν

6 λόγων χρῆσθαι, χρησιμώταται δέ εἰσιν ἐν ταῖς κατηγορίαις καὶ ταῖς ἀπολογίαις· ταῦτα γὰρ πλείστης ἀντιλογίας δέονται. πρὸς δὲ τούτοις προκαταλήψεις καὶ αἰτήματα καὶ παλιλλογίαι καὶ ἀστειολογίαι καὶ μῆκος λόγου καὶ μετριότης μήκους καὶ βραχυλογία καὶ ἑρμηνεία· ταῦτα γὰρ καὶ τὰ τούτοις ὅμοια κοινὰς ἔχει πᾶσι τοῖς εἴδεσι τὰς χρήσεις.

Περὶ μὲν οὖν τῶν δικαίων καὶ τῶν νομίμων καὶ τῶν τούτοις ὁμοιοτρόπων πρότερον διωρισάμην καὶ τὴν χρῆσιν αὐτῶν διεξῆλθον, καὶ περὶ [μὲν] τῶν αὐξήσεων
7 καὶ ταπεινώσεων εἶπον· νῦν δὲ περὶ τῶν ἄλλων δηλώσω πρῶτον ἀπὸ τῶν πίστεων ἀρξάμενος. εἰσὶ δὲ δύο τρόποι τῶν πίστεων· γίνονται γὰρ αἱ μὲν ἐξ αὐτῶν τῶν λόγων καὶ τῶν πράξεων καὶ τῶν ἀνθρώπων, αἱ δ' ἐπίθετοι τοῖς λεγομένοις καὶ τοῖς πραττομένοις. τὰ μὲν γὰρ εἰκότα καὶ παραδείγματα καὶ τεκμήρια καὶ ἐνθυμήματα καὶ αἱ γνῶμαι καὶ τὰ σημεῖα καὶ οἱ ἔλεγχοι πίστεις ἐξ αὐτῶν τῶν λόγων καὶ τῶν ἀνθρώπων καὶ τῶν πραγμάτων εἰσίν, ἐπίθετοι δὲ δόξα τοῦ λέγοντος μαρτυρίαι βάσανοι ὅρκοι. δεῖ δὲ τούτων ἑκάστην αὐτήν τε συνιέναι ποία τίς ἐστι, καὶ πόθεν τῶν εἰς αὐτὴν λόγων εὐπορήσομεν, καὶ τί ἀλλήλων διαφέρουσιν.

Εἰκὸς μὲν οὖν ἐστιν οὗ λεγομένου παραδείγματα ἐν ταῖς διανοίαις ἔχουσιν οἱ ἀκούοντες, λέγω δ' οἷον εἴ τις φαίη τὴν πατρίδα βούλεσθαι μεγάλην εἶναι καὶ τοὺς οἰκείους εὖ πράττειν καὶ τοὺς ἐχθροὺς ἀτυχεῖν καὶ τὰ τούτοις ὅμοια, συλλήβδην εἰκότα δόξειεν ἄν. ἕκαστος γὰρ τῶν ἀκουόντων σύνοιδεν αὐτὸς αὑτῷ περὶ τούτων καὶ τῶν τούτοις ὁμοιοτρόπων ἔχοντι τοιαύτας ἐπιθυμίας. ὥστε τοῦτο δεῖ παρατηρεῖν ἡμᾶς ἐν τοῖς λόγοις ἀεί, εἰ τοὺς ἀκούοντας συνειδότας ληψόμεθα περὶ τοῦ πράγματος οὗ λέγομεν· τούτοις γὰρ αὐτοὺς εἰκός ἐστι

μάλιστα πιστεύειν. τὸ μὲν οὖν εἰκὸς τοιαύτην ἔχει φύ- 7
σιν, διαιροῦμεν δὲ αὐτὸ εἰς τρεῖς ἰδέας. μία μὲν οὖν ἐστι τὸ τὰ πάθη τὰ κατὰ φύσιν ἀκολουθοῦντα τοῖς ἀνθρώποις τοῖς λόγοις συμπαραλαμβάνειν ἐν τῷ κατηγορεῖν ἢ ἀπολογεῖσθαι, οἷον ἐὰν τύχωσί τινες καταφρονήσαντές τινος ἢ δείσαντες, ἢ καὶ αὐτὸ τοῦτο τὸ πρᾶγμα πολλάκις πεποιηκότες, ἢ πάλιν ἡσθέντες ἢ λυπηθέντες, ἢ ἐπιθυμήσαντες ἢ πεπαυμένοι τῆς ἐπιθυμίας, ἤ τι τοιοῦτον ἕτερον πεπονθότες πάθος ταῖς ψυχαῖς ἢ τοῖς σώμασιν ἤ τινι τῶν ἄλλων αἰσθήσεων οἷς συμπάσχομεν· ταῦτα γὰρ καὶ τὰ τούτοις ὅμοια κοινὰ τῆς ἀνθρωπείας φύσεως ὄντα πάθη γνώριμα τοῖς ἀκούουσίν ἐστιν. τὰ μὲν οὖν κατὰ φύσιν τοῖς ἀνθρώποις εἰθισμένα γίνεσθαι τοιαῦτά ἐστιν, ἅ φαμεν δεῖν συμπαραλαμβάνειν ἐν τοῖς λόγοις. ἕτερον δὲ μέρος ἐστὶ τῶν εἰκότων ἔθος, ὃ κατὰ συνήθειαν ἕκαστοι ποιοῦμεν· τρίτον δὲ κέρδος· πολλάκις γὰρ διὰ τοῦτο τὴν φύσιν βιασάμενοι καὶ τὰ ἤθη προειλόμεθα πράττειν. οὕτω δὲ τούτων διωρισμένων ἐν μὲν ταῖς προτροπαῖς καὶ ταῖς ἀποτροπαῖς δεικτέον ὑπὲρ τῶν ζητουμένων, ὅτι τοῦτο τὸ πρᾶγμα ἐφ᾽ ὃ ἡμεῖς παρακαλοῦμεν ἢ ᾧ ἀντιλέγομεν, οὕτως ὡς ἡμεῖς φαμεν γίνεται· εἰ δὲ μή, ὅτι τὰ τούτῳ τῷ πράγματι ὅμοια τοῦτον τὸν τρόπον γίνεται ὃν ἡμεῖς φαμεν, ἢ τὰ πλεῖστα ἢ τὰ πάντα. κατὰ μὲν οὖν τῶν πραγμάτων οὕτω τὸ εἰκὸς ληπτέον, κατὰ δὲ τῶν ἀνθρώπων ἐν μὲν ταῖς κατηγορίαις, ἐὰν ἔχῃς, ἐπιδείκνυε τὸ αὐτὸ τοῦτο πρᾶγμα πολλάκις πεποιηκότα πρότερον· εἰ δὲ μή, ὅμοια τούτῳ. πειρῶ δὲ ἀποφαίνειν καὶ ὡς λυσιτελὲς ἦν αὐτῷ ταῦτα ποιεῖν· οἱ γὰρ πλεῖστοι τῶν ἀνθρώπων αὐτοὶ τὸ λυσιτελὲς μάλιστα προτιμῶντες καὶ τοὺς ἄλλους νομίζουσιν ἕνεκα τούτου πάντα πράττειν. ἂν μὲν οὖν ἔχῃς ἀπὸ τῶν ἀντιδίκων αὐτῶν τὸ εἰκὸς λαμβάνειν, οὕτως αὐτὸ σύν-

7 αγε· εἰ δὲ μή, ἀπὸ τῶν ὁμοίων τὰ εἰθισμένα φέρε. λέγω δ' οἷον νέος ἐστὶν οὗ κατηγορεῖς, ἃ οἱ περὶ τὴν ἡλικίαν ταύτην ὄντες πράττουσι, ταῦτα λέγε πεποιηκέναι αὐτόν· πιστευθήσεται γὰρ κατὰ τὴν ὁμοιότητα καὶ τὰ κατὰ τούτου λεγόμενα. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐὰν τοὺς ἑταίρους αὐτοῦ δεικνύῃς τοιούτους ὄντας οἷον σὺ τοῦτον φῇς· καὶ γὰρ διὰ τὴν πρὸς ἐκείνους συνήθειαν δόξει τὰ αὐτὰ τοῖς φίλοις ἐπιτηδεύειν. τοὺς μὲν οὖν κατηγοροῦντας οὕτω χρὴ μετιέναι τὸ εἰκός· τοῖς δὲ ἀπολογουμένοις μάλιστα δεικτέον, ὡς οὐδεπώποτε τῶν κατηγορουμένων τι πρότερον οὔτε αὐτοὶ οὔτε τῶν φίλων οὐδεὶς οὔτε τῶν ὁμοίων αὐτοῖς ἔπραξέ τις, οὐδ' ἐλυσιτέλησε τοιαῦτα πράττειν. ἂν δὲ φανερὸς ᾖς ταὐτὸ τοῦτο πρότερον πεποιηκώς, αἰτιατέον τὴν ἡλικίαν ἤ τινα πρόφασιν ἄλλην [τοιαύτην] οἰστέον, δι' ἣν εἰκότως ἐξήμαρτες τότε. λέγε δὲ καὶ ὡς οὔτε ταῦτα τότε σοι πράξαντι συνήνεγκεν οὔτε νῦν ἐλυσιτέλησεν ἄν. ἂν δέ σοι μηδὲν ᾖ πεπραγμένον τοιοῦτον, τῶν δὲ φίλων σού τινες τυγχάνωσι τοιαῦτα πεποιηκότες, χρὴ λέγειν ὡς οὐ δίκαιόν ἐστι δι' ἐκείνους σαυτὸν διαβάλλεσθαι, καὶ δεικνύναι τῶν σαυτῷ συνήθων ἑτέρους ἐπιεικεῖς ὄντας· οὕτω γὰρ ἀμφίβολον ποιήσεις τὸ κατηγορούμενον. ἂν δὲ τῶν ὁμοίων δεικνύωσί τινας ταὐτὰ πεποιηκότας, ἄτοπον εἶναι φάσκε, [εἰ,] διότι ἕτεροί τινες ἐξαμαρτάνοντες φαίνονται, πίστιν εἶναι ὅτι τῶν ἐγκαλουμένων τι καὶ σὺ πεποίηκας. ἂν μὲν οὖν ἔξαρνος ᾖς μὴ πεποιηκέναι τὴν κατηγορουμένην πρᾶξιν, οὕτως ἐκ τῶν εἰκότων χρή σε ἀπολογεῖσθαι· ἀπίθανον γὰρ ποιήσεις τὴν κατηγορίαν. ἂν δὲ ὁμολογεῖν ἀναγκάζῃ, τοῖς τῶν πολλῶν ἤθεσιν ἀφομοίου τὰς σαυτοῦ πράξεις ὅτι μάλιστα λέγων ὡς οἱ πλεῖστοι ἢ οἱ πάντες τοῦτο καὶ τὰ τοιαῦτα πράττουσιν οὕτως, ὥς σοι τυγχάνει πεποιημένον. ἂν δὲ μὴ δυνα-

τὸν ἢ τοῦτο δεῖξαι, καταφευκτέον ἐπὶ τὰς ἀτυχίας ἢ τὰς 7
ἁμαρτίας, καὶ συγγνώμης πειρατέον τυγχάνειν παραλαμβάνοντα τὰ κοινὰ τῶν ἀνθρώπων γινόμενα πάθη, δι' ὧν ἐξιστάμεθα τοῦ λογισμοῦ, ταῦτα δ' ἐστὶν ἔρως ὀργὴ μέθη φιλοτιμία καὶ τὰ τούτοις ὁμοιότροπα. τὸ μὲν οὖν εἰκὸς διὰ ταύτης τῆς μεθόδου τεχνικώτατα μέτιμεν.

Παραδείγματα δ' ἐστὶ πράξεις ὅμοιαι γεγενημέναι 8
καὶ ἐναντίαι τοῖς νῦν ὑφ' ἡμῶν λεγομένοις. τότε δὲ χρηστέον αὐτοῖς ἐστιν, ὅτε ἄπιστον ὂν τὸ ὑπό σου λεγόμενον εἶναι φανερὸν ποιῆσαι θέλεις, ἐὰν διὰ τοῦ εἰκότος μὴ πιστεύηται, ὅπως πρᾶξιν ὁμοίαν ἑτέραν τῇ ὑπό σου λεγομένῃ καταμαθόντες οὕτω πεπραγμένην, ὡς σὺ φῂς πεπρᾶχθαι, μᾶλλον πιστεύσωσι τοῖς ὑπό σου λεγομένοις. εἰσὶ δὲ τῶν παραδειγμάτων δύο τρόποι· τὰ μὲν γὰρ τῶν παραδειγμάτων γίνεται κατὰ λόγον τὰ δὲ παρὰ λόγον. ποιεῖ δὲ τὰ μὲν κατὰ λόγον γινόμενα πιστεύεσθαι, τὰ δὲ μὴ κατὰ λόγον ἀπιστεῖσθαι· λέγω δ' οἷον εἴ τις φάσκοι τοὺς πλουσίους δικαιοτέρους εἶναι τῶν πενομένων καὶ φέροι τινὰς πράξεις πλουσίων ἀνδρῶν δικαίας. τὰ μὲν οὖν τοιαῦτα τῶν παραδειγμάτων κατὰ λόγον εἶναι δοκεῖ· τοὺς γὰρ πλείστους ἔστιν ἰδεῖν νομίζοντας τοὺς πλουτοῦντας δικαιοτέρους εἶναι τῶν πενομένων. εἰ δέ τις πάλιν ἀποφαίνοι τινὰς τῶν πλουσίων ἐπὶ χρήμασιν ἀδικήσαντας, τῷ παρὰ τὸ εἰκὸς γεγενημένῳ παραδείγματι χρώμενος ἀπίστους ἂν ποιοῖ τοὺς πλουτοῦντας. ὡσαύτως δὲ καὶ εἴ τις φέροι παράδειγμα τῶν κατὰ λόγον εἶναι δοκούντων, διότι Λακεδαιμόνιοί ποτε ἢ Ἀθηναῖοι πολλῷ πλήθει χρώμενοι συμμάχων κατεπολέμησαν τοὺς ἐναντίους, καὶ προτρέποι τοὺς ἀκούοντας πολλοὺς συμμάχους ποιεῖσθαι· [τὰ μὲν οὖν τοιαῦτα παραδείγματα κατὰ λόγον ἐστίν·] ἅπαντες γὰρ νομίζουσιν ἐν τοῖς πολέμοις [τὸ πλῆθος] οὐ μικρὰν ῥο-

8 πὴν ἔχειν πρὸς τὴν νίκην. εἰ δέ τις ἀποφαίνειν ἐθέλοι μὴ τοῦτ' αἴτιον τοῦ νικᾶν, τοῖς παρὰ τὸ εἰκὸς γεγενημένοις πράγμασι χρήσαιτ' ἂν παραδείγμασι λέγων, ὡς οἱ μὲν Ἀθήνησι φυγάδες τὸ πρῶτον μετὰ πεντήκοντα ἀνδρῶν Φυλήν τε καταλαβόντες καὶ πρὸς τοὺς ἐν ἄστει πολλῷ πλείους ὄντας καὶ συμμάχοις Λακεδαιμονίοις χρωμένους πολεμήσαντες κατῆλθον εἰς τὴν ἰδίαν πόλιν· Θηβαῖοι δὲ Λακεδαιμονίων καὶ σχεδὸν ἁπάντων Πελοποννησίων εἰς τὴν Βοιωτίαν ἐμβαλόντων μόνοι περὶ τὰ Λεῦκτρα παραταξάμενοι τὴν Λακεδαιμονίων δύναμιν ἐνίκησαν· Δίων δὲ ὁ Συρακούσιος μετὰ τρισχιλίων ὁπλιτῶν εἰς Συρακούσας πλεύσας Διονύσιον πολλαπλασίονα ἔχοντα δύναμιν κατεπολέμησεν· ὡσαύτως δὲ Κορίνθιοι Συρακουσίοις ἐννέα τριήρεσι βοηθήσαντες Καρχηδονίους ἑκατὸν καὶ πεντήκοντα ναυσὶν ἐπὶ τοῖς λιμέσι τῶν Συρακουσίων ἐφορμοῦντας, τὴν δὲ πόλιν ἅπασαν πλὴν τῆς ἀκροπόλεως ἔχοντας, οὐδὲν ἧττον κατεπολέμησαν. συλλήβδην δὲ ταῦτα καὶ τὰ τούτοις ὅμοια παρὰ λόγον πραχθέντα τὰς κατὰ τὸ εἰκὸς γινομένας συμβουλὰς ἀπίστους ποιεῖν εἴωθεν. τῶν μὲν οὖν παραδειγμάτων τοιαύτη τις ἡ φύσις ἐστί· χρηστέον δ' αὐτῶν ἑκατέρῳ τρόπῳ, ὅταν μὲν ἡμεῖς λέγωμεν τὰ κατὰ λόγον γινόμενα, δεικνύντας ὡς ἐπὶ τὸ πολὺ τοῦτον τὸν τρόπον ἐπιτελουμένας τὰς πράξεις· ὅταν δὲ τὰ παρὰ λόγον γινόμενα, φέροντας ὅσα παρὰ λόγον δοκοῦντα γενέσθαι τῶν πραγμάτων εὐλόγως ἀποβέβηκεν. ὅταν δ' οἱ ἐναντίοι λέγωσι τοῦτο, χρὴ δεικνύειν ὡς εὐτυχήματα ταῦτα συνέβη, καὶ λέγειν ὅτι αἱ τοιαῦται πράξεις ἐν τῷ σπανίῳ γεγόνασιν· οἵας δὲ σὺ λέγεις, πολλάκις. τοῖς μὲν οὖν παραδείγμασιν οὕτω χρηστέον. ὅταν γε μὴν τὰ παρὰ λόγον γινόμενα φέρωμεν, χρὴ συνάγειν αὐτῶν ὅτι πλεῖστα καὶ καταλέγειν, ὡς οὐδὲν μᾶλλον ἐκεῖνα τούτων

εἴωθε γίνεσθαι. δεῖ δὲ χρῆσθαι τοῖς παραδείγμασι οὐ 8
μόνον ἐκ τούτων, ἀλλὰ καὶ ἐκ τῶν ἐναντίων· λέγω δ' οἷον ἐὰν ἀποφαίνῃς τινὰς πλεονεκτικῶς τοῖς συμμάχοις χρωμένους καὶ διὰ τοῦτο λυθεῖσαν αὐτῶν τὴν φιλίαν, καὶ λέγῃς· ἡμεῖς δέ, ἂν ἴσως καὶ κοινῶς πρὸς αὐτοὺς προσφερώμεθα, πολὺν χρόνον τὴν συμμαχίαν φυλάξομεν. καὶ πάλιν, ἄν τινας ἑτέρους ἀπαρασκευάστως πολεμήσαντας καὶ διὰ τοῦτο καταπολεμηθέντας ἀποφαίνῃς, εἶτα λέγῃς· ἂν παρασκευασάμενοι πολεμῶμεν, βελτίους ἂν περὶ τῆς νίκης τὰς ἐλπίδας ἔχοιμεν. πολλὰ δὲ λήψῃ παραδείγματα διὰ τῶν προγεγενημένων πράξεων καὶ διὰ τῶν νῦν γινομένων· τὰ γὰρ πλεῖστα τῶν ἔργων τῇ μὲν ὅμοια τῇ δὲ ἀνόμοια ἀλλήλοις ἐστίν. ὥστε διὰ τὴν αἰτίαν ταύτην καὶ παραδειγμάτων εὐπορήσομεν καὶ τοῖς ὑπὸ τῶν ἄλλων λεγομένοις οὐ χαλεπῶς ἀντεροῦμεν. τῶν μὲν οὖν παραδειγμάτων τούς τε τρόπους ἴσμεν, καὶ ὡς αὐτοῖς χρησόμεθα, καὶ ὅθεν πολλὰ ληψόμεθα.

Τεκμήρια δέ ἐστιν ὅσ' ἂν ἐναντίως ᾖ πεπραγμένα τῷ 9
περὶ οὗ ὁ λόγος, καὶ ὅσα ὁ λόγος αὐτὸς ἑαυτῷ ἐναντιοῦται· τῶν γὰρ ἀκουόντων οἱ πλεῖστοι τοῖς συμβαίνουσι περὶ τὸν λόγον ἢ τὴν πρᾶξιν ἐναντιώμασι τεκμαίρονται μηδὲν ὑγιὲς εἶναι μήτε τῶν λεγομένων μήτε τῶν πραττομένων. πολλὰ δὲ λήψῃ τεκμήρια σκοπῶν εἴτε ὁ λόγος τοῦ ἐναντίου αὐτὸς αὑτῷ [τῷ πράγματι] ἐναντιοῦται, εἴτε ἡ πρᾶξις αὐτὴ ἐναντία τῷ λόγῳ ἐστίν. τὰ μὲν οὖν τεκμήρια τοιαῦτά ἐστι, καὶ οὕτως αὐτὰ πλεῖστα ποιήσεις.

Ἐνθυμήματα δέ ἐστιν οὐ μόνον τὰ τῷ λόγῳ καὶ τῇ 10
πράξει ἐναντιούμενα, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι· λήψῃ δὲ πολλὰ μετιὼν ὡς ἐν τῷ ἐξεταστικῷ εἴδει εἴρηται, καὶ σκοπῶν εἴ πῃ ὁ λόγος ἑαυτῷ ἐναντιοῦται ἢ τὰ πεπραγμένα τοῖς δικαίοις ἢ τῷ νόμῳ ἢ τῷ συμφέροντι ἢ τῷ καλῷ ἢ τῷ δυνατῷ ἢ τῷ ῥᾳδίῳ ἢ τῷ εἰκότι ἢ τῷ ἤθει τοῦ

10 λέγοντος ἢ τῷ ἔθει τῶν πραγμάτων. τὰ μὲν οὖν τοιαῦτα τῶν ἐνθυμημάτων κατὰ τῶν ἐναντίων ἐκληπτέον· τὰ δ' ἐναντία τούτοις ὑπὲρ ἡμῶν αὐτῶν δεῖ λέγειν, ἀποφαίνοντας τὰς πράξεις τὰς ἡμετέρας καὶ τοὺς λόγους ἐναντιουμένους τοῖς ἀδίκοις καὶ τοῖς ἀνόμοις καὶ τοῖς ἀσυμφόροις καὶ τοῖς τῶν ἀνθρώπων τῶν πονηρῶν ἤθεσι, καὶ συλλήβδην τοῖς μοχθηροῖς νομιζομένοις εἶναι. δεῖ δὲ τούτων ἑκάστοις συνηγορεῖν ὡς εἰς βραχύτατα καὶ φράζειν ὅτι μάλιστα ἐν ὀλίγοις τοῖς ὀνόμασιν. τὰ μὲν οὖν ἐνθυμήματα τοῦτον τὸν τρόπον πολλὰ ποιήσομεν, καὶ οὕτως αὐτοῖς ἄριστα χρησόμεθα.

11 Γνώμη δέ ἐστι μὲν ὡς ἐν κεφαλαίῳ καθ' ὅλων τῶν πραγμάτων δόγματος ἰδίου δήλωσις· δύο δὲ τρόποι τῶν γνωμῶν εἰσιν, ὁ μὲν ἔνδοξος ὁ δὲ παράδοξος. ὅταν μὲν οὖν ἔνδοξον λέγῃς, οὐδὲν δεῖ τὰς αἰτίας φέρειν· οὔτε γὰρ ἀγνοεῖται οὔτ' ἀπιστεῖται τὸ λεγόμενον· ὅταν δὲ παράδοξον λέγῃς, χρὴ φράζειν τὰς αἰτίας συντόμως, ἵνα τὴν ἀδολεσχίαν καὶ τὴν ἀπιστίαν διαφύγῃς. δεῖ δὲ τὰς γνώμας οἰκείας φέρειν τῶν πραγμάτων, ἵνα μὴ σκαιὸν καὶ ἀπηρτημένον φαίνηται τὸ λεγόμενον. πολλὰς δὲ ποιήσομεν αὐτὰς ἢ ἐκ τῆς ἰδίας φύσεως ἢ ἐξ ὑπερβολῆς ἢ ἐκ παρομοιώσεως. αἱ μὲν οὖν ἐκ τῆς ἰδίας φύσεως τοιαίδε τινές εἰσιν· οὐκ εἶναί μοι δοκεῖ δυνατὸν δεινὸν γενέσθαι στρατηγὸν πραγμάτων ἄπειρον ὄντα. ἑτέρα δέ ἐστιν ἥδε· νοῦν ἐχόντων ἀνδρῶν ἐστι τοῖς τῶν προγεγενημένων παραδείγμασι χρωμένους πειρᾶσθαι διαφυγεῖν τὰς ἐκ τῆς ἀβουλίας ἁμαρτίας. ἐκ μὲν οὖν τῆς ἰδίας φύσεως τοιαύτας ποιήσομεν γνώμας, ἐξ ὑπερβολῆς δὲ τοιάσδε· δεινότερά μοι δοκοῦσιν οἱ κλέπτοντες τῶν λῃζομένων ποιεῖν· οἱ μὲν γὰρ λαθραίως, οἱ δὲ φανερῶς τὰ χρήματα περιαιροῦνται. τὰς μὲν οὖν ἐξ ὑπερβολῆς γνώμας τὸν τρόπον τοῦτον πολλὰς ποιήσομεν, αἱ δ' ἐκ παρο-

ὁμοιώσεως τοιαίδε εἰσίν· ὁμοιότατόν μοι δοκοῦσιν οἱ 11
τὰ χρήματα ἀποστεροῦντες τοῖς τὰς πόλεις προδιδοῦσι ποιεῖν· πιστευθέντες γὰρ ἀμφότεροι τοὺς πιστεύσαντας ἀδικοῦσιν. ἑτέρα δέ· παραπλήσιόν μοι δοκοῦσι ποιεῖν οἱ ἀντίδικοι τοῖς τυράννοις· ἐκεῖνοί τε γὰρ ὧν μὲν αὐτοὶ ἀδικοῦσιν, οὐκ ἀξιοῦσι διδόναι δίκας, ὧν δὲ τοῖς ἄλλοις ἐγκαλοῦσιν, ἀνυπερβλήτως τιμωροῦνται, οὗτοί τε εἰ μέν τι αὐτοὶ τῶν ἐμῶν ἔχουσιν, οὐκ ἀποδιδόασιν, εἰ δέ τι ἐγὼ τούτων ἔλαβον, καὶ αὐτὸ καὶ τοὺς τόκους οἴονται δεῖν κομίσασθαι. γνώμας μὲν οὖν τοῦτον τὸν τρόπον μετιόντες πολλὰς ποιήσομεν.

Σημεῖον δέ ἐστιν ἄλλο ἄλλου οὐ τὸ τυχὸν τοῦ τυχόν- 12
τος οὐδ' ἅπαν παντός, ἀλλὰ τό γε εἰθισμένον γίνεσθαι πρὸ τοῦ πράγματος ἢ ἅμα τῷ πράγματι ἢ μετὰ τὸ πρᾶγμα. ἔστι δὲ σημεῖον τό τε γενόμενον οὐ μόνον τοῦ γενομένου ἀλλὰ καὶ τοῦ μὴ γενομένου, ὡσαύτως δὲ καὶ τὸ μὴ γεγονὸς οὐ μόνον τοῦ μὴ ὄντος ἀλλὰ καὶ τοῦ ὄντος. ποιεῖ δὲ τῶν σημείων τὸ μὲν οἴεσθαι τὸ δὲ εἰδέναι, κάλλιστον δὲ τὸ εἰδέναι ποιοῦν· δεύτερον δὲ τὸ δόξαν πιθανωτάτην ἐργαζόμενον. πολλὰ δὲ ποιήσομεν σημεῖα συλλήβδην εἰπεῖν ἐξ ἑκάστου τῶν πεπραγμένων καὶ λεγομένων καὶ ὁρωμένων, καθ' ἓν ἕκαστον λαμβάνοντες, ἔκ τε τοῦ μεγέθους καὶ τῆς σμικρότητος τῶν ἀποβαινόντων κακῶν ἢ ἀγαθῶν, ἔτι δὲ καὶ ἐκ τῶν μαρτυριῶν καὶ ἐκ τῶν μαρτυρουμένων, καὶ ἐκ τῶν συμπαρόντων ἡμῖν ἢ τοῖς ἐναντίοις, καὶ ἐξ αὐτῶν ἐκείνων, καὶ ἐκ τῶν προκλήσεων, καὶ ἐκ τῶν χρόνων, καὶ ἐξ ἄλλων πολλῶν. τῶν μὲν οὖν σημείων ἐντεῦθεν εὐπορήσομεν.

Ἔλεγχος δέ ἐστι μὲν ὃ μὴ δυνατὸν ἄλλως ἔχειν, ἀλλ' 13
οὕτως, ὡς ἡμεῖς λέγομεν, λαμβάνεται δὲ ἐκ τῶν φύσει ἀναγκαίων ἢ ἀναγκαίων ὡς ἡμεῖς λέγομεν ἢ ὁ ἀντιλέγων, καὶ ἐκ τῶν κατὰ φύσιν ἀδυνάτων ἢ ἀδυνάτων ὡς οἱ ἐναν-

13 τίοι λέγουσιν. κατὰ φύσιν μὲν οὖν ἀναγκαῖόν ἐστιν οἷον τοὺς ζῶντας σιτίων δεῖσθαι, καὶ τὰ τούτοις ὅμοια· ὡς δ' ἡμεῖς λέγομέν ἐστιν ἀναγκαῖον, τοὺς μεμαστιγωμένους ὁμολογεῖν, ἅπερ οἱ μαστιγοῦντες κελεύουσιν. κατὰ φύσιν δὲ πάλιν ἀδύνατόν ἐστι, παιδάριον μικρὸν κλέψαι τοσοῦτον ἀργύριον, ὅσον μὴ δυνατὸν φέρειν, καὶ οἴχεσθαι τοῦτο φέρον· ὡς δ' ἂν ὁ ἐναντίος λέγοι, ἔσται ἀδύνατον, ἂν φάσκῃ μὲν ἐν χρόνοις τισὶν Ἀθήνησι ποιήσασθαι τὸ συμβόλαιον, ἡμεῖς δ' ἔχωμεν ἐπιδεῖξαι τοῖς ἀκούουσιν, ὡς κατὰ τοὺς τότε καιροὺς ἀπεδημοῦμεν ἐν ἑτέρᾳ πόλει τινί. τοὺς μὲν οὖν ἐλέγχους ἐκ τούτων καὶ ἐκ τῶν τούτοις ὁμοιοτρόπων ποιησόμεθα. συλλήβδην δὲ τὰς ἐξ αὐτοῦ τοῦ λόγου καὶ τῶν πράξεων καὶ τῶν ἀνθρώπων πίστεις ἁπάσας διεληλύθαμεν. σκεψώμεθα δὲ καὶ τί ἀλλήλων διαφέρουσιν.

14 Τὸ μὲν τοίνυν εἰκὸς τοῦ παραδείγματος ταύτῃ διαφέρει, διότι τοῦ μὲν εἰκότος ἔχουσιν αὐτοὶ οἱ ἀκούοντος ἔννοιαν, τὰ δὲ παραδείγματα . . . καὶ ἐκ τῶν ἐναντίων καὶ ἐκ τῶν ὁμοίων φέρειν ἔστι, τὰ δὲ τεκμήρια μόνον ἐκ τῶν περὶ τὸν λόγον καὶ τὴν πρᾶξιν ἐναντίων συντίθεται. καὶ μὴν ἐνθύμημα τεκμηρίου ταύτην τὴν διαφορὰν ἔσχηκεν, ὅτι τὸ μὲν τεκμήριον περὶ τὸν λόγον καὶ τὴν πρᾶξιν ἐναντίωσίς ἐστι, τὸ δ' ἐνθύμημα καὶ τὰς περὶ τὰς ἄλλας ἰδέας ἐναντιώσεις ἐξείληφεν· ἢ καὶ διότι τὸ μὲν τεκμήριον οὐκ ἐφ' ἡμῖν ἐστι λαμβάνειν, ἂν μὴ περὶ τὰ πράγματα καὶ τοὺς λόγους ἐναντίωσίς τις ὑπάρχῃ, τὸ δ' ἐνθύμημα πολλαχόθεν οἷόν τε πορίζεσθαι τοῖς λέγουσιν. γνῶμαι δ' ἐνθυμημάτων διαφέρουσιν, ᾗ τὰ μὲν ἐνθυμήματα μόνον ἐκ τῶν ἐναντιώσεων σύγκειται, τὰς δὲ γνώμας καὶ μετὰ τῶν ἐναντιώσεων καὶ ἁπλῶς αὐτὰς καθ' αὑτὰς δυνατόν ἐστιν ἐμφανίζειν. τὰ δὲ σημεῖα τῶν γνωμῶν καὶ τῶν προειρημένων ἁπάντων ταύτῃ διαφέρουσιν, ὅτι τὰ μὲν ἄλλα

πάντα οἴησιν ἐμποιεῖ τοῖς ἀκούουσιν, τῶν δὲ σημείων 14
ἔνια καὶ σαφῶς εἰδέναι ποιήσει τοὺς κρίνοντας· καὶ διότι τῶν μὲν ἑτέρων οὐκ ἔστιν αὐτοὺς πορίσασθαι τὰ πλεῖστα, τῶν δὲ σημείων πολλὰ ῥᾳδίως ἔστι ποιήσασθαι, καὶ μὴν ἔλεγχος σημείου ταύτῃ διαφέρει, διότι τῶν μὲν σημείων ἔνια μόνον οἴεσθαι ποιεῖ τοὺς ἀκούοντας, ἔλεγχος δὲ πᾶς τὴν ἀλήθειαν διδάσκει τοὺς κρίνοντας. ὥστε τὰς μὲν τῶν λόγων καὶ τῶν πράξεων πίστεις οἷαί τέ εἰσι καὶ ὅθεν αὐτῶν εὐπορήσομεν καὶ τίνι ἀλλήλων διαφέρουσιν, ἐκ τῶν προειρημένων ἴσμεν· τῶν δ' ἐπιθέτων ἑκάστην πάλιν διέλθωμεν.

Ἡ μὲν οὖν δόξα τοῦ λέγοντός ἐστι τὸ τὴν αὑτοῦ διάνοιαν ἐμφανίζειν κατὰ τῶν πραγμάτων. δεῖ δ' ἔμπειρον ἀποφαίνειν ἑαυτὸν περὶ ὧν ἂν λέγῃ, καὶ ἐπιδεικνύναι ὡς συμφέρει [σοι] τἀληθῆ λέγειν περὶ τούτων· τὸν δ' ἀντιλέγοντα μάλιστα δεικνύναι μηδεμίαν ἐμπειρίαν ἔχοντα τὸν ἐναντίον περὶ ὧν ἀποφαίνεται· τήν τε δόξαν ὁμοίως. ἂν δὲ τοῦτο μὴ δυνατὸν ᾖ, δεικτέον ὡς καὶ οἱ ἔμπειροι πολλάκις ἐξαμαρτάνουσιν. ἂν δὲ τοῦτο μὴ ἐνδέχηται λέγειν, ὡς ἀσύμφορόν ἐστι τοῖς ἐναντίοις τἀληθῆ περὶ τούτων εἰπεῖν. ταῖς μὲν οὖν δόξαις τοῦ λέγοντος οὕτω χρησόμεθα καὶ αὐτοὶ ἀποφαινόμενοι καὶ ἑτέροις ἀντιλέγοντες.

Μαρτυρία δέ ἐστιν ὁμολογία συνειδότος ἑκόντος. 15
ἀναγκαῖον δ' εἶναι τὸ μαρτυρούμενον ἢ πιθανὸν ἢ ἀπίθανον ἢ ἀμφίβολον πρὸς πίστιν, ὡσαύτως δὲ καὶ τὸν μάρτυρα πιστὸν ἢ ἄπιστον ἢ ἀμφίδοξον. ὅταν μὲν οὖν τὸ μαρτυρούμενον ᾖ πιθανὸν καὶ ὁ μάρτυς ἀληθινός, οὐδὲν δέονται αἱ μαρτυρίαι ἐπιλόγων, ἐὰν μὴ βούλῃ γνώμην ἢ ἐνθύμημα συντόμως εἰπεῖν τοῦ ἀστείου ἕνεκεν· ὅταν δὲ ὑποπτεύηται ὁ μάρτυς, ἀποδεικνύειν δεῖ ὡς οὔτε χάριτος ἕνεκεν οὔτε τιμωρίας ἢ κέρδους ὁ τοιοῦτος ἂν τὰ ψευδῆ μαρτυρήσειεν. δεῖ δὲ καὶ διδάσκειν ὅτι οὐ συμφέ-

15 ρει τὸ ψεῦδος μαρτυρεῖν· αἱ μὲν γὰρ ὠφέλειαι μικραί, τὸ δ' ἐξελεγχθῆναι χαλεπόν, γνωσθέντα δ' οὐ μόνον εἰς ἀργύριον οἱ νόμοι ζημιοῦσιν, ἀλλὰ καὶ εἰς δόξαν καὶ εἰς ἀπιστίαν. τοὺς μὲν οὖν μάρτυρας οὕτω πιστοὺς ποιήσομεν· ἀντιλέγοντας δὲ μαρτυρίᾳ δεῖ τὸν τρόπον τοῦ μάρτυρος διαβάλλειν, ἂν ᾖ πονηρός, ἢ τὸ μαρτυρούμενον ἐξετάζειν, ἂν ἀπίθανον τυγχάνῃ, ἢ καὶ συναμφοτέροις τούτοις ἀντιλέγειν, συνάγοντας τὰ φαυλότατα τῶν ἐναντίων εἰς ταὐτό. σκεπτέον δὲ καὶ εἰ φίλος ἐστὶν ὁ μάρτυς ᾧ μαρτυρεῖ, ἢ εἰ μέτεστιν αὐτῷ ποθεν τοῦ πράγματος, ἢ ἐχθρός ἐστιν οὗ καταμαρτυρεῖ, ἢ πένης· τούτων γὰρ οἱ μὲν διὰ χάριν, οἱ δὲ διὰ τιμωρίαν, οἱ δὲ διὰ κέρδος ὑποπτεύονται τὰ ψευδῆ μαρτυρεῖν. καὶ τὸν τῶν ψευδομαρτυριῶν νόμον ἐπὶ τούτοις τεθεικέναι φήσομεν τὸν νομοθέτην· ἄτοπον οὖν εἶναι τοῦ νομοθέτου τοῖς μάρτυσι μὴ πιστεύσαντος τοὺς κρίνοντας πιστεύειν αὐτοῖς, κατὰ τοὺς νόμους κρινεῖν ὀμωμοκότας. τοὺς μὲν οὖν μάρτυρας οὕτως ἀπιθάνους ποιήσομεν, ἔστι δὲ καὶ κλέπτειν τὴν μαρτυρίαν τρόπῳ τοιῷδε· μαρτύρησόν μοι, ὦ Καλλίκλεις. μὰ τοὺς θεοὺς οὔκουν ἔγωγε· κωλύοντος γὰρ ἐμοῦ ταῦτ' ἔπραξεν οὗτος. καὶ διὰ τούτου ἐν ἀποφάσει ψευδομαρτυρήσας ψευδομάρτυρος δίκην οὐχ ὑφέξει. τοιγαροῦν ὅταν μὲν ἡμῖν συμφέρῃ κλέπτειν τὴν μαρτυρίαν, οὕτως αὐτῇ χρησόμεθα· ἐὰν δὲ οἱ ἐναντίοι τοιοῦτόν τι ποιήσωσιν, ἐμφανιοῦμεν τὴν κακοποιίαν αὐτῶν καὶ συγγραψαμένους μαρτυρεῖν κελεύσομεν. μάρτυσι μὲν οὖν καὶ μαρτυρίαις ἐκ τούτων ἴσμεν ὡς δεῖ χρήσασθαι.

16 Βάσανος δέ ἐστι μὲν ὁμολογία παρὰ συνειδότος ἄκοντος δέ. ὅταν μὲν οὖν συμφέρῃ ἡμῖν αὐτὴν ποιεῖν ἰσχυράν, λεκτέον ὡς οἵ τε ἰδιῶται περὶ τῶν σπουδαιοτάτων καὶ αἱ πόλεις περὶ τῶν μεγίστων ἐκ βασάνων τὰς πίστεις λαμβάνουσι, καὶ διότι πιστότερόν ἐστι βάσανος μαρ-

τύρων· τοῖς μὲν γὰρ μάρτυσι συμφέρει πολλάκις ψεύ- 16
σασθαι, τοῖς δὲ βασανιζομένοις λυσιτελεῖ τἀληθῆ λέ-
γειν· οὕτω γὰρ παύσονται τάχιστα τῆς κακοπαθείας.
ὅταν δὲ βούλῃ τὰς βασάνους ἀπίστους ποιεῖν, πρῶτον
μὲν λεκτέον ὡς οἱ βασανιζόμενοι τοῖς ἐκδιδοῦσι πολέμιοι
γίνονται καὶ διὰ τοῦτο πολλοὶ τῶν δεσποτῶν καταψεύ-
δονται· ἔπειθ' ὅτι πολλάκις τοῖς βασανίζουσιν ὁμολο-
γοῦσιν οὐ τὰς ἀληθείας, ἵν' ὡς τάχιστα τῶν κακῶν παύ-
σωνται. δεικτέον δ' ὅτι καὶ τῶν ἐλευθέρων πολλοὶ ἤδη
βασανιζόμενοι καθ' ἑαυτῶν ἐψεύσαντο, βουλόμενοι τὴν
παραυτίκα κακοπάθειαν ἐκφυγεῖν, ὥστε πολὺ μᾶλλον
εὔλογον τοὺς δούλους ψευσαμένους κατὰ τῶν δεσποτῶν
βούλεσθαι τὴν αὐτῶν τιμωρίαν ἐκφυγεῖν, ἢ πολλὰς κα-
κοπαθείας τοῖς σώμασι καὶ ταῖς ψυχαῖς ὑπομείναντας, ἵν'
ἕτεροι μηδὲν πάθωσιν, [αὐτοὺς βούλεσθαι] μὴ ψεῦδος
εἰπεῖν. τὰς μὲν οὖν βασάνους ἐκ τῶν τοιούτων καὶ τῶν
τούτοις ὁμοιοτρόπων πιθανὰς καὶ ἀπιθάνους καταστή-
σομεν.

Ὅρκος δέ ἐστι μετὰ θείας παραλήψεως φάσις ἀναπό- 17
δεικτος. δεῖ δ' αὐτὸν ὅταν μὲν αὔξειν ἐθέλωμεν, λέγειν
οὕτως· οὐδεὶς ἂν ἐπιορκεῖν βούλοιτο φοβούμενος τήν τε
παρὰ τῶν θεῶν τιμωρίαν καὶ τὴν παρὰ τοῖς ἀνθρώποις
αἰσχύνην, καὶ διεξιέναι ὅτι τοὺς μὲν ἀνθρώπους λαθεῖν
ἔστι, τοὺς δὲ θεοὺς οὐκ ἔστιν. ὅταν δὲ οἱ ἐναντίοι κατα-
φύγωσιν εἰς ὅρκον, καὶ βουλώμεθα ταπεινοῦν αὐτόν,
δεικτέον ὡς τῶν αὐτῶν ἐστιν ἀνθρώπων τὰ πονηρὰ
πράττειν καὶ μὴ φροντίζειν ἐπιορκοῦντας· ὅστις γὰρ
κακουργῶν οἴεται λανθάνειν τοὺς θεούς, οὗτος οὐδὲ
ἐπιορκῶν τιμωρίας οἴεται τεύξεσθαι. καὶ περὶ μὲν τῶν
ὅρκων ὁμοιοτρόπως τοῖς προειρημένοις μετιόντες λέγειν
εὐπορήσομεν ὑπὲρ αὐτῶν.

Συλλήβδην δὲ τὰς πάσας πίστεις ἤδη, καθάπερ ὑπε-

17 θέμεθα, διεξεληλύθαμεν καὶ δεδηλώκαμεν οὐ μόνον ἣν ἑκάστη αὐτῶν δύναμιν ἔσχηκεν, ἀλλὰ καὶ τί ἀλλήλων διαφέρουσι, καὶ πῶς αὐταῖς χρηστέον. νῦν δ' ὑπὲρ τῶν ὑπολοίπων ἃ τῶν τριῶν εἰδῶν ἐστι, καὶ παρὰ πάντας τοὺς λόγους χρήσιμα γίνεται, διδάσκειν ἐπιχειρήσομεν.

18 Προκατάληψις μὲν οὖν ἐστι, δι' ἧς τά τε τῶν ἀκουόντων ἐπιτιμήματα καὶ τοὺς τῶν ἀντιλέγειν μελλόντων λόγους προκαταλαμβάνοντες ὑπεξαιρήσομεν τὰς ἐπιφερομένας δυσχερείας. καὶ τὰς μὲν τῶν ἀκουόντων ἐπιτιμήσεις ὧδε χρὴ προκαταλαμβάνειν· ἴσως δέ τινες ὑμῶν θαυμάζουσιν ὅτι νέος ὢν οὕτω περὶ μεγάλων πραγμάτων ἐπεχείρησα δημηγορεῖν. καὶ πάλιν· μηδεὶς ἀπαντήσῃ μοι δύσκολος, ὅτι μέλλω συμβουλεύειν ὑμῖν περὶ ὧν ὀκνοῦσί τινες ἄλλοι παρρησιάζεσθαι πρὸς ὑμᾶς. περὶ μὲν οὖν τῶν μελλόντων δυσχεραίνεσθαι τοῖς ἀκούουσιν οὕτω δεῖ προκαταλαμβάνοντα φέρειν αἰτίας, παρ' ἃς ὀρθῶς ποιεῖν δόξεις συμβουλεύων, δεικνύντα τὴν ἐρημίαν τῶν λεγόντων, τὸ μέγεθος τῶν κινδύνων, ἢ τὸ τῷ κοινῷ συμφέρον, ἢ ἄλλην τοιαύτην αἰτίαν, δι' ἧς λύσεις τὴν ἐπιφερομένην δυσχέρειαν. ἂν δὲ μηδὲν ἧττον θορυβῶσιν οἱ ἀκούοντες, χρὴ λέγειν συντόμως, ἢ ὡς ἐν γνώμης ἢ ὡς ἐνθυμήματος σχήματι· διὸ πάντων ἀτοπώτατόν ἐστιν ἥκειν μὲν ὡς περὶ τῶν πραγμάτων βουλευσομένους τὰ κράτιστα, νῦν δὲ μὴ βουλομένους ἀκούειν τῶν λεγόντων οἴεσθαι καλῶς ἂν βουλεύσασθαι. καὶ πάλιν· ὅτι καλόν ἐστιν ἢ αὐτοὺς ἀνισταμένους συμβουλεύειν, ἢ τῶν συμβουλευόντων ἀκούσαντας, ἅπερ ἂν αὐτοῖς δοκῇ, χειροτονεῖν. ἐν μὲν οὖν ταῖς δημηγορίαις οὕτω καὶ ταῖς προκαταλήψεσι χρηστέον καὶ τοῖς θορύβοις ἀπαντητέον· ἐν δὲ ταῖς δικαιολογίαις προκαταληψόμεθα μὲν ὁμοιοτρόπως τοῖς προειρημένοις, ἀπαντήσομεν δὲ τοῖς θορύβοις, ἐὰν μὲν ἐν ἀρχαῖς γίνωνται τῶν λόγων, ὧδε· πῶς οὐκ

18 ἄλογον οὖν ἐστι τὸν μὲν νομοθέτην προστάξαι δύο λόγους τῶν ἀντιδίκων ἑκάστῳ ἀποδοῦναι, τοὺς δὲ δικάζοντας ὑμᾶς ὀμωμοκέναι κατὰ τὸν νόμον κρινεῖν, εἶτα μηδὲ τὸν ἕνα λόγον ἀκοῦσαι βούλεσθαι; κἀκεῖνον μὲν ὑμῶν τοσαύτην πρόνοιαν ἔχειν, ὅπως ἀκούσαντες πάντων τῶν λεγομένων εὐόρκως θῆσθε τὴν ψῆφον, ὑμᾶς δὲ περὶ τούτων οὕτως ὀλιγώρως ἔχειν ὥστε μηδὲ τὰς ἀρχὰς ὑπομείναντας αὐτὰς τῶν λόγων ἤδη νομίζειν ἀκριβῶς ἅπαντα γινώσκειν; καὶ ἄλλως· πῶς οὐκ ἄλογόν ἐστι τὸν μὲν νομοθέτην τάξαι τῶν ψήφων ἴσων γινομένων τὸν φεύγοντα νικᾶν, ὑμᾶς δὲ οὕτως ἐναντίως γινώσκειν περὶ τούτων ὡς μηδὲ ἀπολογουμένων τῶν διαβεβλημένων ἀκούειν; κἀκεῖνον μὲν διὰ τὸ μᾶλλον κινδυνεύειν τοὺς φεύγοντας ἀπονεῖμαι ταύτην τὴν πλεονεξίαν αὐτοῖς ἐν ταῖς ψήφοις, ὑμᾶς δὲ τοῖς μὲν ἀκινδύνως κατηγοροῦσι μὴ φιλονεικεῖν, τοὺς δὲ μετὰ φόβων καὶ κινδύνων περὶ τῶν κατηγορουμένων ἀπολογουμένους [ὡς] θορυβοῦντας ἐκπλήττειν; ἐὰν μὲν οὖν ἐν ἀρχαῖς οἱ θόρυβοι γίνωνται, τοῦτον τὸν τρόπον αὐτοῖς ἀπαντητέον· ἐὰν δὲ προεληλυθότος τοῦ λόγου θορυβῶσιν, ἐὰν μὲν ὀλίγοι τινὲς τοῦτο ποιῶσιν, ἐπιτιμητέον τοῖς θορυβοῦσι καὶ πρὸς αὐτοὺς λεκτέον ὅτι δίκαιον νῦν μὲν αὐτοὺς ἀκούειν ἐστίν, ἵνα μὴ κωλύσωσι τοὺς ἄλλους ὀρθῶς δικάζειν, ἐπὰν δὲ ἀκούσωσι, τότε ποιεῖν ὅ τι ἂν ἐθέλωσιν. ἐὰν δὲ τὸ πλῆθος θορυβῇ, μὴ τοῖς κρίνουσιν ἀλλὰ σαυτῷ ἐπίπληξον· τὸ μὲν γὰρ ἐκείνοις ἐπιτιμᾶν ὀργὴν ἐργάζεται, τὸ δὲ σαυτῷ ἐπιπλῆξαι καὶ λέγειν ἡμαρτηκέναι συγγνώμης ποιήσει τυχεῖν. δεῖ δὲ καὶ δεῖσθαι τῶν κρινόντων εὐμενῶς αὐτοὺς ἀκοῦσαι τοῦ λόγου, καὶ μὴ περὶ ὧν μέλλουσι κρύβδην τὴν ψῆφον φέρειν, ἤδη τὴν διάνοιαν φανερὰν τίθεσθαι. συλλήβδην δὲ τοῖς θορύβοις ἀπαντήσομεν κεφαλαιωδῶς ἢ γνώμαις ἢ ἐνθυμήμασι, δεικνύντες

18 τοὺς θορυβοῦντας ἢ τοῖς δικαίοις ἢ τοῖς νόμοις ἢ τῷ συμφέροντι τῆς πόλεως ἢ τῷ καλῷ ἐναντιουμένους· ἐκ γὰρ τῶν τοιούτων ἔστιν ὅτι μάλιστα παῦσαι τοὺς ἀκούοντας θορυβοῦντας. ταῖς μὲν οὖν πρὸς τοὺς ἀκροατὰς προκαταλήψεσιν ὡς δεῖ χρῆσθαι, καὶ ὅπως τοῖς θορύβοις ἀπαντητέον, ἐκ τῶν προειρημένων ἴσμεν· τὰ δὲ ὑπὸ τῶν ἀνταγωνιστῶν ἐπίδοξα λέγεσθαι πάλιν ὡς δεῖ προκαταλαμβάνειν ἀποδείξω· ἴσως οὖν ὀδυρεῖται αὐτοῦ πενίαν, ἧς οὐκ ἐγὼ ἀλλ' ὁ τούτου τρόπος ὑπαίτιος ἔσται· καὶ πάλιν· πυνθάνομαι αὐτὸν τὸ καὶ τὸ μέλλειν λέγειν. ἐν μὲν οὖν τοῖς προτέροις λόγοις οὕτω δεῖ τὰ ἐπίδοξα λέγεσθαι ὑπὸ τῶν ἐναντίων προκαταλαμβάνοντα διαλύειν καὶ ἀσθενῆ ποιεῖν· καὶ γὰρ κἂν πάνυ ἰσχυρὰ ᾖ τὰ προδιαβεβλημένα, οὐχ ὁμοίως φαίνεται μεγάλα τοῖς ἤδη προακηκοόσιν: ἐὰν δὲ τοὺς ὑστέρους λόγους ἔχωμεν καὶ οἱ ἐναντίοι προκατειληφότες ὦσιν ἃ μέλλομεν λέγειν, ἀντιπροκαταληπτέον ἐστὶν αὐτὰ λύοντας τόνδε τὸν τρόπον· οὗτος δ' οὐ μόνον μου κατέψευσται πολλὰ πρὸς ὑμᾶς, ἀλλὰ καὶ σαφῶς εἰδὼς ὅτι ἐξελέγξω αὐτόν, προκατέλαβέ μου τὸν λόγον καὶ προδιέβαλεν, ἵν' ὑμεῖς μὴ ὁμοίως αὐτῷ προσέχητε, ἢ ἐγὼ μὴ εἴπω πρὸς ὑμᾶς αὐτὸν διὰ τὸ διασεσύρθαι πρότερον ὑπὸ τούτου· ἐγὼ δ' οἶμαι δεῖν τοὺς ἐμοὺς λόγους παρ' ἐμοῦ πυνθάνεσθαι ὑμᾶς, ἀλλὰ μὴ παρὰ τούτου, εἰ καὶ ταῦθ' οὗτος προδιέσυρε λέγων, ἃ φημὶ οὐ μικρὰ σημεῖα εἶναι τοῦ μηδὲν ὑγιὲς τοῦτον λέγειν. κέχρηται δὲ καὶ Εὐριπίδης ἐν Φιλοκτήτῃ τεχνικῶς τούτῳ τῷ εἴδει διὰ τοῦδε·

λέξω δ' ἐγώ, κἄν μου διαφθείρας δοκῇ
λόγους, ὑποστὰς αὐτὸς ἠδικηκέναι·
ἀλλ' ἐξ ἐμοῦ γὰρ τἀμὰ μαθήσῃ κλύων,
ὁ δ' αὐτὸς αὑτὸν ἐμφανιζέτω λέγων.

ταῖς μὲν οὖν προκαταλήψεσιν ὡς δεῖ χρῆσθαι καὶ πρὸς 18
τοὺς κριτὰς καὶ πρὸς τοὺς ἐναντίους, ἴσμεν διὰ τούτων.

Αἰτήματα δέ ἐστιν ἐν τοῖς λόγοις ἃ παρὰ τῶν ἀκουόν- 19
των οἱ λέγοντες αἰτοῦνται. τούτων δ' ἐστὶ τὰ μὲν ἄδικα
τὰ δὲ δίκαια. δίκαιον μὲν οὖν ἐστι τό τε προσέχειν τοῖς
λεγομένοις αἰτεῖσθαι καὶ μετ' εὐνοίας ἀκούειν, δίκαιον
δὲ καὶ τὸ κατὰ τοὺς νόμους αὐτῷ βοηθῆσαι, καὶ τὸ μηδὲν
παρὰ τοὺς νόμους ψηφίσασθαι, καὶ τὸ τοῖς ἀτυχήμασι
συγγνώμην ἔχειν. ἐὰν δὲ ᾖ παρὰ τοὺς νόμους, ἄδικον
[ἐὰν δὲ μή, δίκαιον]. τὰ μὲν οὖν αἰτήματα ταῦτά ἐστι,
διειλόμεθα δ' αὐτῶν τὰς διαφοράς, ἵν' εἰδότες τό τε δί-
καιον καὶ τὸ ἄδικον χρώμεθα κατὰ τὸν καιρόν, καὶ μὴ
λανθάνωσιν ἡμᾶς οἱ ἐναντίοι ἄδικόν τι αἰτοῦντες τοὺς
δικάζοντας. καὶ περὶ μὲν τούτων ἐκ τῶν εἰρημένων οὐκ
ἀγνοήσομεν.

Παλιλλογία δέ ἐστι [μὲν] σύντομος ἀνάμνησις, δεῖ δ' 20
αὐτῇ χρῆσθαι καὶ περὶ τῶν μερῶν καὶ περὶ τῶν ὅλων
λόγων τὰς τελευτάς. παλιλλογήσομεν δὲ ἐν κεφαλαίοις
ἢ διαλογιζόμενοι ἢ προαιρούμενοι ἢ προσερωτῶντες ἢ
ἀπολογιζόμενοι. δείξω δ' αὐτῶν οἷον ἕκαστόν ἐστιν. τὸ
μὲν οὖν διαλογίζεσθαι τοιόνδε τί ἐστιν· ἀπορῶ δ' ἔγωγε
τί ἂν ἐποίησαν οὗτοι, εἰ μὴ φανεροὶ μὲν ἦσαν ἡμᾶς πρό-
τερον ἐγκαταλελοιπότες, ἐξηλέγχοντο δὲ ἐπὶ τὴν πόλιν
ἡμῶν στρατεύσαντες, οὐδὲν δὲ πώποτε ὧν ὡμολογήκασι
ποιήσαντες. τὸ μὲν οὖν διαλογίζεσθαι τοιοῦτόν ἐστι, τὸ
δὲ ἀπολογίζεσθαι τοιοῦτον· ἀπέδειξα δ' αὐτοὺς διαλύ-
σαντας προτέρους τὴν συμμαχίαν, καὶ πρῶτον ἐπιθεμέ-
νους ἡμῖν, ὅτε πρὸς Λακεδαιμονίους ἐπολεμοῦμεν, καὶ
μάλιστα σπουδάσαντας ἐξανδραποδίσασθαι τὴν πόλιν
ἡμῶν. τὸ μὲν οὖν ἀπολογίζεσθαι τοιόνδε ἐστί, τὸ δ' ἐκ
προαιρέσεως ἀναμιμνήσκειν τοιόνδε· ἐνθυμεῖσθαι δὲ δεῖ
τί συμβέβηκεν ἡμῖν, ἐξ ὅτου τὴν φιλίαν πρὸς τούτους

20 ἐποιησάμεθα, μηδέποτε κακὸν ὑπὸ τῶν πολεμίων παθεῖν· βοηθήσαντες γὰρ ἡμῖν πολλάκις ἐκώλυσαν Λακεδαιμονίους τὴν χώραν ἡμῶν διαφθεῖραι, χρήματα δὲ πολλὰ καὶ νῦν φέροντες διατελοῦσιν. ἐκ προαιρέσεως μὲν οὕτως ἀναμνήσομεν, ἐξ ἐπερωτήσεως δὲ τόνδε τὸν τρόπον· ἡδέως δ' ἂν αὐτῶν πυθοίμην, διὰ τί τὰς συντάξεις ἡμῖν οὐκ ἀποδιδόασιν; οὐ γὰρ ὡς ἀποροῦσιν εἰπεῖν ἂν τολμήσαιεν, οἳ τοσαῦτα χρήματα καθ' ἕκαστον ἐνιαυτὸν ἐκ τῆς χώρας ἐπιδεικνύονται λαμβάνοντες, οὐδ' αὖ φήσουσιν εἰς τὴν τῆς πόλεως διοίκησιν πολλὰ δαπανᾶν· παντελῶς γὰρ ἐλάχιστα τῶν νησιωτῶν ἀναλίσκοντες φαίνονται. ἐκ μὲν οὖν ἐπερωτήσεως οὕτω παλιλλογήσομεν.

21 *Εἰρωνεία* δέ ἐστι λέγειν τι μὴ προσποιούμενον λέγειν, ἢ ἐν τοῖς ἐναντίοις ὀνόμασι τὰ πράγματα προσαγορεύειν. εἴη δ' ἂν αὐτῆς τὸ σχῆμα τοιοῦτον ἐν τῷ περὶ τῶν εἰρημένων συντόμως ἀναμιμνήσκειν· οὐδὲν δ' οἶμαι δεῖν λέγειν, ὅτι οὗτοι μὲν οἱ φάσκοντες πολλὰ ἀγαθὰ πεποιηκέναι πλεῖστα φαίνονται τὴν πόλιν κεκακουργηκότες· ἡμεῖς δ' οὓς οὗτοί φασιν ἀχαρίστους εἶναι, τούτοις τε πολλάκις βοηθήσαντες καὶ τοὺς ἄλλους οὐδὲν ἀδικοῦντες. τὸ μὲν οὖν ἐν προσποιήσει παραλείψεως λέγοντα συντόμως ἀναμιμνήσκειν τοιοῦτόν ἐστι, τὸ δὲ τοῖς ἐναντίοις ὀνόμασι προσαγορεύειν τὰ πράγματα πάλιν τοιοῦτον· οὗτοι μὲν οἱ χρηστοὶ πολλὰ φαίνονται τοὺς συμμάχους κακὰ πεποιηκότες, ἡμεῖς δ' οἱ φαῦλοι πολλῶν ἀγαθῶν [αὐτοῖς] αἴτιοι καταστάντες. διὰ τούτων μὲν οὖν συντόμως ἀναμιμνήσκοντες ταῖς παλιλλογίαις χρησόμεθα καὶ περὶ τῶν μερῶν καὶ περὶ τῶν ὅλων λόγων τὰς τελευτάς.

22 Ὅθεν δέ ἐστιν ἀστεῖα λέγειν καὶ τὰ μήκη τῶν λόγων ποιεῖν, ὅπως ἄν τις θέλῃ, τοῦτο διέξιμεν πάλιν. ἀστεῖα

μὲν οὖν λέγειν ἐκ τούτου τοῦ τρόπου ἔστιν, οἷον τὰ ἐν- 22
θυμήματα λέγοντας ὅλα ἢ ἡμίση ὥστε τὸ ἥμισυ αὐτοὺς ὑπολαμβάνειν τοὺς ἀκούοντας. δεῖ δὲ καὶ γνώμας συμπαραλαμβάνειν. χρὴ δὲ τούτων κατὰ πάντα τὰ μέρη συγκαταλέγειν διαλλάττοντα τοὺς λόγους, καὶ μηδέποτε ὅμοια εἰς τὸ αὐτὸ πολλὰ τιθέντα· καὶ οὕτως ἀστεῖος ὁ λόγος φανεῖται.

Μηκύνειν δὲ τοὺς λόγους βουλόμενον δεῖ μερίζειν τὸ πρᾶγμα καὶ ἐν ἑκάστῳ μέρει τὰ ἐνόντα οἷά τέ ἐστι τὴν φύσιν διδάσκειν, καὶ τὴν χρῆσιν καὶ ἰδίᾳ καὶ κοινῇ καὶ τὰς προφάσεις αὐτῶν ἐκδιηγεῖσθαι. ἂν δὲ καὶ [ἔτι] μακρότερον θελήσωμεν τὸν λόγον ποιεῖν, δεῖ πολλοῖς ὀνόμασι περὶ ἑκάστου χρῆσθαι. χρὴ δὲ καὶ παρὰ μέρος ἕκαστον τοῦ λόγου παλιλλογεῖν καὶ τὴν παλιλλογίαν σύντομον ποιεῖσθαι, ἐν δὲ τῇ τελευτῇ τοῦ λόγου ταῦτα, περὶ ὧν καθ' ἓν ἕκαστον εἴρηκας, ἀθρόα συντιθέναι, καὶ περὶ ὅλων τῶν πραγμάτων λέγειν. τοῦτον μὲν οὖν τὸν τρόπον μῆκος ἕξουσιν οἱ λόγοι.

Βραχυλογεῖν δὲ βουλόμενον ὅλον τὸ πρᾶγμα ἑνὶ ὀνόματι περιλαμβάνειν, καὶ τούτῳ ὃ ἂν ὑπάρχῃ βραχύτατον τῷ πράγματι. χρὴ δὲ καὶ συνδέσμους ὀλίγους ποιεῖν, τὰ πλεῖστα δὲ ζευγνύναι· ὀνομάζειν μὲν οὕτω, τῇ δὲ λέξει εἰς δύο χρῆσθαι, καὶ παλιλλογίαν τὴν σύντομον ἐκ τῶν μερῶν ἀφαιρεῖν, ἐν δὲ ταῖς τελευταῖς μόνον παλιλλογεῖν. καὶ τοῦτον μὲν τὸν τρόπον βραχεῖς τοὺς λόγους ποιήσομεν.

Ἐὰν δὲ βούλῃ μέσως λέγειν, τὰ μέγιστα τῶν μερῶν ἐκλέγων περὶ τούτων ποιεῖσθαι τοὺς λόγους. χρὴ δὲ καὶ τοῖς ὀνόμασι τοῖς μέσοις χρῆσθαι, καὶ μήτε τοῖς μακροτάτοις μήτε τοῖς βραχυτάτοις μήτε πολλοῖς περί γε ἑνὸς ἀλλὰ μετρίοις. χρὴ δὲ καὶ τοὺς ἐπιλόγους ἐκ τῶν ἀνὰ μέσον μερῶν μήτε παντελῶς ἐξαιρεῖν, μήτε πᾶσι τοῖς μέρε-

22 σιν ἐπιφέρειν, ἀλλ' ἅπερ ἂν μάλιστα βούλη καταvoi τοὺς ἀκούοντας, ἐπὶ τούτων μάλιστα παλιλλογεῖν ἐπ τελευτῇ. τὰ μὲν οὖν μήκη τῶν λόγων ἐκ τούτων ποι μεν, ἡνίκα ἂν θέλωμεν. ἂν δὲ ἀστεῖον γράφειν θ λόγον, παραφύλαττε ὡς μάλιστα, ὅπως τὰ ἤθη τῶν γων ὁμοιοῦν τοῖς ἀνθρώποις δυνήσῃ. τοῦτο δὲ ποιήσ ἂν ἐπιθεωρῇς τὰ μεγάλα τῶν ἠθῶν καὶ τὰ ἀκριβῆ κα μέτρια. περὶ μὲν οὖν τούτων ἐντεῦθεν οὐκ ἀγνοήσ περὶ δὲ ὀνομάτων συνθέσεως δηλώσομεν· καὶ γὰρ τι τῶν ἀναγκαίων ἐστίν.

23 Πρῶτον μὲν οὖν τρόποι ὀνομάτων εἰσὶ τρεῖς, ἁπλ ἢ σύνθετος ἢ μεταφέρων. ὡσαύτως δὲ καὶ συνθέ τρεῖς, μία μὲν εἰς φωνήεντα τελευτᾶν ταῖς συλλαβαῖς ἀπὸ φωνήεντος ἄρχεσθαι, δευτέρα δὲ ἀπὸ ἀφώνου ἀρ μενον εἰς ἄφωνον τελευτᾶν, τρίτη δὲ τὰ ἄφωνα πρὸ φωνήεντα συνδεῖν. τάξεις δὲ τέσσαρες, μία μὲν τὰ ὁμ τῶν ὀνομάτων ἢ παράλληλα τιθέναι ἢ διασπείρειν, ἑ δὲ τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι ἢ μεταβάλλειν εἰς ἕτ τρίτη δὲ ἑνὶ ἢ πολλοῖς ὀνόμασι τὸ πρᾶγμα προσαγορευ τετάρτη δὲ ἑξῆς τὰ πραχθέντα ὀνομάζειν ἢ ὑπερβιβά ὅπως δὲ καλλίστην ποιήσεις τὴν ἑρμηνείαν, νῦν δη σομεν.

24 Πρῶτον μὲν οὖν εἰς δύο ἑρμηνεύειν, εἶτα σαφῶ λέγειν. σχήματα δέ ἐστι τοῦ εἰς δύο λέγειν τάδε· ἓν ὅτι αὐτὸς δύναται καὶ τοῦτο καὶ ἕτερον, δεύτερον δ οὗτος οὐ δύναται, ἕτερος δὲ δύναται, τρίτον δὲ ὅτι τος καὶ τοῦτο καὶ ἕτερον δύναται, τέταρτον δὲ ὅτι αὐτὸς οὔθ' ἕτερος δύναται, πέμπτον δὲ ὅτι αὐτὸς δύναται, ἕτερος δὲ οὐ δύναται, ἕκτον δὲ ὅτι αὐτὸς ἕτερον δύναται, ἐκεῖνος δὲ οὐ δύναται ἕτερον. ἕκα δὲ τούτων ἐπὶ τῶνδε θεωρήσεις. ὅτι μὲν γὰρ αὐτὸς ναται καὶ τοῦτο καὶ ἕτερον, τοιόνδε ἐστίν· ἐγὼ δὲ οὐ

νον τούτων αἴτιος ὑμῖν ἐγενόμην, ἀλλὰ καὶ Τιμόθεον 24 μέλλοντα στρατεύειν ἐφ' ὑμᾶς διεκώλυσα. ὅτι δὲ οὗτος μὲν οὐ δύναται, ἕτερος δὲ δύναται, τοιόνδε· αὐτὸς μὲν [οὖν] ἀδυνάτως ἔχει πρεσβεύειν ὑπὲρ ἡμῶν, οὗτος δὲ φίλος ἐστὶ τῇ πόλει [τῶν] Σπαρτιατῶν, καὶ μάλιστ' ἂν δυνηθείη πρᾶξαι ἃ βούλεσθε. τὸ δὲ ὅτι οὗτος καὶ τοῦτο καὶ ἕτερον δύναται, τοιόνδε· οὐ μόνον δὲ ἐν τοῖς πολέμοις εὔρωστον αὐτὸν παρέσχεν, ἀλλὰ καὶ βουλεύσασθαι τῶν πολιτῶν οὐχ ἥκιστα δύναται. τὸ δὲ ὅτι οὔτ' αὐτὸς οὔθ' ἕτερος δύναται, τοιόνδε· οὔτ' ἂν αὐτὸς δυνηθείην ὀλίγην δύναμιν ἔχων καταπολεμῆσαι τοὺς ἐναντίους, οὔτ' ἄλλος οὐδεὶς τῶν πολιτῶν. τὸ δὲ ὅτι ἐκεῖνος μὲν δύναται, αὐτὸς δὲ οὐ δύναται, τοιόνδε· οὗτος μὲν γὰρ ἔρρωται τῷ σώματι, ἐγὼ δ' ἀρρωστῶν τυγχάνω. τὸ δὲ ὅτι αὐτὸς μὲν ἕτερον δύναται, ἐκεῖνος δὲ οὐ δύναται ἕτερον, τοιόνδε· ἐγὼ μὲν γὰρ κυβερνῆσαι δυνατός εἰμι, οὗτος δὲ οὐδὲ κωπηλατῆσαι δύναται. σχήματα μὲν οὖν τοῦ εἰς δύο ἑρμηνεύειν ὧδε ποιήσεις, ἐπὶ τῶν πραγμάτων ἁπάντων τὸν αὐτὸν τρόπον μετιών. σαφῶς δὲ ὅθεν δηλώσεις, τοῦτο πάλιν σκεπτέον.

Πρῶτον μὲν οὖν ὀνόμαζε τοῖς οἰκείοις ὀνόμασιν ὅ τι 25 ἂν λέγῃς, διαφεύγων τὸ ἀμφίβολον. εὐλαβοῦ δὲ περὶ τὰ φωνήεντα τῶν γραμμάτων, ὅπως μὴ ἑξῆς τεθήσονται. πρόσεχε δὲ καὶ τοῖς καλουμένοις ἄρθροις, ὅπως ἐν τῷ δέοντι προστιθῆται. σκόπει δὲ καὶ τὴν σύνθεσιν τῶν ὀνομάτων, ὅπως μήτε συγκεχυμένη μήθ' ὑπερβατὴ ἔσται· τὰ γὰρ οὕτω λεγόμενα δύσγνωστα συμβαίνει. μετὰ δὲ συνδέσμους οὓς ἂν προείπῃς, ἀποδίδου τοὺς ἀκολουθοῦντας. τὸ μὲν οὖν [τοὺς] συνδέσμους ἀποδιδόναι τοὺς ἀκολουθοῦντας τοιόνδε ἐστίν· ἐγὼ μὲν παρεγενόμην οὗ ἔφην, σὺ δὲ φάσκων ἥξειν οὐκ ἦλθες. πάλιν ὅταν ὁ αὐτὸς [σύνδεσμος] συνακόλουθος ᾖ, οἷον· σὺ γὰρ κἀκεί-

νων αἴτιος ἐγένου, καὶ τούτων αἴτιος σύ. περὶ μὲν οὖν τῶν συνδέσμων εἴρηται, καὶ ἀπὸ τούτων τεκμαίρεσθαι δεῖ καὶ περὶ τῶν ἄλλων. δεῖ δὲ καὶ τὴν σύνθεσιν τῶν ὀνομάτων μήτε συγκεχυμένην μήτε ὑπερβατὴν εἶναι· τὸ μὲν γὰρ συγκεχυμένον τοιόνδε ἐστίν, ὡς ὅταν εἴπῃς· δεινόν ἐστι τοῦτον τοῦτον τύπτειν· ἄδηλον γὰρ ἦν ὁπότερος [ἂν] ἦν ὁ τύπτων. ἐὰν δὲ εἴπῃς οὕτως, δῆλον ποιήσεις· δεινόν ἐστι τοῦτον ὑπὸ τούτου τύπτεσθαι. τὸ μὲν οὖν συγχεῖν τὴν σύνθεσιν τῶν ὀνομάτων τοιόνδε ἐστί. τὸ δὲ προσέχειν τοῖς ἄρθροις, ὅπως ἐν τῷ δέοντι προστιθῆται, ἐπὶ τῶνδε ὅρα· οὗτος ὁ ἄνθρωπος τοῦτον τὸν ἄνθρωπον ἀδικεῖ. νῦν μὲν [οὖν] ἐγγινόμενα τὰ ἄρθρα σαφῆ ποιεῖ τὴν λέξιν, ἐξαιρεθέντα δὲ ἀσαφῆ ποιήσει. ἔσθ' ὅτι δὲ συμβαίνει καὶ τὸ ἀνάπαλιν. τὰ μὲν οὖν ἐν τοῖς ἄρθροις τοιαῦτά ἐστι. τὰ δὲ φωνήεντα μὴ τίθει παράλληλα, ἂν μή ποτε ἄλλως ἀδύνατον ᾖ δηλῶσαι, ἢ ἀνάπτυξις ᾖ τις ἢ ἄλλη διαίρεσις. τὸ δὲ τὰ ἀμφίβολα διαφεύγειν τοιόνδε ἐστίν· ἔνια τῶν ὀνομάτων ταὐτὰ ἐπὶ πλείοσι πράγμασι κεῖται, οἷον ὁδὸς τῶν θυρῶν καὶ ὁδὸς ἣν βαδίζουσιν. δεῖ δ' ἐπὶ τοῖς τοιούτοις τὸ ἴδιον ἀεὶ συμπαραλαμβάνειν. καὶ σαφῶς μὲν [ἐν] τοῖς ὀνόμασιν, ἂν ταῦτα ποιῶμεν, διαλεξόμεθα, εἰς δύο δ' ἑρμηνεύσομεν διὰ τῆς προτέρας μεθόδου.

26 Περὶ δὲ ἀντιθέτων καὶ παρισώσεων καὶ ὁμοιοτήτων λέγωμεν ἤδη· δεησόμεθα γὰρ καὶ τούτων. ἀντίθετον μὲν οὖν ἐστι τὸ ἐναντίαν τὴν ὀνομασίαν ἅμα καὶ τὴν δύναμιν τοῖς ἀντικειμένοις ἔχον, ἢ τὸ ἕτερον τούτων. τοῖς μὲν οὖν ὀνόμασιν εἴη ἂν ἐναντίον ἅμα καὶ τῇ δυνάμει τόδε· οὐ γὰρ δίκαιον τοῦτον μὲν τὰ ἐμὰ ἔχοντα πλουτεῖν, ἐμὲ δὲ τὰ ὄντα προϊέμενον οὕτω πτωχεύειν. τοῖς δ' ὀνόμασι μόνοις· διδότω γὰρ ὁ πλούσιος καὶ εὐδαίμων τῷ πένητι καὶ ἐνδεεῖ. τῇ δὲ δυνάμει· ἐγὼ μὲν τοῦτον νο-

οῦντα ἐθεράπευσα, οὗτος δ' ἐμοὶ μεγίστων κακῶν αἴ- 26
ιος γέγονεν. ἐνταῦθα μὲν γὰρ τὰ ὀνόματα οὐκ ἐναντία, ι δὲ πράξεις ἐναντίαι. κάλλιστον μὲν οὖν εἴη ἂν τὸ κατ' μφότερα ἀντίθετον, καὶ κατὰ τὴν δύναμιν καὶ κατὰ τὴν νομασίαν. ἔστι δὲ καὶ τὰ λοιπὰ δύο ἀντίθετα.

Παρίσωσις δέ ἐστι μέν, ὅταν δύο ἴσα λέγηται κῶλα· 27
ἴη δ' ἂν ἴσα καὶ πολλὰ μικρὰ ὀλίγοις μεγάλοις, καὶ ἴσα ὸ μέγεθος ἴσοις τὸν ἀριθμόν. ἔχει δὲ τοιόνδε τὸ σχῆμα ἡ παρίσωσις· ἢ διὰ χρημάτων ἀπορίαν ἢ διὰ πολέμου ιέγεθος. ταῦτα γὰρ οὔτε ὅμοια οὔτε ἐναντία ἀλλ' ἴσα ιόνον ἀλλήλοις.

Παρομοίωσις δέ ἐστιν ἡ μείζων τῆς παρισώσεως· οὐ 28
γὰρ μόνον ἴσα τὰ κῶλα ποιεῖ, ἀλλὰ καὶ ὅμοια ἐξ ὁμοίων ὀνομάτων· ὅσον δεῖ σε λόγου μίμημα, φέρε πόθου έχνασμα. μάλιστα δὲ ποίει ὅμοια τὰ τελευταῖα τῶν ὀνο-μάτων· ταῦτα γὰρ μάλιστα ποιεῖ τὴν ὁμοίωσιν. ὅμοια δ' ἐστὶν ὀνόματα τὰ ἐξ ὁμοίων συλλαβῶν, ἐν αἷς πλεῖστα γράμματα τὰ αὐτά ἐστιν, οἷον, πλήθει μὲν ἐνδεῶς δυνά-μει δὲ ἐντελῶς.

Ὅσα δὲ ἔξω τέχνης κεῖται, τὸ αὐτόματον αὐτὸ δείξει. περὶ μὲν οὖν τούτων ἀπόχρη· καὶ γὰρ τὸ δίκαιον καὶ τὸ καλὸν καὶ τὸ συμφέρον καὶ τὰ λοιπὰ αὐτά τε ἴσμεν ἅ ἐστι, καὶ ὅθεν αὐτὰ πολλὰ ποιήσομεν. ὡσαύτως δὲ καὶ τὰς αὐξήσεις καὶ τὰς ταπεινώσεις γινώσκομεν, αἵ τινές τέ εἰσι καὶ ὅθεν αὐτῶν εἰς τοὺς λόγους εὐπορήσομεν. ὁμοιο-τρόπως δὲ τούτοις τάς τε προκαταλήψεις καὶ τὰ παρὰ τῶν ἀκουόντων αἰτήματα καὶ τὰς παλιλλογίας καὶ τὰς ἀστειολογίας καὶ τὰ μήκη τῶν λόγων καὶ τῆς ἑρμηνείας τὴν σύνθεσιν ἅπασαν ἴσμεν. ὥστε τὰς κοινὰς δυνάμεις πάντων τῶν εἰδῶν [καὶ τὰς διαφορὰς] καὶ τὰς χρήσεις αὐτῶν ἐκ τῶν προειρημένων εἰδότες, ἂν ἐθίσωμεν ἡμᾶς αὐτοὺς καὶ γυμνάσωμεν ἀναλαμβάνειν αὐτὰς κατὰ τὰ

28 προγυμνάσματα, πολλὴν εὐπορίαν καὶ λέγοντες καὶ γράφοντες ἐξ αὐτῶν ἕξομεν. κατὰ [τὰ] μέρη μὲν οὖν οὕτως ἀκριβέστατα ἂν διέλθοις τὰς τῶν λόγων μεθόδους. ὡς δ' ἐπὶ τοῖς εἴδεσι χρὴ τάττειν τοὺς λόγους σωματοειδῶς, τίσι τε πρώτοις τῶν μερῶν χρῆσθαι καὶ πῶς τούτοις αὐτοῖς, [ταῦτα] πάλιν δηλώσω. προοίμια μὲν οὖν προτάττω· κοινὸν δ' ἐστὶ τῶν ἑπτὰ εἰδῶν καὶ ἐπὶ πᾶσι τοῖς πράγμασιν ἁρμόσει λεγόμενον.

29 Ἔστι δὲ προοίμιον καθόλου μὲν εἰπεῖν ἀκροατῶν παρασκευή, καὶ τοῦ πράγματος ἐν κεφαλαίῳ μὴ εἰδόσι δήλωσις, ἵνα γινώσκωσι περὶ ὧν ὁ λόγος παρακολουθῶσί τε τῇ ὑποθέσει, καὶ ἐπὶ τὸ προσέχειν παρακαλέσαι, καὶ καθ' ὅσον τῷ λόγῳ δυνατόν, εὔνους ἡμῖν αὐτοὺς ποιῆσαι. τούτων μὲν οὖν εἶναι δεῖ τὸ προοίμιον παρασκευαστικόν. ὡς δὲ αὐτῷ χρησόμεθα, πρῶτον μὲν ἐπὶ τῶν δημηγορικῶν καὶ προτρεπτικῶν, τοῦτο δείξω.

Τὸ μὲν οὖν προεκτιθέναι τὸ πρᾶγμα τοῖς ἀκούουσι καὶ φανερὸν ποιεῖν τοιόνδε ἐστίν· ἀνέστην συμβουλεύσων ὡς χρὴ πολεμεῖν ἡμᾶς ὑπὲρ Συρακουσίων. ἀνέστην ἀποφανούμενος ὡς οὐ χρὴ βοηθεῖν ἡμᾶς Συρακουσίοις. τὸ μὲν οὖν φράζειν ἐν κεφαλαίῳ τὸ πρᾶγμα τοιόνδε ἐστίν.

Προσέχειν δὲ παρακαλεῖν ἐκ τούτων ἂν εἰδείημεν, εἰ κατανοήσαιμεν αὐτοὶ ποίοις μάλιστα καὶ λόγοις καὶ πράγμασι βουλευόμενοι προσέχομεν. ἆρ' οὖν οὐ τούτοις, ὅταν ἢ ὑπὲρ μεγάλων ἢ φοβερῶν ἢ τῶν ἡμῖν οἰκείων βουλευώμεθα; ἢ φάσκωσιν [ἐπιδείξειν] οἱ λέγοντες ὡς δίκαια καὶ καλὰ καὶ συμφέροντα καὶ ῥᾴδια καὶ ἀληθῆ ἐπιδείξουσιν ἡμῖν, ἐφ' ἃ πράττειν παρακαλοῦσιν; ἢ δεηθῶσιν ἡμῶν ἀκοῦσαι αὐτῶν προσέχοντας τὸν νοῦν; ὥσπερ οὖν αὐτοὶ τοῖς ἄλλοις, οὕτω καὶ ἡμεῖς τὰ οἰκειότατα τῶν προειρημένων τοῖς ὑφ' ἡμῶν πράγμασι λεγομένοις λαμβάνοντες καὶ τοῖς ἀκούουσιν ἐνδεικνύμενοι

προσέχειν αὐτοῖς ποιήσομεν. ἐπὶ μὲν οὖν τὸ προσέχειν 29
διὰ τούτων παρακαλοῦμεν.

Τὴν εὔνοιαν δὲ παρασκευασόμεθα διασκεψάμενοι πρῶτον πῶς πρὸς ἡμᾶς αὐτοὶ τυγχάνουσιν ἔχοντες, εὐνοϊκῶς ἢ δυσμενῶς ἢ μήτε εὖ μήτε κακῶς. ἐὰν μὲν οὖν εὖνοι τυγχάνωσιν ὄντες, περίεργον λέγειν περὶ εὐνοίας, ἐὰν δὲ πάντως βουλώμεθα, χρὴ συντόμως μετ' εἰρωνείας εἰπεῖν τοῦτον τὸν τρόπον· ὅτι μὲν οὖν εὔνους εἰμὶ τῇ πόλει, καὶ πολλάκις μοι πεισθέντες συμφερόντως ἐπράξατε, καὶ διότι πρὸς τὰ κοινὰ δίκαιον ἐμαυτὸν παρέχω καὶ μᾶλλόν τι τῶν ἰδίων προϊέμενον ἢ ἀπὸ τῶν δημοσίων ὠφελούμενον, περίεργον εἶναι νομίζω πρὸς ὑμᾶς τοῦτό γε σαφῶς εἰδότας λέγειν· ὡς δὲ εἰ καὶ νῦν μοι πεισθῆτε, καλῶς βουλεύσεσθε, τοῦτο πειράσομαι διδάσκειν. τοῦτον μὲν οὖν τὸν τρόπον τοῖς εὖ διακειμένοις ἐν ταῖς δημηγορίαις τῆς εὐμενείας ὑπομνηστέον. τοῖς δὲ μήτε διαβεβλημένοις μήτε εὖ διακειμένοις ῥητέον ὡς δίκαιόν ἐστι καὶ συμφέρον τοῖς πεῖραν μὴ δεδωκόσι τῶν πολιτῶν εὔνους ἀκροατὰς γενέσθαι. ἔπειτα τοὺς ἀκούοντας ἐπαίνῳ θεραπευτέον, δικαίως καὶ νουνεχῶς τοὺς λόγους ὡς εἰώθασι δοκιμάζειν. ἔτι δὲ τὰς ἐλαττώσεις οἰστέον λέγοντας ὡς οὐ δεινότητι πιστεύων ἀνέστην, ἀλλὰ νομίζων τῷ κοινῷ τὸ συμφέρον εἰσηγήσεσθαι. καὶ τοῖς μὲν μήτε εὖ μήτε κακῶς διακειμένοις ἐκ τῶν τοιούτων τὴν εὔνοιαν ποριστέον, τοὺς δὲ διαβεβλημένους ἀναγκαῖον τὰς διαβολὰς ἢ αὐτοὺς ἔχειν, ἢ τὰ πράγματα ὑπὲρ ὧν λέγουσιν, ἢ τὸν λόγον. αὐτῶν δὲ αἱ διαβολαὶ γίνονται ἢ ἐκ τοῦ παρόντος ἢ ἐκ τοῦ παροιχομένου χρόνου. ἐκ μὲν οὖν τοῦ παροιχομένου χρόνου ἐάν τις ὑποπτεύηται εἰς πονηρίαν τινά, πρῶτον μὲν τῇ πρὸς τοὺς ἀκροατὰς προκαταλήψει χρῆσθαι καὶ λέγειν ὡς· οὐδ' αὐτὸς ἀγνοῶ διαβεβλημένος, ἀλλ' ἐπιδείξω ψευδεῖς οὔσας τὰς διαβολάς. ἔπειτα

29 κεφαλαιωδῶς ἐν τοῖς προοιμίοις ἀπολογητέον, ἂν ἔχῃς τι λέγειν ὑπὲρ σαυτοῦ, καὶ τὰς κρίσεις ψεκτέον. ἀναγκαῖον γάρ, ἄν τε πρὸς τὸ δημόσιον ᾖ τις διαβεβλημένος, ἄν τε πρὸς τοὺς ἰδιώτας, ἢ γεγενῆσθαι κρίσιν ἢ μέλλειν γενήσεσθαι ἢ μὴ βούλεσθαι τοὺς τὴν αἰτίαν ἐπενεγκόντας λαβεῖν κρίσιν, καὶ ῥητέον ὡς ἀδίκως ἡ κρίσις ἐγένετο, καὶ ὡς ὑπὸ τῶν ἐχθρῶν κατεστασιάσθημεν. ἢ ἐὰν τοῦτο μὴ ἐνδέχηται, λέγε ὡς ἱκανὸν ἡμῖν ἀτυχήσασι τότε, καὶ ὡς δίκαιόν ἐστι ἤδη τῶν πραγμάτων κεκριμένων μὴ περὶ τῶν αὐτῶν ἔτι διαβολὰς ἔχειν. ἂν δ' ἐπίδοξος ἡ κρίσις ᾖ γενέσθαι, λεκτέον ὡς ἕτοιμος εἶ περὶ τῶν διαβολῶν ἐν τοῖς καθημένοις ἤδη κρίνεσθαι, κἂν ἐλεγχθῇς τι τὴν πόλιν ἀδικῶν, ἀποθνήσκειν ὑποτιμῶ. ἐὰν δὲ [οἱ] ἐγκαλέσαντες μὴ ἐπεξίωσιν, αὐτὸ τοῦτο χρὴ σημεῖον ποιεῖσθαι, διότι τὴν διαβολὴν ψευδῶς ἡμῶν κατήνεγκαν· οὐ γὰρ εἰκὸς εἶναι δόξει τοὺς ἀληθῶς ἐγκαλοῦντας μὴ βούλεσθαι κρίσιν λαβεῖν. ἀεὶ δὲ κατηγορεῖν χρὴ διαβολῆς, καὶ λέγειν ὡς δεινὸν καὶ κοινὸν καὶ πολλῶν κακῶν αἴτιον. ἐμφανιστέον δ' ὅτι καὶ πολλοὶ ἤδη διεφθάρησαν ἀδίκως διαβληθέντες. χρὴ δὲ καὶ διδάσκειν ὡς εὔηθές ἐστιν, ὑπὲρ τῶν κοινῶν βουλευομένους μὴ παρὰ πάντων τοὺς λόγους ἀκούοντας τὸ συμφέρον σκοπεῖν, ἀλλὰ ταῖς ἐνίων διαβολαῖς δυσχεραίνειν. δεῖ δὲ καὶ ἐπαγγέλλεσθαι [καὶ ὑπισχνεῖσθαι] δίκαια καὶ συμφέροντα καὶ καλὰ ἐπιδείξειν, ἃ ὑπέσχου συμβουλεύειν. τοὺς μὲν οὖν ἐκ τοῦ παροιχομένου χρόνου διαβεβλημένους τοῦτον τὸν τρόπον ἐν ταῖς δημηγορίαις τὰς διαβολὰς λυτέον. ἐκ δὲ τοῦ παρόντος χρόνου διαβάλλει τοὺς λέγοντας πρῶτον μὲν ἡλικία. ἐάν τε γὰρ νέος παντελῶς ἐάν τε πρεσβύτης δημηγορῇ, δυσχεραίνεται· τῷ μὲν γὰρ οὔπω ἦρχθαι, τῷ δὲ ἤδη πεπαῦσθαι προσήκειν οἴονται. ἔπειτα ἐὰν συνεχῶς εἰώθῃ λέγειν· πολυπράγμων γὰρ εἶναι δοκεῖ οὗτος. καὶ

ἐὰν μηδέπω πρότερον εἰρήκῃ· καὶ γὰρ οὗτος ἕνεκά τινος 29 ἰδίου δοκεῖ παρὰ τὸ ἔθος δημηγορεῖν. ἐκ μὲν οὖν τοῦ παρόντος χρόνου διαβολαὶ περὶ τὸν δημηγοροῦντα τοιαῦται γενήσονται. προφασίζεσθαι δὲ ὑπὲρ αὐτῶν δεῖ, τὸν μὲν νεώτερον ἐκ τῆς ἐρημίας τῶν συμβουλευόντων καὶ ἐκ τοῦ προσήκοντος τούτῳ, λέγω δ' οἷον ὑπὲρ λαμπαδαρχίας ἢ ὑπὲρ γυμνασίου ἢ ὑπὲρ ὅπλων ἢ ἵππων ἢ περὶ πολέμου· τούτων γὰρ οὐκ ἐλάχιστον μέρος τῷ νέῳ μέτεστιν. ῥητέον δὲ καὶ ὡς εἰ μήπω καθ' ἡλικίαν τὸ φρονεῖν, ἀλλὰ κατὰ φύσιν καὶ ἐπιμέλειαν. ἐμφανιστέον δὲ καὶ ὡς ἁμαρτόντι μὲν ἴδιον τὸ ἀτύχημα, κατορθώσαντι δὲ κοινὴ ἡ ὠφέλεια. τῷ μὲν οὖν νέῳ ἐκ τῶν τοιούτων προφασιστέον· γέροντι δὲ προφασιστέον λέγοντι ἔκ τε τῆς ἐρημίας τῶν συμβουλευόντων καὶ ἐκ τῆς εὐπορίας αὐτοῦ. πρὸς δὲ τούτοις καὶ ἐκ τοῦ μεγέθους καὶ ἐκ τῆς καινότητος τῶν κινδύνων καὶ ἐκ τῶν ἄλλων τῶν τοιούτων. τῷ δὲ λίαν εἰθισμένῳ ἐκ τῆς ἐμπειρίας καὶ ἐκ τοῦ αἰσχρὸν εἶναι πρότερον δὴ λέγοντα νῦν μὴ ἀποφαίνεσθαι γνώμας. τῷ δὲ μὴ εἰθισμένῳ ἔκ τε τοῦ μεγέθους τῶν κινδύνων καὶ ἐκ τοῦ ἀναγκαῖον εἶναι, πάντα τινὰ ᾧ τῆς πόλεως μέτεστιν, ὑπὲρ τῶν νῦν προκειμένων ἀποφαίνεσθαι γνώμην. τὰς μὲν οὖν περὶ αὐτὸν τὸν ἄνθρωπον διαβολὰς ἐν ταῖς δημηγορίαις ἐκ τῶν τοιούτων λύειν ἐπιχειρήσομεν. αἱ δὲ περὶ τὸ πρᾶγμα γίνονται μὲν ὅταν τις ἡσυχίαν πρὸς τοὺς μηδὲν ἀδικοῦντας ἢ [πρὸς] τοὺς κρείττονας συμβουλεύῃ ἢ εἰρήνην ποιεῖσθαι αἰσχράν, ἢ παραινῇ περὶ τὰς θυσίας μικρὰ συντελεῖν, ἤ τι τοιοῦτον εἰσηγῆται. δεῖ δὲ περὶ τῶν τοιούτων πρότερον μὲν πρὸς τοὺς ἀκροατὰς προκαταλήψει χρῆσθαι, ἔπειτα τὴν αἰτίαν εἰς τὴν ἀνάγκην καὶ τὴν τύχην καὶ τοὺς καιροὺς καὶ τὸ συμφέρον ἀναφέρειν, καὶ λέγειν ὡς οὐχ οἱ συμβουλεύοντες τῶν τοιούτων ἀλλὰ τὰ πράγματά ἐστιν αἴτια. καὶ τὰς μὲν περὶ τὸ

29 πρᾶγμα διαβολὰς ἐκ τῶν τοιούτων ἀπὸ τῶν συμβουλευόντων ἀπάξομεν. ὁ δὲ λόγος ἐν ταῖς δημηγορίαις διαβάλλεται, ὅταν ἢ μακρὸς ἢ ἀρχαῖος ἢ ἄπιστος λέγηται· ἐὰν μὲν οὖν μακρὸς ᾖ, τὸ πλῆθος αἰτιατέον τῶν πραγμάτων, ἐὰν δὲ ἀρχαῖος, διδακτέον ὅτι νῦν καιρὸς αὐτοῦ εἴη, εἰ δὲ ἀπίθανος, ὑπισχνεῖσθαι δεῖ ὡς ἀληθῆ ἐπιδείξεις ἐπὶ τοῦ λόγου. τὰς μὲν οὖν δημηγορίας ἐκ τούτων καταστησόμεθα. τάξομεν δὲ πῶς; ἐὰν μὲν μηδεμίαν διαβολὴν ἔχωμεν μήτε αὐτοὶ μήτε ὁ λόγος μήτε τὸ πρᾶγμα, τὴν πρόθεσιν ἐν ἀρχῇ εὐθέως ἐκθήσομεν. ἐπὶ δὲ τὸ προσέχειν καὶ τοῦ λόγου εὐμενῶς ἀκούειν ὕστερον παρακαλέσομεν. ἐὰν δὲ διαβολή τις ᾖ τῶν προειρημένων περὶ ἡμᾶς, προκαταλαβόντες τοὺς ἀκροατὰς καὶ περὶ τῶν διαβολῶν τὰς ἀπολογίας καὶ τὰς προφάσεις συντόμως ἐνεγκόντες, οὕτω προθήσομεν καὶ τοὺς ἀκροατὰς ἐπὶ τὸ προσέχειν παρακαλέσομεν. τοῦτον μὲν οὖν τὸν τρόπον τὰς καταστάσεις τῶν δημηγοριῶν ποιητέον.

30 Μετὰ δὲ τοῦτο ἀναγκαῖον ἡμᾶς ἐστιν ἢ τὰς προγεγενημένας πράξεις ἀπαγγέλλειν ἢ ἀναμιμνήσκειν, ἢ τὰς νῦν οὔσας μερίζοντας δηλοῦν, ἢ τὰς μελλούσας γενήσεσθαι προλέγειν. ὅταν μὲν οὖν πρεσβείαν ἀπαγγέλλωμεν, πάντα δεῖ τὰ ῥηθέντα καθαρῶς διεξελθεῖν, ἵνα πρῶτον μὲν μέγεθος ὁ λόγος ἔχῃ· ἀπαγγελία γὰρ μόνον ἔσται ἡ τοιαύτη, καὶ οὐδὲν ἄλλο λόγου σχῆμα παρεμπεσεῖται. ἔπειθ᾿ ὅπως, ἂν μὲν ἀποτετυχηκότες ὦμεν, μὴ διὰ τὴν ἡμετέραν ῥαθυμίαν οἱ ἀκούοντες οἴωνται διαμαρτάνειν τῆς πράξεως, ἀλλὰ δι᾿ ἄλλην τινὰ αἰτίαν· ἂν δὲ ἐπιτύχωμεν, μὴ διὰ τύχην ὑπολάβωσι τοῦτο γεγενῆσθαι, ἀλλὰ διὰ τὴν ἡμετέραν προθυμίαν. ταῦτα δὲ πιστεύουσιν, ἐπειδὴ τοῖς πράγμασιν οὐ παρεγένοντο πραττομένοις, ἐὰν ἐπὶ τοῦ λόγου τὴν προθυμίαν ἡμῶν θεωρῶσι μηδὲν παραλειπόντων, ἀλλ᾿ ἀκριβῶς ἕκαστα ἀπαγγελ-

ιν. ὅταν μὲν οὖν πρεσβείαν ἀπαγγέλλωμεν, διὰ τὰς ; ταύτας ἕκαστα ὃν τρόπον ἐγένετο, ἀπαγγελτέον. δὲ αὐτοὶ δημηγοροῦντες τῶν παρεληλυθότων τι ιμεν ἢ [καὶ] τὰ παρόντα δηλῶμεν ἢ τὰ μέλλοντα 'γωμεν, δεῖ τούτων ἕκαστον ποιεῖν βραχέως καὶ σα- ιαὶ μὴ ἀπίστως. σαφῶς μὲν ὅπως καταμάθωσι τὰ ενα πράγματα, συντόμως δὲ ἵνα μνημονεύσωσι τὰ 'τα, πιστῶς δὲ ὅπως μὴ πρὸ τοῦ ταῖς πίστεσι καὶ ικαιολογίαις βεβαιῶσαι τὸν λόγον ἡμᾶς τὰς ἐξηγή- μῶν οἱ ἀκούοντες ἀποδοκιμάσωσιν. σαφῶς μὲν οὖν ιομεν ἀπὸ τῶν ὀνομάτων ἢ ἀπὸ τῶν πραγμάτων. ὲν οὖν τῶν πραγμάτων, ἐὰν μὴ ὑπερβατῶς αὐτὰ ιεν, ἀλλὰ τὰ πρῶτα πραχθέντα ἢ πραττόμενα ἢ ησόμενα πρῶτα λέγωμεν, τὰ δὲ λοιπὰ ἐφεξῆς τάτ- ', καὶ ἐὰν μὴ προαπολιπόντες τὴν πρᾶξιν, περὶ ἧς χειρήσωμεν λέγειν, πάλιν ἑτέραν ἐξαγγείλωμεν. ὲν οὖν τῶν πραγμάτων σαφῶς οὕτως ἐροῦμεν. ἀπὸ ν ὀνομάτων, ἐὰν ὅτι μάλιστα τοῖς οἰκείοις τῶν ιάτων ὀνόμασι τὰς πράξεις προσαγορεύωμεν, καὶ ῖς κοινοῖς, καὶ μὴ ὑπερβατῶς αὐτὰ τιθῶμεν, ἀλλ' ἐχόμενα ἑξῆς τάττωμεν. σαφῶς μὲν οὖν δηλώ- ταῦτα διαφυλάττοντες. συντόμως δὲ ἐὰν ἀπὸ ραγμάτων καὶ τῶν ὀνομάτων περιαιρῶμεν τὰ μὴ αῖα ῥηθῆναι, ταῦτα μόνα καταλείποντες, ὧν ἀφαι- των ἀσαφὴς ἔσται ὁ λόγος. καὶ συντόμως μὲν τοῦ- ν τρόπον δηλώσομεν. οὐκ ἀπίστως δὲ ἂν περὶ τὰς νους πράξεις αἰτίας φέρωμεν, παρ' ἃς εἰκότως τὰ ενα δόξει πραχθῆναι. ὅσα δ' ἂν λίαν ἄπιστα συμ- , δεῖ παραλείπειν. ἐὰν δὲ ἀναγκαῖον ᾖ λέγειν, εἰ- εῖ φαίνεσθαι, καὶ ἐπιπλέξαντα αὐτὰ τῷ τῆς παρα- ς σχήματι ὑπερβάλλεσθαι, καὶ προϊόντος τοῦ λό- ιδείξειν ἀληθῆ ὑπισχνεῖσθαι, προφασισάμενον ὅτι

30 τὰ προειρημένα πρῶτον βούλει ἀποδεῖξαι ἀληθῆ ὄντα καὶ δίκαια ἤ τι τῶν τοιούτων. καὶ τοῦτον μὲν τὸν τρόπον τὰς ἀπιστίας ἰασόμεθα. συλλήβδην δὲ τὰς ἀπαγγελίας καὶ τὰς δηλώσεις καὶ τὰς προρρήσεις ἐξ ἁπάντων τῶν εἰρημένων σαφεῖς καὶ βραχείας καὶ οὐκ ἀπίστους ποιήσομεν.

31 Τάξομεν δὲ αὐτὰς διὰ τριῶν τρόπων. ὅταν μὲν γὰρ ὦσιν ὀλίγα τὰ πράγματα περὶ ὧν λέγομεν, καὶ γνώριμα τοῖς ἀκούουσι, τῷ προοιμίῳ συνάψομεν, ἵνα μὴ βραχὺ τοῦτο τὸ μέρος καθ' ἑαυτὸ τεθὲν γένηται. ὅταν δὲ λίαν ὦσιν αἱ πράξεις πολλαὶ καὶ μὴ γνώριμοι, παρ' ἕκαστον συναπτὰς ποιήσομεν, καὶ δικαίας καὶ συμφερούσας καὶ καλὰς ἀποφανοῦμεν, ἵνα μὴ μόνον πραγματολογοῦντες ἁπλοῦν τὸν λόγον καὶ μὴ ποικίλον ποιῶμεν, ἀλλὰ καὶ τῶν ἀκουόντων τὰς διανοίας ἀναλαμβάνωμεν. ἂν δ' ὦσιν αἱ πράξεις μέτριαι καὶ ἀγνοούμεναι, τὴν ἀπαγγελίαν ἢ τὴν δήλωσιν ἢ τὴν πρόρρησιν ἐπὶ τῷ φροιμίῳ δεῖ σωματοειδῆ τάττειν. τοῦτο δὲ ποιήσομεν, ἐὰν ἀπὸ τῆς ἀρχῆς τῶν πραγμάτων ἐπὶ τὸ τέλος διέλθωμεν, μηδὲν ἄλλο συμπεριλαμβάνοντες, ἀλλ' ἢ τὰς πράξεις αὐτὰς ψιλὰς φράζοντες. καὶ τὰς μὲν διηγήσεις ἐπὶ τοῖς προοιμίοις ὡς δεῖ τάττειν, οὕτως εἰσόμεθα.

32 Μετὰ δὲ ταύτας ἐστὶ βεβαίωσις δι' ἧς τὰς προειρημένας πράξεις ἐκ τῶν πίστεων καὶ τῶν δικαίων καὶ τῶν συμφερόντων, οἵας ὑπεθέμεθα δείξειν, βεβαιώσομεν. ὅταν μὲν οὖν συναπτὰς ποιῇς, οἰκειόταται ταῖς δημηγορίαις εἰσὶ πίστεις τά τε τῶν πραγμάτων ἔθη καὶ τὰ παραδείγματα καὶ τὰ ἐπενθυμήματα καὶ ἡ δόξα τοῦ λέγοντος. χρηστέον δὲ καὶ ἄν τις τῶν ἄλλων πίστεων παρεμπέσῃ. τάττειν δὲ αὐτὰς ὧδε δεῖ· πρῶτον μὲν τὴν τοῦ λέγοντος δόξαν, εἰ δὲ μή, τὰ τῶν πραγμάτων ἔθη, [δεικνύντας] ὅτι ταῦθ' ἃ λέγομεν ἢ τὰ τούτοις ὅμοια, οὕτως εἴθισται

:σθαι. ἐπὶ δὲ τούτοις παραδείγματα οἰστέον, καὶ εἰ 32 ιότης τίς ἐστι, πρὸς τὰ ὑφ' ἡμῶν λεγόμενα προσα-)ν. λαμβάνειν δὲ δεῖ τὰ παραδείγματα οἰκεῖα τῷ :γματι, καὶ τὰ ἐγγύτατα τοῖς ἀκούουσι χρόνῳ ἢ τόπῳ. δὲ μὴ ὑπάρχῃ τοιαῦτα, τῶν ἄλλων τὰ μέγιστα καὶ ɔριμώτατα. μετὰ δὲ ταῦτα γνωμολογητέον. δεῖ δὲ περὶ τὰ μέρη τῶν εἰκότων καὶ τῶν παραδειγμάτων τελευτῆς ἐνθυμηματώδεις καὶ γνωμολογικὰς τὰς τε- τὰς ποιεῖσθαι. καὶ τὰς μὲν πίστεις οὕτως ἐπὶ ταῖς :ξεσι προσακτέον. ἐὰν δὲ πιστεύηται τὰ πράγματα 'έως ῥηθέντα, τὰς μὲν πίστεις παραλειπτέον, τῷ δὲ :αίῳ καὶ τῷ νομίμῳ καὶ τῷ συμφέροντι καὶ τῷ καλῷ τῷ ἡδεῖ καὶ τῷ ῥᾳδίῳ καὶ τῷ δυνατῷ καὶ τῷ ἀναγκαίῳ προειρημένας πράξεις βεβαιωτέον. καὶ εἰ μὲν ὑπάρ- , πρῶτον τὸ δίκαιον τακτέον, διεξιόντας διὰ τούτου τοῦ δικαίου καὶ τοῦ ὁμοίου τῷ δικαίῳ καὶ τοῦ ἐναν- ν καὶ τοῦ κεκριμένου δικαίου. δεῖ δὲ καὶ τὰ παρα- γματα τοῖς ὑπό σου λεγομένοις δικαίοις ὅμοια φέρειν. λλὰ δὲ ἕξεις λέγειν ἔκ τε τῶν ἰδίᾳ παρ' ἑκάστοις δικαί- ὑπολαμβανομένων, καὶ ἐκ τῶν ἐν αὐτῇ τῇ πόλει ἐν ἐγεις, καὶ ἐκ τῶν ἐν ταῖς ἄλλαις πόλεσιν. ὅταν δὲ ιντα τοῦτον τὸν τρόπον μετιόντες διέλθωμεν, ἐπὶ ευτῆς αὐτοῦ γνώμας καὶ ἐνθυμήματα μέτρια καὶ ἀλ- λοις ἀνόμοια ἐνεγκόντες, ἐὰν μὲν μακρὸν ᾖ τὸ μέρος βουλώμεθα μνημονεύεσθαι, συντόμως παλιλλογή- ιεν· ἐὰν δὲ μέτριον ᾖ καὶ μνημονεύηται, αὐτὸ τὸ μέ- ὁρισάμενοι πάλιν ἕτερον προθησόμεθα. ἔστι δὲ ὅ ω τοιόνδε· ὡς μὲν δίκαιόν ἐστιν ἡμᾶς βοηθεῖν Συ- :ουσίοις, ἐκ τῶν εἰρημένων ἱκανῶς ἀποδεδεῖχθαι νο- ν· ὡς δὲ καὶ συμφέρει ταῦτα πράττειν, ἐπιχειρήσω άσκειν. πάλιν δὲ περὶ τοῦ συμφέροντος ὁμοιοτρόπως ; προειρημένοις ἐπὶ τοῦ δικαίου μετιών, καὶ ἐπὶ τῇ

32 τελευτῇ τοῦ μέρους ἢ παλιλλογίαν ἢ ὁρισμὸν ἐπιθείς, πάλιν ἕτερον ὅ τι ἂν ὑπάρχῃ [σοι] προτίθει. τοῦτον δεῖ τὸν τρόπον ἄλλο ἄλλῳ συνάπτειν μέρει καὶ συνυφαίνειν τὸν λόγον. ὅταν δὲ πάντα διεξέλθῃς, ἐξ ὧν ἐνδέχεταί σοι βεβαιῶσαι τὴν προτροπήν, ἐπὶ τούτοις ἅπασι κεφαλαιωδῶς μετὰ ἐνθυμημάτων καὶ γνωμῶν ἢ σχημάτων δείκνυε, ὡς ἄδικον καὶ ἀσύμφορον καὶ αἰσχρὸν καὶ ἀηδὲς μὴ ποιεῖν ταῦτα, καὶ ἀντιτίθει κεφαλαιωδῶς, ὡς δίκαιον καὶ συμφέρον καὶ καλὸν καὶ ἡδὺ πράττειν ἐφ' ἃ παρακαλεῖς. ὅταν δὲ ἱκανῶς ἤδη ᾖς ἐγνωμολογηκώς, τὴν προτροπὴν πέρατι ὅρισαι. καὶ τοῦτον μὲν τὸν τρόπον βεβαιώσομεν τὰ προτεθέντα, μετὰ δὲ τοῦτο τὸ μέρος λέξομεν τὴν προκατάληψιν.

33 Αὕτη δέ ἐστι δι' ἧς τὰς ἐνδεχομένας ἀντιλογίας ῥηθῆναι τοῖς ὑπό σου εἰρημένοις προκαταλαμβάνων διασύρεις. δεῖ δὲ τὰ μὲν ἐκείνων μικρὰ ποιεῖν, τὰ δὲ σαυτοῦ αὔξειν, ὡς ἐν ταῖς αὐξήσεσι προακήκοας. χρὴ δὲ παρατιθέναι καὶ ἓν πρὸς ἕν, ὅταν τὸ σὸν μεῖζον ᾖ, καὶ πρὸς πλείω πλείω, καὶ ἓν πρὸς πολλά, καὶ πολλὰ πρὸς ἕν, διαλλάττοντα κατὰ πάντας τοὺς τρόπους, τὰ μὲν σαυτοῦ αὔξοντα, τὰ δὲ τῶν ἐναντίων ἀσθενῆ καὶ μικρὰ ποιοῦντα. καὶ τοῦτον μὲν τὸν τρόπον ταῖς προκαταλήψεσι χρησόμεθα. ταῦτα δὲ διελθόντες ἐπὶ τελευτῇ παλιλλογήσομεν τὰ προειρημένα σχήματα διαλογισμοῦ λαβόντες ἢ ἀπολογισμοῦ ἢ προαιρέσεως ἢ ἐξ ἐπερωτήσεως ἢ εἰρωνείας.

34 Ἐὰν δὲ ἐπὶ τὸ βοηθεῖν τισι προτρέπωμεν ἢ ἰδιώταις ἢ πόλεσιν, ἁρμόσει συντόμως εἰπεῖν καὶ εἴ τις προϋπάρχει τούτοις πρὸς τοὺς ἐκκλησιάζοντας φιλία ἢ χάρις ἢ ἔλεος· μάλιστα γὰρ τοῖς οὕτω διακειμένοις ἐθέλουσιν ἐπαμύνειν. φιλοῦσι μὲν οὖν πάντες ὑφ' ὧν οἴονται κατὰ τὸ προσῆκον εὖ πεπονθέναι ἢ πάσχειν ἢ πείσεσθαι ἢ

ὑπ' αὐτῶν ἢ τῶν φίλων, ἢ αὐτοὶ ἢ ὧν κηδόμενοι τυγ- 34
χάνουσιν. χάριν δ' ἔχουσι τούτοις ὑφ' ὧν οἴονται παρὰ τὸ προσῆκον ἀγαθόν τι πεπονθέναι ἢ πάσχειν ἢ πείσεσθαι, ἢ ὑπ' αὐτῶν ἢ τῶν φίλων, ἢ αὐτοὶ ἢ ὧν κηδόμενοι τυγχάνουσιν. τούτων μὲν οὖν ἄν τι ἐνῇ, χρὴ συντόμως διδάσκειν, καὶ ἐπὶ τὸν ἔλεον ἄγειν. εὐπορήσομεν δὲ ἐλεεινὰ ποιεῖν ἅπερ ἂν ἐθέλωμεν, ἐὰν συνειδῶμεν, ὅτι πάντες ἐλεοῦσι τούτους οὓς οἰκείως ἔχειν αὐτοῖς ὑπειλήφασιν ἢ οἴονται ἀναξίους εἶναι δυστυχεῖν. δεῖ δὴ ταῦτα ἀποφαίνειν ἔχοντας οὓς ἐθέλεις ἐλεεινοὺς ποιεῖν, καὶ ἐπιδεικνύειν αὐτοὺς ἢ κακῶς πεπονθότας ἢ πάσχοντας ἢ πεισομένους, ἐὰν μὴ οἱ ἀκούοντες αὐτοῖς βοηθῶσιν. ἐὰν δὲ ταῦτα μὴ ἐνῇ, δεικτέον ὑπὲρ ὧν λέγεις ἀγαθῶν ἐστερημένους, ὧν τοῖς ἄλλοις ἅπασιν ἢ τοῖς πλείστοις μέτεστιν, ἢ ἀγαθοῦ μηδέποτε τετυχηκότας ἢ μὴ τυγχάνοντας ἢ μὴ τευξομένους, ἐὰν μὴ νῦν οἱ ἀκούοντες οἰκτείρωσιν. ἐκ τούτων μὲν οὖν ἐπὶ τὸν ἔλεον ἄξομεν.

Τὰς δὲ ἀποτροπὰς ἐκ τῶν ἐναντίων τούτοις ποιήσομεν, τὸν αὐτὸν τρόπον φροιμιαζόμενοι καὶ τὰ πράγματα διεξιόντες, ταῖς τε πίστεσι χρώμενοι, καὶ τοῖς ἀκούουσι δεικνύντες, ὥς ἐστιν ἃ πράττειν ἐπιχειροῦσιν, ἄνομα καὶ ἄδικα καὶ ἀσύμφορα καὶ αἰσχρὰ καὶ ἀηδῆ καὶ ἀδύνατα καὶ ἐργώδη καὶ οὐκ ἀναγκαῖα. ἡ δὲ τάξις ὁμοιότροπος ἔσται, οἵα καὶ τῷ προτρέποντι.

Τοῖς μὲν οὖν καθ' αὐτοὺς ἀποτρέπουσιν οὕτω τὰς τάξεις ποιητέον, τοὺς δὲ πρὸς τὰς ὑφ' ἑτέρων εἰρημένας προτροπὰς ἀντιλέγοντας πρῶτον μὲν ἐν τῷ προοιμίῳ δεῖ, οἷς μέλλουσιν ἀντιλέγειν, προθέσθαι, τὰ δ' ἄλλα καθ' αὐτὰ προοιμιάζεσθαι. μετὰ δὲ τὰ προοίμια μάλιστα μὲν ἕκαστα τῶν προειρημένων καθ' ἓν ἕκαστον προτιθέμενον ἐπιδεικνύειν, ὡς οὐκ ἔστι δίκαια οὐδὲ νόμιμα

34 οὐδὲ συμφέροντα οὐδὲ τούτοις ἀκόλουθα, ἐφ' ἃ παρακαλεῖ ὁ ἐναντίος. τοῦτο δὲ ποιήσεις ἀποφαίνων ἢ ἄδικα ὄντα ἃ λέγει ἢ ἀσύμφορα ἢ τούτοις ὅμοια ἢ ἐναντία τοῖς δικαίοις καὶ τοῖς συμφέρουσι καὶ τοῖς κεκριμένοις εἶναι τοιούτοις. ὁμοιοτρόπως δὲ καὶ τῶν ἄλλων τὰ ὑπάρχοντα μέτιθι. κράτιστος μὲν οὖν ὁ τρόπος τῆς ἀποτροπῆς οὗτός ἐστιν· ἐὰν δὲ μὴ ἐνδέχηται τοῦτο ποιεῖν, ἐκ τοῦ παραλελειμμένου τρόπου ἀπότρεπε λέγων, οἷον ἐὰν ὁ ἐναντίος δίκαιον ἀποφήνῃ, σὺ ἐπιχείρει δεικνύναι ὡς ἐστιν αἰσχρὸν ἢ ἀσύμφορον ἢ ἐργῶδες ἢ ἀδύνατον ἢ ὅ τι ἂν ἔχῃς τοιοῦτον. ἐὰν δὲ ἐκεῖνος ἔχῃ τὸ συμφέρον, σὺ ἐπιδείκνυε ὡς ἄδικον κἂν τι ἄλλο ἔχῃς πρὸς τούτῳ. δεῖ δὲ καὶ τὰ μὲν σαυτοῦ αὔξειν, τὰ δὲ τοὐναντίου ταπεινοῦν, ποιοῦντα ὡς ἐν τῷ προτρεπτικῷ εἴρηται. χρὴ δὲ καὶ γνώμας φέρειν καὶ ἐνθυμήματα καθάπερ ἐκεῖσε, καὶ τὰς προκαταλήψεις λύειν καὶ ἐπὶ τῇ τελευτῇ παλιλλογεῖν. πρὸς δὲ τούτοις ἐν μὲν ταῖς προτροπαῖς ἀποφαίνειν ἢ φιλίαν ὑπάρχουσαν, οἷς βοηθεῖν προτρέπομεν [πρὸς τοὺς προτρεπομένους], ἢ χάριν τοὺς προτρεπομένους ὀφείλοντας ἔχειν τοῖς δεομένοις· οἷς δ' οὐκ ἐῶμεν βοηθεῖν, ἢ ὀργῆς ἢ φθόνου ἢ ἔχθρας ἀξίους ὑπάρχοντας. ἔχθραν μὲν οὖν ἐμποιήσομεν, ὑπ' ἐκείνων οὐ προσηκόντως τοὺς ἀποτρεπομένους ἀποφαίνοντες κακῶς πεπονθότας ἢ τῶν φίλων, ἢ αὐτοὺς ἢ ὧν κηδόμενοι τυγχάνουσιν. ὀργὴν δὲ ἐὰν ἐπιδεικνύωμεν παρὰ τὸ προσῆκον ὠλιγωρημένους ἢ ἠδικημένους ἢ τῶν φίλων ἐκείνοις, ἢ αὐτοὺς ἢ ὧν κηδόμενοι τυγχάνουσιν αὐτοί. φθόνον δὲ παρασκευάσομεν συλλήβδην πρὸς τούτους, οὓς ἀποφαίνομεν ἀναξίως εὖ πεπραχότας ἢ πράττοντας ἢ πράξοντας, ἢ ἀγαθοῦ μηδέποτε ἐστερημένους ἢ μὴ στερουμένους ἢ μὴ στερησομένους, ἢ κακοῦ μηδέποτε τετυχηκότας ἢ μὴ τυγχάνοντας ἢ μὴ τευξομένους. φθό-

ον μὲν οὖν καὶ ἔχθραν καὶ ὀργὴν τοῦτον τὸν τρόπον 34
μποιήσομεν, φιλίαν δὲ καὶ χάριν καὶ ἔλεον ἐκ τῶν ἐν
ταῖς προτροπαῖς· συνθήσομεν δὲ καὶ τάξομεν ἐξ ἁπάν-
των τῶν προειρημένων αὐτὰς τόνδε τὸν τρόπον. τὸ μὲν
οὖν προτρεπτικὸν εἶδος αὐτό τε ἴσμεν οἷόν ἐστι, καὶ ἐξ
ὧν συνέστηκε, καὶ ὡς αὐτῷ χρηστέον.

Τὸ δὲ ἐγκωμιαστικὸν καὶ τὸ κακολογικὸν πάλιν προ- 35
θέμενοι σκοπῶμεν. φροιμιαστέον οὖν καὶ περὶ τούτων
πρῶτον προθεμένους τὰς προθέσεις, καὶ τὰς διαβολὰς
ἀπολύομεν ὁμοίως, ὥσπερ ἐν τοῖς προτρεπτικοῖς. ἐπὶ
τὸ προσέχειν δὲ παρακαλοῦμεν ἔκ τε τῶν ἄλλων τῶν ἐν
ταῖς δημηγορίαις εἰρημένων, καὶ ἐκ τοῦ θαυμαστὰ καὶ
περιφανῆ φάσκειν, καὶ αὐτὸν ἴσα καὶ τοὺς ἐγκωμιαζο-
μένους καὶ τοὺς ψεγομένους ἀποφαίνειν πεπραγότας·
ὡς γὰρ ἐπιτοπολὺ τῶν τοιούτων εἰδῶν οὐκ ἀγῶνος ἀλλ'
ἐπιδείξεως ἕνεκα λέγομεν. τάξομεν δὲ πρῶτον τὰ προοί-
μια τὸν αὐτὸν τρόπον ὅνπερ ἐπὶ τῶν προτροπῶν καὶ
ἀποτροπῶν. μετὰ δὲ τὸ προοίμιον δεῖ διελόμενον τὰ
ἔξω τῆς ἀρετῆς ἀγαθὰ καὶ τὰ ἐν αὐτῇ τῇ ἀρετῇ ὄντα
ποιεῖν οὕτω· τὰ μὲν [οὖν] ἔξω τῆς ἀρετῆς εἰς εὐγένειαν
καὶ ῥώμην καὶ κάλλος καὶ πλοῦτον, τὴν δ' ἀρετὴν εἰς
σοφίαν καὶ δικαιοσύνην καὶ ἀνδρείαν καὶ ἐπιτηδεύματα
ἔνδοξα. τούτων δὲ τὰ μὲν τῆς ἀρετῆς δικαίως ἐγκωμιά-
ζεται, τὰ δ' ἔξω κλέπτεται· τοὺς γὰρ ἰσχυροὺς καὶ τοὺς
καλοὺς καὶ τοὺς εὐγενεῖς καὶ τοὺς πλουσίους οὐκ ἐπαι-
νεῖν ἀλλὰ μακαρίζειν προσήκει. ταῦτα δὴ διαλογισάμε-
νοι μετὰ τὰ προοίμια πρώτην τὴν γενεαλογίαν τάξομεν·
πρῶτον γὰρ τοῖς ἀνθρώποις καὶ τοῖς ἄλλοις ζῴοις τοῦθ'
ὑπάρχει ἔνδοξον ἢ ἄδοξον. τοιγαροῦν τὸν μὲν ἄνθρω-
πον ἤ τι ἄλλο τοιοῦτον ζῷον εὐλόγως γενεαλογήσομεν.
ὅταν δὲ πάθος ἢ πρᾶγμα ἢ λόγον ἢ κτῆμα, ἀπ' αὐτῶν
εὐθὺς τῶν προσόντων ἐνδόξων ἐπαινέσομεν. γενεαλο-

35 λαίῳ τὰ προειρημένα, τελευτὴν ἤτοι γνώμην ἢ ἐνθύμημα παντὶ τῷ λόγῳ ἐπιθήσομεν. ἁρμόσει δ' ἐν τοῖς ἐπαίνοις καὶ πολλοῖς ὀνόμασι περὶ ἕκαστον χρησάμενον μεγαλοπρεπῆ τὴν λέξιν ποιῆσαι. τὸν δ' αὐτὸν τρόπον ἐπὶ τῶν μοχθηρῶν πραγμάτων κακολογοῦντες τὰς κατηγορίας συστήσομεν. δεῖ δὲ μὴ σκώπτειν, ὃν ἂν κακολογῶμεν, ἀλλὰ διεξιέναι τὸν βίον αὐτοῦ· μᾶλλον γὰρ οἱ λόγοι τῶν σκωμμάτων καὶ τοὺς ἀκούοντας πείθουσι καὶ τοὺς κακολογουμένους λυποῦσιν. τὰ μὲν γὰρ σκώμματα στοχάζεται τῆς ἰδέας ἢ τῆς οὐσίας· οἱ δὲ λόγοι τῶν ἠθῶν καὶ τῶν τρόπων εἰσὶν οἷον εἰκόνες. φυλάττου δὲ καὶ τὰς αἰσχρὰς πράξεις μὴ αἰσχροῖς ὀνόμασι λέγειν, ἵνα μὴ διαβάλῃς τὸ ἦθος, ἀλλὰ τὰ τοιαῦτα αἰνιγματωδῶς ἑρμηνεύειν, καὶ ἑτέρων πραγμάτων ὀνόμασι χρωμένους δηλοῦν τὸ πρᾶγμα. χρὴ δὲ καὶ ἐν ταῖς κακολογίαις εἰρωνεύεσθαι καὶ καταγελᾶν τοῦ ἐναντίου, ἐφ' οἷς σεμνύνεται, καὶ ἰδίᾳ μὲν καὶ ὀλίγων παρόντων ἀτιμάζειν αὐτόν, ἐν δὲ τοῖς ὄχλοις κοινὰς μάλιστα κατηγορίας λοιδορεῖν· αὔξειν δὲ καὶ ταπεινοῦν τὸν αὐτὸν τρόπον τὰς κακολογίας, ὅνπερ καὶ τὰ ἐγκώμια. περὶ μὲν οὖν τούτων τῶν εἰδῶν ἐντεῦθεν εἰδήσομεν τὴν χρῆσιν.

36 Λοιπὸν δέ ἐστιν ἡμῖν εἶδος τό τε κατηγορικὸν καὶ τὸ ἀπολογητικὸν καὶ τὸ ἐξεταστικόν. ταῦτα πάλιν ὡς ἐν τῷ δικανικῷ γένει συνθήσομεν καὶ τάξομεν, διέλθωμεν.

Πρῶτον μὲν οὖν ἐν τοῖς προοιμίοις προθήσομεν τὸ πρᾶγμα περὶ οὗ κατηγορήσομεν ἢ ἀπολογησόμεθα, ὥσπερ ἐπὶ τῶν ἄλλων εἰδῶν. προσέχειν δὲ παρακαλέσομεν ἐκ τῶν αὐτῶν ὧν ἐν τῷ προτρεπτικῷ καὶ ἐν τῷ ἀπολογητικῷ. ἔτι δὲ καὶ περὶ τῆς εὐμενείας, τῷ μὲν εὖ διακειμένῳ [ἐκ τοῦ παροιχομένου χρόνου ἢ τοῦ παρόντος καὶ] μηδὲ διαβεβλημένῳ τῷ πρὸς αὐτὸν ἢ πρὸς τὸ πρᾶγμα ἢ πρὸς τὸν λόγον τοὺς ἀκούοντας δυσχεραίνειν τὸν

αὐτὸν τρόπον, ὡς περὶ ἐκείνων εἴρηται, τὴν εὐμένειαν 36 ποριστέον· τῷ δὲ μήτε εὖ μήτε κακῶς διακειμένῳ [τὴν εὐμένειαν παρασκευαστέον, ἢ ἐκ τοῦ παροιχομένου χρόνου ἢ ἐκ τοῦ παρόντος] ἢ δι' ἑαυτὸν ἢ τὸ πρᾶγμα ἢ τὸν λόγον [τῷ δὲ] διαβεβλημένῳ ἔνια μὲν μεμιγμένως ἔνια δ' ἰδίως [πρὸς εὐμένειαν ποριστέον]. οὗτος μὲν οὖν ὁ τρόπος ἔσται δι' οὗ τὴν εὐμένειαν παρασκευαστέον. τοὺς μὲν γὰρ μήτε εὖ μήτε κακῶς διακειμένους αὐτοὺς μὲν συντόμως ἐπαινετέον καὶ τοὺς ἐναντίους κακολογητέον. δεῖ δὲ αὐτοὺς ἐκ τούτων ἐπαινεῖν ὧν μάλιστα μέτεστι τοῖς ἀκούουσι, λέγω δὲ φιλόπολιν φιλέταιρον ἐλεήμονα [καὶ] τὰ τοιαῦτα, τὸν δ' ἐναντίον κακολογεῖν ἐκ τούτων ἐφ' οἷς οἱ ἀκούοντες ὀργιοῦνται, ταῦτα δ' ἐστὶ μισόπολιν μισόφιλον ἀχάριστον ἀνελεήμονα [καὶ] τὰ τοιαῦτα. χρὴ δὲ καὶ τοὺς δικαστὰς ἐπαίνῳ θεραπεῦσαι, ὡς δικασταὶ δίκαιοι καὶ δεινοί εἰσιν. συμπαραληπτέον δὲ καὶ τὰς ἐλαττώσεις, εἴ που τῶν ἀντιδίκων καταδεεστέρως ἔχει πρὸς τὸ λέγειν ἢ πράττειν ἢ ἄλλο τι τῶν περὶ τὸν ἀγῶνα. πρὸς δὲ τούτοις ἐμβλητέον τό τε δίκαιον καὶ τὸ νόμιμον καὶ τὸ συμφέρον καὶ τὰ τούτοις ἀκόλουθα. τῷ μὲν οὖν μήτε εὖ μήτε κακῶς διακειμένῳ ἐκ τούτων ἐν τοῖς δικασταῖς τὴν εὔνοιαν ποριστέον, τῷ δὲ διαβεβλημένῳ, ἐὰν μὲν ἐκ τοῦ παροιχομένου χρόνου αἱ διαβολαὶ ὦσι περὶ τὸν λόγον, ἴσμεν ὡς δεῖ ταῦτα λύειν ἐκ τῶν προτέρων. ἐὰν δὲ ἐκ τοῦ παρόντος χρόνου περὶ αὐτὸν τὸν ἄνθρωπον, ἀναγκαῖον διαβεβλῆσθαι, ἐὰν ἀπρεπὴς ᾖ τῷ παρόντι ἀγῶνι ἢ ὑπεναντίος τοῖς ἐγκλήμασιν ἢ ὁμολογούμενος τῇ κατηγορίᾳ. ἀπρεπὴς μὲν οὖν γένοιτ' ἄν, ἐὰν ἀγωνίζηται νεώτερος ἢ πρεσβύτερος ὑπὲρ ἄλλου, ὑπεναντίος δὲ ἐάν τις ἰσχυρὸς ὢν ἀσθενεῖ δικάζηται αἰκίας, ἢ ἐάν τις ὑβριστὴς ὢν ὕβριν ἐγκαλῇ σώφρονι, ἢ ἐάν τις πάνυ πλουσίῳ δικάζηται πάνυ πένης χρημάτων

36 ἐγκαλῶν. οἱ μὲν οὖν τοιοῦτοι ὑπεναντίοι εἰσὶ τοῖς ἐγκλήμασιν, ὁμολογούμενος δ' ἔσται, ἐάν τις ἰσχυρὸς ὢν ὑπὸ ἀσθενοῦς αἰκίας διώκηται, ἢ ἐάν τις κλέπτης δοκῶν εἶναι κλοπῆς δίκην φεύγῃ. ὅλως δὲ οἱ τὰς περὶ αὐτῶν δόξας ὁμοιοτρόπους αὐτοῖς ἔχοντες ὁμολογούμενοι τοῖς ἐγκλήμασι δόξουσιν εἶναι. περὶ μὲν οὖν αὐτὸν τὸν ἄνθρωπον ἐκ τοῦ παρόντος χρόνου τοιαῦται γενήσονται διαβολαί. αἱ δὲ περὶ τὸ πρᾶγμα συμβαίνουσαι, ἐάν τις πραγματεύηται πρὸς οἰκείους φίλους ἢ ξένους ἢ ἰδίους, ἢ περὶ μικρῶν ἢ αἰσχρῶν· ταῦτα γὰρ ἀδοξίαν τοῖς δικαζομένοις ποιεῖ. πῶς οὖν τὰς διαβολὰς τὰς προειρημένας ἀπολύσομεν, τοῦτο δηλώσω. δύο μὲν δὴ στοιχεῖα λέγω κοινὰ κατὰ πάντων, τὸ μέν, οἷς ἂν νομίζῃς τοὺς κριτὰς ἐπιπλήξειν, προκαταλάμβανε αὐτοὺς καὶ ἐπίπληττε, τὸ δὲ ἕτερον, εἰ τὰς πράξεις μάλιστα μὲν εἰς τοὺς ἀντιδίκους ἀποτρέψεις, εἰ δὲ μή, εἰς ἄλλους τινάς, προφάσει χρώμενος, ὅτι οὐχ ἑκὼν ἀλλ' ὑπὸ τῶν ἀνταγωνιστῶν ἀναγκαζόμενος εἰς τὸν ἀγῶνα κατέστης. καθ' ἑκάστην δὲ τὴν διαβολὴν τάδε χρὴ προφασίζεσθαι· τὸν μὲν νεώτερον πρεσβυτέρων φίλων ἀπορίαν τῶν ἀγωνιουμένων ὑπὲρ αὐτοῦ, ἢ μέγεθος ἀδικημάτων, ἢ προθεσμίαν χρόνου, ἢ πλῆθος, ἢ ἄλλο τι τοιοῦτον. ἐὰν δὲ ὑπὲρ ἄλλου λέγῃς, ῥητέον ὡς διὰ φιλίαν συνηγορεῖς, ἢ δι' ἔχθραν τοῦ ἀντιδίκου, ἢ διὰ τὸ τοῖς πράγμασι παραγενέσθαι, ἢ διὰ τὸ τῷ κοινῷ συμφέρον, ἢ διὰ τὸ ἔρημον εἶναι καὶ ἀδικεῖσθαι ᾧ συνηγορεῖς. ἐὰν δὲ ὁμολογούμενος τῷ ἐγκλήματι ἢ ὑπεναντίος τῇ κατηγορίᾳ γένηται, τῇ τε προκαταλήψει χρῆσθαι καὶ λέγειν ὡς οὐ δίκαιον καὶ νόμιμον, οὐδὲ συμφέρον ἐκ τῆς ὑπολήψεως ἢ τῆς ὑποψίας κατακρίνειν, πρὶν τοῦ πράγματος ἀκοῦσαι. τὰς μὲν οὖν περὶ τὸν ἄνθρωπον αὐτὸν διαβολὰς οὕτω λύσομεν. τὰς δὲ περὶ τὸ πρᾶγμα οὕτως ἀπωσόμεθα, τὴν αἰτίαν εἰς

τὸν ἐναντίον τρέποντες, ἢ λοιδορίαν ἐγκαλοῦντες αὐ- 36
τοῖς, ἢ ἀδικίαν, ἢ πλεονεξίαν, ἢ φιλονεικίαν, ἢ ὀργὴν προφασιζόμενοι, ὅτι τοῦ δικαίου δι' ἄλλου τρόπου τυχεῖν ἀδύνατον. τὰς μὲν οὖν ἰδίας διαβολὰς ἐπὶ τῶν δικαστῶν οὕτω λύσομεν, τὰς δὲ κοινὰς πᾶσι τοῖς εἴδεσιν, ὡς ἐπὶ τῶν προτέρων εἰδῶν εἴρηται. τάξομεν δὲ τὰ δικανικὰ προοίμια τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ τὰ δημηγορικά. κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ τὰς ἀπαγγελίας συνάψομεν τῷ προοιμίῳ, καὶ ἢ παρὰ τὰ μέρη πιστὰς καὶ δικαίας ἀποφανοῦμεν, ἢ αὐτὰς ἐφ' ἑαυτῶν σωματοειδεῖς ποιησόμεθα.

Τὰ δὲ μετὰ ταῦτα ἔσται βεβαίωσις, ἂν μὲν ἀντιλέγηται τὰ πράγματα ὑπὸ τῶν ἀντιδίκων, ἐκ τῶν πίστεων· ἂν δὲ ὁμολογῆται, ἐκ τῶν δικαίων καὶ τῶν συμφερόντων καὶ ἐκ τῶν τούτοις ἀκολούθων. τάττειν δὲ δεῖ τῶν μὲν πίστεων πρώτας τὰς μαρτυρίας, καὶ τὰ ἐκ τῶν βασάνων ἡμῖν ὁμολογηθέντα, ἂν ὑπάρχῃ. ἔπειτα βεβαιοῦν, ἂν μὲν πιθανὰ ᾖ, γνώμαις καὶ ἐνθυμήμασιν· ἐὰν δὲ μὴ παντελῶς πιθανὰ ᾖ, τῷ εἰκότι, ἔπειτα τοῖς παραδείγμασι καὶ τοῖς τεκμηρίοις καὶ τοῖς σημείοις καὶ τοῖς ἐλέγχοις, τελευταῖον δὲ τοῖς ἐνθυμήμασι καὶ ταῖς γνωμολογίαις. ἐὰν δὲ ὁμολογῆται τὰ πράγματα, τὰς μὲν πίστεις ἐατέον, τῇ δὲ δικαιολογίᾳ ὥσπερ ἐν τοῖς ἔμπροσθεν χρηστέον. καὶ τοῦτον μὲν τὸν τρόπον βεβαιώσομεν.

Μετὰ δὲ τὴν βεβαίωσιν τὰ πρὸς τοὺς ἀντιδίκους τάττοντες προκαταληψόμεθα αὐτῶν τὰ ἐπίδοξα λέγεσθαι. ἐὰν μὲν οὖν ἐξαρνῶνται τὸ πρᾶγμα, τὰς μὲν ὑφ' ἡμῶν πίστεις εἰρημένας αὐξητέον, τὰς δ' ὑπ' ἐκείνων μελλούσας λέγεσθαι διασυρτέον καὶ ταπεινωτέον. ἐὰν δὲ ὁμολογοῦντες ὦσιν ἔννομα καὶ δίκαια ἀποφαίνειν κατὰ τοὺς γεγραμμένους νόμους, οὓς [μὲν] ἡμεῖς παρεχόμεθα καὶ τοὺς ὁμοίους τούτοις δικαίους καὶ καλοὺς καὶ συμφέρον-

36 τας τῷ κοινῷ τῆς πόλεως καὶ κεκριμένους ὑπὸ τῶν πολλῶν τοιούτους εἶναι πειρατέον ἐπιδεικνύειν· τοὺς δὲ τῶν ἀντιδίκων τὰ ἐναντία. ἐὰν δὲ μὴ ἐνδέχηται ταῦτα λέγειν, ὑπομίμνησκε τοὺς δικαστὰς ὅτι οὐχ ὑπὲρ τοῦ νόμου, ἀλλὰ τοῦ πράγματος δικάζουσιν, ὀμόσαντες κατὰ τοὺς νόμους τοὺς κειμένους τὴν ψῆφον οἴσειν, καὶ δίδασκε ὅτι οὐ νῦν νομοθετεῖν προσήκει, ἀλλ' ἐν ταῖς περὶ τούτων κυρίαις ἡμέραις. ἂν δ' ἡμῖν συμβαίνῃ τὸ παρὰ μοχθηροὺς δοκοῦντας εἶναι νόμους τὸ πρᾶγμα πεπρᾶχθαι, ῥητέον ὡς οὐ νόμος ἀλλ' ἀνομία τὸ τοιοῦτόν ἐστιν· ὁ μὲν γὰρ νόμος ἐπὶ τῷ ὠφελεῖν τίθεται, οὗτος δὲ βλάπτει τὴν πόλιν. ῥητέον δὲ καὶ ὡς οὐ παρανομήσουσιν, ἂν τούτῳ τῷ νόμῳ ἐναντίαν ψῆφον θῶνται, ἀλλὰ νομοθετήσουσιν, ὥστε μὴ χρῆσθαι δόγμασι πονηροῖς καὶ παρανόμοις. δεῖ δὲ καὶ τοῦτο συμβιβάζειν, ὡς οὐδεὶς νόμος κωλύει τὸ κοινὸν εὖ ποιεῖν, τοὺς δὲ φαύλους νόμους ἀκύρους ποιεῖν εὐεργετεῖν τὴν πόλιν ἐστίν. περὶ μὲν οὖν τῶν σαφῶς εἰρημένων νόμων ὁποίους ἂν αὐτῶν ἔχωμεν, ἐκ τῶν τοιούτων προκαταλαμβάνοντες ἀντιλέγειν εὐπορήσομεν. περὶ δὲ τῶν ἀμφιβόλων ἐὰν οὕτως ὑπολαμβάνωσιν, ὡς σοὶ συμφέρει, δεῖ ταῦτα ὑποδεικνύειν. ἂν δ' ὡς ὁ ἐναντίος λέγει, χρὴ διδάσκειν, ὡς ὁ νομοθέτης οὐ τοῦτο διενοεῖτο ὃ σὺ λέγεις, καὶ ὅτι συμφέρει αὐτοῖς οὕτω λέγειν τὸν νόμον. ἐὰν δὲ μὴ δυνατὸς ᾖς ἐπὶ τὸ ἐναντίον μεθιστάναι, δείκνυε ὡς οὐδὲν ἄλλο λέγειν ὁ ἐναντίος δύναται νόμος ἢ ὃ σύ. καὶ περὶ μὲν νόμων, ὡς δεῖ χρῆσθαι, τοῦτον τὸν τρόπον μετιὼν εὐπορήσεις. καθόλου δὲ ἂν ὁμολογήσαντες ἐκ τῶν δικαίων καὶ τῶν νομίμων τὴν ἀπολογίαν ποιεῖσθαι μέλλωσιν, ἐκ τούτων τὰ ἐπίδοξα ῥηθήσεσθαι προκαταληπτέον. ἐὰν δὲ ὁμολογήσαντες συγγνώμης ἀξιῶσι τυχεῖν, ὧδε χρὴ περιαιρεῖσθαι τὰ τοιαῦτα τῶν ἀντιδίκων. πρῶτον μὲν λε-

ιτέον ὡς κακοηθέστερον ἦν, καὶ ὡς τὰ τοιαῦτα ἐξαμαρ- 36 :άνειν φασίν, ὅταν γνωσθῶσιν, ὥστε εἰ τούτῳ συγγνώιην ἔχετε, καὶ τοὺς ἄλλους πάντας τῶν τιμωριῶν ἀφήιετε. ἔτι δὲ λέγε ὡς εἰ τῶν ὁμολογούντων ἐξαμαρτάνειν ἰποψηφιεῖσθε, πῶς τῶν μὴ ὁμολογούντων καταψηφιεῖιθε; λεκτέον δὲ ὅτι εἰ καὶ ἐξήμαρτεν, οὐκ ἐμὲ δεῖ διὰ :ὴν τούτου ἁμαρτίαν ζημιοῦσθαι. πρὸς δὲ τούτοις ῥη:έον ὡς οὐδὲ ὁ νομοθέτης τοῖς ἁμαρτάνουσι συγγνώμην ἔχει· οὐκοῦν δίκαιον οὐδὲ τοὺς δικαστὰς κατὰ τοὺς νόιους κρίνοντας. ἐκ μὲν οὖν τῶν τοιούτων τὰς συγγνώιας περιαιρησόμεθα, καθάπερ ἐν ἀρχαῖς δεδηλώκαμεν. ἰυλλήβδην δὲ τὰ ὑπὸ τῶν ἀντιδίκων μέλλοντα λέγεσθαι ιαὶ πρὸς πίστιν καὶ δικαιολογίαν καὶ συγγνώμην ἐκ τῶν ιροειρημένων προκαταληψόμεθα.

Μετὰ δὲ ταῦτα τὴν αἰτίαν ἀναλογητέον ἐν κεφαλαίῳ :ὸν λόγον ὅλον, καὶ συντόμως ἐὰν ἐνδέχηται πρὸς μὲν :οὺς ἐναντίους ἔχθραν ἢ ὀργὴν ἢ φθόνον τοῖς δικασταῖς ἐμποιητέον, πρὸς δ' ἡμᾶς φιλίαν ἢ χάριν ἢ ἔλεον. ὅθεν δὲ ταῦτα γίνεται, ἐν τῷ δημηγορικῷ καὶ ἐπὶ τῶν προτροπῶν καὶ ἀποτροπῶν εἰρήκαμεν, καὶ ἐν τῷ ἀπολογητικῷ εἴδει πάλιν ἐπὶ τελευτῆς διέξιμεν. τὸν μὲν οὖν πρῶτον λόγον, ἐὰν κατηγορῶμεν, ἐν τοῖς δικανικοῖς οὕτω συνθήσομεν καὶ τάξομεν.

Ἐὰν δὲ ἀπολογώμεθα, τὸ μὲν προοίμιον ὁμοιοτρόπως τῷ κατηγοροῦντι συστήσομεν, τῶν δὲ κατηγορουμένων ἃ μὲν εἰδέναι τοὺς ἀκούοντας ἐποίησε, παραλείψομεν· ἃ δὲ δοξάζειν, ταῦτα προθέμενοι μετὰ τὸ προοίμιον διαλύσομεν, τούς τε μάρτυρας καὶ τὰς βασάνους καὶ τοὺς ὅρκους ἀπίστους ποιήσομεν, ὡς προακήκοας, εἰ μὲν τὰ πράγματα πιστὰ ᾖ, τὴν ὑπὲρ αὐτῶν ἀπολογίαν ἐπὶ τὸν ἐκ τοῦ παραλειπομένου τόπον μεταβιβάζοντες, εἰ δ' εἶεν οἱ μάρτυρες οἱ βασανισθέντες πιστοί, ἐπὶ τὸν

36 λόγον ἢ τὴν πρᾶξιν ἢ ὅ τι ἂν ἄλλο ἔχῃς [ἐπὶ] τῶν ἐναντίων πιστότατον. ἂν δὲ τὸ λυσιτελὲς ἢ τὸ ἔθος ἐπιφέρων σοῦ κατηγορήσῃ, ἀπολογοῦ μάλιστα μὲν ὡς ἀλυσιτελές ἐστι τὸ κατηγορούμενον, εἰ δὲ μή, ὅτι οὐκ εἴθισαι τὰ τοιαῦτα πράττειν οὔτε σὺ οὔτε οἱ σοὶ ὅμοιοι, ἢ ὅτι οὐ τοῦτον τὸν τρόπον. τὸ μὲν οὖν εἰκὸς οὕτω λύσεις. τὸ δὲ παράδειγμα πρῶτον μὲν ἂν δύνῃ, δείκνυε ὡς οὐχ ὅμοιόν ἐστι τῷ ἐγκαλουμένῳ, εἰ δὲ μή, ἕτερον φέρε αὐτὸς παράδειγμα ἐκ τῶν ἐναντίων παρὰ τὸ εἰκὸς γενόμενον. τὸ δὲ τεκμήριον λύε, φράζων παρ' ἃς αἰτίας ἐναντιωθῆναι συνέβη· τὰς δὲ γνώμας καὶ τὰ ἐνθυμήματα ἢ παράδοξα ἀπόφαινε ἢ ἀμφίβολα. τὰ δὲ σημεῖα πλειόνων ὄντα ἀπόφαινε σημεῖα καὶ μὴ μόνου τοῦ σοὶ ἐγκαλουμένου. καὶ τὰ μὲν τῶν ἐναντίων ἐπὶ τὸ ἐναντίον ἄγοντες ἢ ἐπὶ τὸ ἀμφίβολον ἀπίθανα τοῦτον τὸν τρόπον καταστήσομεν. ἂν δὲ ὁμολογῶμεν τὰ ἐγκαλούμενα πεποιηκέναι, ἐκ τῶν δικαίων καὶ νομίμων μετιόντες ἐννομώτερα καὶ δικαιότερα τὰ ἡμέτερα ἀποδεικνύναι πειρασόμεθα· ἐὰν δὲ μὴ τοῦτ' ἐνδέχηται, εἰς ἁμάρτημα ἢ ἀτύχημα καταφεύγοντας καὶ μικρὰς τὰς βλάβας ἀποφαίνοντας συγγνώμης τυγχάνειν πειρατέον, τὸ μὲν ἁμαρτάνειν κοινὸν πάντων ἀνθρώπων ἐπιδεικνύοντας, τὸ δ' ἀδικεῖν ἴδιον τῶν πονηρῶν. λέγε δὲ ὅτι καὶ ἐπιεικὲς καὶ δίκαιον καὶ συμφέρον ἐστὶ συγγνώμην ἔχειν ταῖς ἁμαρτίαις· οὐδεὶς γὰρ οἶδεν ἀνθρώπων, εἴ τι τοιοῦτον αὐτῷ συνεμπέσοι. ἀπόφαινε καὶ τὸν ἐναντίον, εἴ τι ἐξήμαρτεν, συγγνώμης τυχεῖν ἀξιώσαντα.

Μετὰ [δὲ] ταῦτα αἱ προκαταλήψεις αἱ ὑπὸ τῶν ἐναντίων εἰρημέναι. τὰς μὲν οὖν ἄλλας ἐξ αὐτῶν τῶν πραγμάτων εὐπορήσομεν λύειν· ἐὰν δὲ διαβάλλωσιν ἡμᾶς ὡς γεγραμμένους λόγους λέγομεν, ἢ λέγειν μελετῶμεν, ἢ ὡς ἐπὶ μισθῷ τινι συνηγοροῦμεν, χρὴ πρὸς τὰ τοιαῦτα

ιμόσε βαδίζοντας εἰρωνεύεσθαι, καὶ περὶ μὲν τῆς γρα- 36 φῆς λέγειν, μὴ κωλύειν τὸν νόμον ἢ αὐτὸν γεγραμμένα .έγειν ἢ ἐκεῖνον ἄγραφα· τὸν γὰρ νόμον οὐκ ἐᾶν τοιαῦτα :ράττειν, λέγειν δὲ ὅπως ἂν τις βούληται συγχωρεῖν. ητέον δὲ καὶ ὅτι οὕτως ὁ ἐναντίος οἴεται μεγάλα ἠδικη- :έναι, ὥστ' οὐ νομίζει με κατ' ἀξίαν κατηγορῆσαι, εἰ μὴ ράφοιμι καὶ πολὺν χρόνον σκεψαίμην. περὶ μὲν οὖν ὰς τῶν γεγραμμένων λόγων διαβολὰς οὕτως ἀπαντητέον. ὶν δὲ φάσκωσιν, ἡμᾶς λέγειν μανθάνειν καὶ μελετᾶν, ιμολογήσαντες ἐροῦμεν· ἡμεῖς μὲν οἱ μανθάνοντες ὡς οῆς οὐ φιλόδικοί ἐσμεν, σὺ δὲ ὁ λέγειν μὴ ἐπιστάμενος ιαὶ νῦν ἡμᾶς καὶ πρότερον ἑάλως συκοφαντῶν· ὥστε λυσιτελὲς φανεῖται τοῖς πολίταις κἀκεῖνον μανθάνειν ὴτορεύειν· οὐ γὰρ οὕτω πονηρὸν οὐδὲ συκοφάντην ιὐτὸν εἶναι. τὸν αὐτὸν δὲ τρόπον κἂν ἡμᾶς ἐπὶ μισθῷ ιυνηγορεῖν λέγῃ τις, ὁμολογήσαντες εἰρωνευσόμεθα, ιαὶ τὸν αἰτιώμενον ἡμᾶς ἐπιδείξομεν τοῦτο ποιοῦντα ιαὶ τοὺς ἄλλους ἅπαντας. τῶν δὲ μισθῶν διαιροῦ τὰ ιἴδη καὶ λέγε, ὡς οἱ μὲν ἐπὶ χρήμασιν οἱ δ' ἐπὶ χάρισιν ιἱ δ' ἐπὶ τιμωρίαις οἱ δ' ἐπὶ τιμαῖς συνηγοροῦσιν· αὐ- ιὸν μὲν οὖν ἀπόφαινε διὰ χάριν συνηγοροῦντα, τὸν δ' ἐναντίον λέγε οὐδὲ ἐπὶ μικρῷ μισθῷ συνηγορεῖν· ὅπως γὰρ λάβῃ ἀργύριον ἀδίκως, οὐχ ὅπως μὴ ἐκτίσῃ, δικά- ζεται. τῷ αὐτῷ δὲ τρόπῳ καὶ ἐάν τις ἡμᾶς δικάζεσθαί τινας λέγῃ διδάσκειν ἢ λόγους δικανικοὺς συγγράφειν· ἀπόφαινε γὰρ καὶ τοὺς ἄλλους ἅπαντας, καθ' ὅσον δύνανται, τοὺς φίλους ὠφελεῖν καὶ διδάσκοντας καὶ συμβουλεύοντας· καὶ οὕτως ἐντέχνως περὶ τῶν τοιού- των ἀπαντήσεις.

Χρὴ δὲ καὶ περὶ τὰς ἐρωτήσεις καὶ τὰς ἀποκρίσεις, ἱπόσαι πίπτουσιν εἰς τὰ τοιαῦτα εἴδη, μὴ ῥαθύμως ἔχειν, ἀλλὰ διακρίνειν τὰς ὁμολογίας καὶ τὰς ἀρνήσεις ἐν ταῖς

36 ἀποκρίσεσιν. ὁμολογίαι μὲν οὖν εἰσιν αἱ τοιαίδε· ἀπέκτεινάς μου τὸν υἱόν· ἀπέκτεινα πρότερον ἐπ' ἐμὲ σίδηρον αἰρόμενον. συνέκοψάς μου τὸν υἱόν· ἔγωγε ἀδίκων χειρῶν ἄρχοντα. κατέαξάς μου τὴν κεφαλήν· ἐγὼ βιαζομένου σου νύκτωρ εἰς τὴν ἐμὴν οἰκίαν εἰσιέναι. αἱ μὲν οὖν τοιαῦται ὁμολογίαι τῷ νομίμῳ πιστεύουσαι ὁμολογοῦνται. αἱ δὲ τοιαίδ' ἀρνήσεις παρεγκλίνουσι τὸν νόμον· ἀπέκτεινάς μου τὸν υἱόν· οὐκ ἔγωγε ἀλλ' ὁ νόμος. τὰ δὲ τοιαῦτα πάντα οὕτω δεῖ ὑποκρίνεσθαι, ὅταν τῶν νόμων ὁ μὲν κελεύῃ τοῦτο ποιεῖν ὁ δὲ κωλύῃ. τὰ μὲν οὖν πρὸς τοὺς ἀντιδίκους ἐκ τούτων ἁπάντων συνάξεις.

Μετὰ δὲ ταῦτα παλιλλογία τῶν εἰρημένων ἤδη σύντομος ἀνάμνησις. χρήσιμος δέ ἐστι παρὰ πάντας τοὺς καιρούς, ὥστε καὶ παρὰ μέρος καὶ παρὰ εἶδος τῇ παλιλλογίᾳ χρηστέον, μάλιστα δ' ἁρμόττει πρὸς τὰς κατηγορίας καὶ τὰς ἀπολογίας· ἔτι δὲ παρὰ τὰς προτροπὰς καὶ ἀποτροπάς· οὐ γὰρ μόνον ἀναμνῆσαι δεῖν φαμὲν περὶ τῶν εἰρημένων ἐνταῦθα, καθάπερ καὶ ἐπὶ τῶν ἐγκωμίων καὶ τῶν κακολογιῶν, ἀλλὰ καὶ πρὸς ἡμᾶς τοὺς κριτὰς εὖ διαθεῖναι καὶ πρὸς τοὺς ἐναντίους κακῶς· διὸ καὶ τελευταῖον τοῦτο τῶν ἐν τῷ λόγῳ μερῶν τάττομεν. ἔστι δὲ μνημονικὸν ποιεῖν ἐν κεφαλαίῳ ἀπολογιζόμενον περὶ τῶν εἰρημένων ἢ διαλογιζόμενον ἢ προσερωτῶντα τῶν μὲν σαυτοῦ τὰ βέλτιστα, τῶν δ' ἐναντίων τὰ φαυλότατα· εἰ δὲ βούλει, εἰρωνείας σχῆμα ποιησάμενον. οἷον δὲ τούτων ἕκαστόν ἐστιν, ἐκ τῶν προτέρων ἴσμεν. εὖ δὲ διαθήσομεν ἡμᾶς καὶ τοὺς ἐναντίους κακῶς, ὥσπερ ἐπὶ τῶν προτροπῶν καὶ ἀποτροπῶν, ἀποφαίνοντες κεφαλαιωδῶς, ἐφ' οἷς εὖ πεποιήκαμεν τοὺς ἀδικοῦντας ἢ ποιοῦμεν ἢ ποιήσομεν, ἢ αὐτοὶ ἢ ἡμέτεροι φίλοι, ἢ αὐτοὺς ἢ ὧν κηδόμενοι τυγχάνουσιν, ἢ πάλιν τοὺς κρίνοντας αὐτοὺς ἢ ὧν κηδόμενοι τυγχάνουσι, καὶ διεξιόν-

τες αὐτοῖς, ὡς νῦν καιρὸς χάριτας ἡμῖν τῶν ὑπηργμένων 36 ἀποδοῦναι, καὶ πρὸς τούτοις ἐλεεινοὺς ἡμᾶς αὐτοὺς καθιστάντες, ἐὰν ἐνδέχηται. τοῦτο δὲ ποιήσομεν, ἐπιδεικνύντες ὡς πρὸς τοὺς ἀκούοντας οἰκείως ἔχομεν καὶ ἀναξίως δυστυχοῦμεν, κακῶς πρότερον πεπονθότες ἢ νῦν πάσχοντες ἢ πεισόμενοι, ἐὰν μὴ βοηθῶσιν ἡμῖν οὗτοι. ἐὰν δὲ μὴ τοιαῦτα ὑπάρχῃ, διεξιόντες τίνων ἀγαθῶν ἐστερήμεθα ἢ στερισκόμεθα ἢ στερησόμεθα ὀλιγωρηθέντες ὑπὸ τῶν κρινόντων, ἢ ὡς ἀγαθοῦ μηδέποτε ἐτύχομεν ἢ μὴ ἐπιτυγχάνομεν ἢ μὴ ἐπιτευξόμεθα, μὴ τούτων ἡμῖν συμβοηθησάντων. ἐκ γὰρ τούτων ἐλεεινοὺς καταστήσομεν ἡμᾶς αὐτούς, καὶ πρὸς τοὺς ἀκούοντας εὖ διαθήσομεν. διαβαλοῦμεν δὲ τοὺς ἀντιδίκους καὶ φθονεῖσθαι ποιήσομεν ἐκ τῶν ἐναντίων τούτοις, ἀποφαίνοντες ὑπὸ τούτων ἢ τῶν τούτοις φίλων τοὺς ἀκούοντας ἢ ὧν αὐτοὶ κήδονται, κακῶς πεπονθότας ἢ πάσχοντας ἢ πεισομένους παρὰ τὸ προσῆκον. ἐκ γὰρ τῶν τοιούτων καὶ μῖσος καὶ ὀργὴν πρὸς αὐτοὺς ἕξουσιν. ἂν δὲ μὴ ταῦτα ἐνδέχηται, συνάξομεν ἐξ ὧν φθόνον τοῖς ἀκούουσι κατὰ τῶν ἐναντίων ἐργασόμεθα· τὸ γὰρ φθονεῖν πλησίον τοῦ μισεῖν ἐστιν. φθονήσονται δὲ συλλήβδην, ἐὰν ἀναξίως αὐτοὺς εὖ πράττοντας ἀποφαίνωμεν καὶ πρὸς τοὺς ἀκούοντας ἀλλοτρίως ἔχοντας, διεξιόντες ὡς ἀγαθὰ πολλὰ πεπόνθασιν ἀδίκως ἢ πάσχουσιν ἢ μέλλουσι πείσεσθαι, ἢ ἀγαθοῦ οὐδέπω πρότερον ἐστερήθησαν ἢ νῦν οὐ στερίσκονται ἢ οὐ στερήσονται, ἢ κακοῦ οὐδέπω τετυχηκότες ἢ νῦν οὐ τυγχάνοντες ἢ οὐ τευξόμενοι, ἐὰν μὴ νῦν αὐτοὺς οἱ κριταὶ κολάσωσιν. ἐκ τούτων μὲν οὖν ἐν τοῖς ἐπιλόγοις εὐμενῶς μὲν αὐτούς, κακῶς δὲ τοὺς ἐναντίους διαθήσομεν· ἐκ δὲ τῶν προειρημένων ἁπάντων ἐντέχνως καὶ τὰς κατηγορίας καὶ τὰς ἀπολογίας τάξομεν.

37 Τὸ δ' ἐξεταστικὸν εἶδος αὐτὸ μὲν καθ' ἑαυτὸ οὐ πολλάκις συνίσταται, τοῖς δὲ ἄλλοις εἴδεσι μίγνυται, καὶ μάλιστα πρὸς τὰς ἀντιλογίας χρήσιμόν ἐστιν. οὐ μὴν ἀλλ' ὅπως μηδὲ τούτου τὴν τάξιν ἀγνοῶμεν, ἄν ποθ' ἡμῖν λόγον ἢ βίον ἢ πρᾶξιν ἀνθρώπων ἢ διοίκησιν πόλεως ἐξετάζειν συμβῇ, διέξειμι καὶ περὶ τούτου κεφαλαιωδῶς. φροιμιαστέον μὲν οὖν σχεδὸν ὁμοιοτρόπως τοῖς διαβεβλημένοις καὶ τοῖς ἐξετάζουσι ταῦτα, ὥστε προφάσεις ἐν ἀρχαῖς εὐλόγους ἐνεγκόντες, δι' ἃς δόξομεν εἰκότως τοῦτο ποιεῖν, οὕτως ἐπὶ τὴν ἐξέτασιν ἥξομεν. αἱ τοιαίδε δὲ ἁρμόζουσιν ἐν μὲν τοῖς πολιτικοῖς συλλόγοις, ὡς οὐ φιλονεικίᾳ τὸ τοιοῦτον ποιοῦμεν ἀλλ' ὅπως μὴ λάθῃ τοὺς ἀκούοντας, εἶτα ὅτι ἡμᾶς οὗτοι πρότεροι ἠνώχλησαν· ἐν δὲ τοῖς ἰδίοις ἢ ἔχθραν ἢ τὰ ἔθη τῶν ἐξεταζομένων φαῦλα ὄντα ἢ φιλίαν πρὸς τοὺς ἐξεταζομένους, ἢ ὅπως ἀνέντες ἃ πράττουσι, μηκέτι ταῦτα ποιήσωσιν· ἐν δὲ τοῖς δημοσίοις τὸ νόμιμον τὸ δίκαιον τὸ τῷ κοινῷ συμφέρον. φροιμιασάμενοι δ' ἐκ τούτων καὶ τῶν τούτοις ὁμοιοτρόπων ἐφεξῆς ἕκαστον προτιθέμενοι τῶν ῥηθέντων ἢ πραχθέντων ἢ διανοηθέντων ἐξετάσομεν, ἐνδεικνύντες αὐτὰ καὶ τοῖς δικαίοις καὶ τοῖς νομίμοις καὶ τοῖς ἰδίᾳ καὶ κοινῇ συμφέρουσιν ἐναντιούμενα, καὶ πάντα σκοποῦντες, εἴ που αὐτὰ αὐτοῖς ἐστιν ἐναντία ἢ τοῖς ἤθεσι τῶν χρηστῶν ἀνθρώπων ἢ τοῖς εἰκόσιν. ἵνα δὲ μὴ μηκύνω καθ' ἓν ἕκαστον λέγων, ὅσῳ ἂν πλείοσι τῶν ἐνδόξων ἐπιτηδευμάτων ἢ πραγμάτων ἢ λόγων ἢ ἐθῶν ἐναντιούμενα τὰ τῶν ἐξεταζομένων ἀποφαίνωμεν τοῖς ἀκούουσι, τοσούτῳ μᾶλλον οἱ ἐξεταζόμενοι ἀδοξήσουσιν. δεῖ δὲ πικρῷ τῷ ἤθει μὴ ἐξετάζειν ἀλλὰ πρᾳεῖ· τοῦτον γὰρ τὸν τρόπον οἱ λόγοι γιγνόμενοι πιθανώτεροι φανήσονται τοῖς ἀκούουσιν, οἱ δὲ λέγοντες αὐτοὺς ἥκιστα διαβαλοῦσιν. ὅταν δὲ πάντα ἀκριβῶς ἐξητακὼς αὐξήσῃς αὐτά,

ιλλογίαν ἐπὶ τῇ τελευτῇ σύντομον ποίησον, καὶ τοὺς 37 οατὰς περὶ τῶν εἰρημένων ἀνάμνησον. τὰ μὲν οὖν η πάντα τοῦτον τὸν τρόπον τάττοντες ἐντέχνως αὐ; χρησόμεθα.

Δεῖ δὲ καὶ λέγοντας καὶ γράφοντας ὅτι μάλιστα πει- 38 θαι κατὰ τὰ πεπραγμένα τοὺς λόγους ἀποδιδόναι, συνεθίζειν αὐτοὺς τούτοις ἅπασιν ἐξ ἑτοίμου χρῆκι. καὶ περὶ μὲν [οὖν] τοῦ λέγειν ἐντέχνως, καὶ ἐν τοῖς ιις καὶ ἐν τοῖς κοινοῖς ἀγῶσι κἂν ταῖς πρὸς τοὺς ἄλς ὁμιλίαις, ἐντεῦθεν πλείστας καὶ τεχνικωτάτας ἀφορ; ἕξομεν· χρὴ δὲ καὶ τὴν ἐπιμέλειαν ποιεῖσθαι μὴ ιον περὶ τοὺς λόγους, ἀλλὰ καὶ περὶ τὸν βίον τὸν αὐ, διακοσμοῦντα ταῖς ἰδέαις ταῖς εἰρημέναις· συμβάλαι γὰρ ἡ περὶ τὸν βίον παρασκευὴ καὶ πρὸς τὸ πείθειν πρὸς τὸ δόξης ἐπιεικοῦς τυγχάνειν.

Πρῶτον μὲν οὖν διελέσθαι χρὴ τὰ πράγματα κατὰ ὅλην τοῦ παιδεύματος διαίρεσιν, ὅτι πρῶτον ἢ δεύον ἢ τρίτον ἢ τέταρτον μεταχειριστέον, εἶτα σαυτοῦ εἶσθαι παρασκευήν, ὥσπερ ἐν τοῖς προοιμίοις διήλθο, τὰ περὶ τῶν ἀκροατῶν. εὐμενῆ μὲν οὖν τὰ περὶ ιυτὸν ποιήσεις, ἐὰν οἷς ὁμολογεῖς ἐμμένῃς καὶ διαφυτῃς φίλους τοὺς αὐτοὺς διὰ παντὸς τοῦ βίου, καὶ ὶ τῶν ἄλλων ἐπιτηδευμάτων φαίνῃ μὴ μεθιστάμενος, λ' ἀεὶ τοῖς αὐτοῖς χρώμενος. προσέξουσι δέ σοι, ἐὰν γάλας καὶ καλὰς μεταχειρίζῃ [τὰς] πράξεις καὶ τοῖς λλοῖς συμφερούσας.

Εὐμενεῖς δὲ γενόμενοι, ὅταν ἐπὶ τῶν πράξεων γένῃ, ιι τῶν κακῶν ἀποτροπὴν ἔχουσι τῶν δ' ἀγαθῶν παυσίαν, ταύτας μὲν ὡς συμφερούσας αὐτοῖς ἀποδέξον, ὅσαι δὲ τἀναντία παρασκευάζουσιν αὐτοῖς, ταύτας οδοκιμάσουσιν. ἀντὶ δὲ τοῦ ταχεῖαν καὶ σαφῆ καὶ μὴ ιστον τὴν διήγησιν λέγεσθαι τὰς πράξεις δεῖ τοιαύτας

38 ποιεῖσθαι. ταχέως μὲν οὖν ἐπιτελέσεις, ἂν μὴ πάντα πράττειν ἅμα βούλῃ, ἀλλὰ πρότερον τὸ πρῶτον, ἔπειτα τὸ ἑξῆς. καθαρῶς δέ, ἂν μὴ ταχὺ τῆς πράξεως παυόμενος ἄλλα πράγματα μεταχειρίζῃ, πρὶν ταύτην ἐπιτελέσαι. μὴ ἀπίστως δέ, ἂν μὴ παρὰ τὸ ἦθος τὸ σαυτοῦ πράττῃς· πρὸς δὲ τούτοις, ἂν μὴ προσποιῇ τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους εἶναί σοι.

Ἐκ δὲ τῶν πίστεων ληψόμεθα, περὶ ὧν μὲν ἐπιστήμην ἔχομεν, κατὰ τὴν ταύτης ἐξήγησιν τὰς πράξεις ἐπιτελεῖν· περὶ ὧν δὲ τυγχάνομεν ἀγνοοῦντες, κατὰ τὸ ὡς ἐπὶ τὸ πολὺ συμβαῖνον· ἀσφαλέστατον γὰρ πράττειν περὶ τῶν οὕτως ἐχόντων πρὸς τὸ εἰωθὸς ἀποβλέποντας.

Εἰς δὲ τὸν πρὸς τοὺς ἀντιδίκους ἀγῶνα ἐν μὲν τοῖς λόγοις ἐκ τῶν λελεγμένων ποιήσομεν βεβαιότητα περὶ ἡμῶν· ἐν δὲ τοῖς συμβολαίοις τοῦτο ποιήσομεν, ἐὰν κατὰ τοὺς νόμους αὐτὰ μεταχειριζώμεθα τοὺς ἀγράφους καὶ τοὺς γεγραμμένους μετὰ μαρτύρων ὡς βελτίστων ὁριζομένοις χρόνοις.

Ἐκ δὲ τοῦ ἐπιλόγου περὶ μὲν τῶν λελεγμένων μνημονικοὺς ποιήσομεν ἐκ τοῦ πάλιν λέγειν κεφαλαιωδῶς, περὶ δὲ τῶν πεπραγμένων ἐξ ὧν πράττομεν, ἀναμνήσομεν οὕτως, ἐπειδὰν τὰς αὐτὰς πράξεις ἢ τὰς ὁμοίας μεταχειριζώμεθα ταῖς προτέραις. φιλικῶς δὲ διακείσονται πρὸς ἡμᾶς, ἐὰν πράττωμεν ἐξ ὧν εὖ πεπονθέναι δόξουσιν ἢ πάσχειν ἢ πείσεσθαι. μεγάλα δὲ πράξομεν, ἐὰν πολλῶν αἰτίας καλῶν πράξεις μεταχειριζώμεθα. καὶ τοῦτον μὲν τὸν τρόπον χρὴ τὰ κατὰ τὸν βίον παρασκευάζειν, ἐκ δὲ τῆς προτέρας συντάξεως περὶ τοὺς λόγους γυμνάζεσθαι.

[Τὰς δὲ θυσίας δεῖ ποιεῖν ὡς προείρηται, πρὸς μὲν θεοὺς ὁσίως, πρὸς δὲ τὰς δαπάνας μετρίως, πρὸς δὲ τὰς

θεωρίας λαμπρῶς, πρὸς δὲ τοὺς πολίτας ὠφελίμως. καὶ πρὸς μὲν τοὺς θεοὺς ὁσίως ἕξουσιν, ἐὰν κατὰ τὰ πάτρια θύωμεν· πρὸς δὲ τὰς δαπάνας μετρίως, ἐὰν μὴ τὰ πεμπόμενα πάντα τοῖς δαπανωμένοις συναναλίσκηται· πρὸς δὲ τὰς θεωρίας λαμπρῶς, ἐὰν μεγαλοπρεπῶς ὦσι κατεσκευασμένα· πρὸς δὲ τοὺς πολίτας ὠφελίμως, ἐὰν ἱππεῖς καὶ ὁπλῖται διεσκευασμένοι συμπομπεύωσιν. τὰ μὲν δὴ πρὸς τοὺς θεοὺς οὕτω γινόμενα ὁσίως ἂν ἔχοι. φιλίαν δὲ συστησόμεθα πρὸς τοὺς ὁμοιοτρόπους ἡμῖν καὶ οἷς ταὐτὰ συμφέρει, καὶ οἷς περὶ τὰ μέγιστα ἀναγκαῖόν ἐστιν ἡμῖν κοινωνεῖν· ἡ γὰρ τοιαύτη μάλιστα συμμένει φιλία. συμμάχους δὲ δεῖ ποιεῖσθαι τοὺς δικαιοτάτους καὶ τοὺς δύναμιν πολλὴν ἔχοντας καὶ τοὺς πλησίον κατοικοῦντας, ἐχθροὺς δὲ τοὺς ἐναντίους τούτοις. πόλεμον δὲ δεῖ αἱρεῖσθαι πρὸς τοὺς ἀδικεῖν ἐπιχειροῦντας τὴν πόλιν ἢ τοὺς φίλους ἢ τοὺς συμμάχους αὐτῆς. τὰς δὲ φυλακὰς ἀναγκαῖον ἔχειν ἢ δι' ἑαυτῶν ἢ διὰ τῶν συμμάχων ἢ διὰ ξένων, καὶ κράτιστον μὲν δι' ἑαυτῶν, δεύτερον δὲ διὰ συμμάχων, τρίτον δὲ διὰ ξένων. περὶ δὲ πόρου χρημάτων κράτιστον μὲν ἀπὸ τῶν ἰδίων προσόδων ἢ κτημάτων, δεύτερον δὲ ἀπὸ τῶν τιμημάτων, τρίτον δὲ τῶν πενήτων τὰ σώματα παρεχόντων λειτουργεῖν, τῶν δὲ τεχνιτῶν ὅπλα, τῶν δὲ πλουσίων χρήματα. περὶ πολιτείας δὲ δημοκρατία μὲν ἀρίστη, ἐν ᾗ οἱ νόμοι τοῖς ἀρίστοις τὰς τιμὰς ἀπονέμουσι, τὸ δὲ πλῆθος μήτε χειροτονίας μήτε ψηφοφορίας ἐστέρηται, κακίστη δὲ ἐν ᾗ τῷ πλήθει παραδιδόασιν οἱ νόμοι τοὺς πλουτοῦντας ὑβρίζειν. ὀλιγαρχιῶν δέ εἰσι δύο τρόποι· ἢ γὰρ ἐξ ἑταιρείας ἢ ἀπὸ τῶν τιμημάτων. ποιεῖσθαι δὲ συμμάχους ἀναγκαῖόν ἐστιν, ὅταν οἱ πολῖται μὴ τυγχάνωσι δι' ἑαυτῶν δυνατοὶ τὴν χώραν καὶ τὰ φρουρία φυλάττειν ἢ τοὺς πολεμίους ἀμύνεσθαι· παρίεσθαι δὲ δεῖ συμμαχίαν, ὅταν μὴ ἀνάγκη

τις ᾖ ποιεῖσθαι αὐτήν, ἢ μακρὰν τοῖς τόποις ἀπέχωσι καὶ ἀδύνατοι ὦσι κατὰ τοὺς προσήκοντας παραγίνεσθαι καιρούς. πολίτης δὲ ἀγαθός ἐστιν ὅστις φίλους μὲν χρησιμωτάτους τῇ πόλει παρασκευάζει, ἐχθροὺς δὲ ἐλαχίστους καὶ ἀσθενεστάτους, καὶ ὅστις πλείστας προσόδους παρασκευάζει τῶν ἰδιωτῶν μηδένα δημεύων, καὶ ὅστις ἑαυτὸν δίκαιον παρέχων τοὺς ἀδικοῦντάς τι τῶν κοινῶν ἐξετάζει. δωροῦνται δὲ πάντες ἐλπίζοντες ὠφεληθήσεσθαι ἢ τῶν προτέρων εὐεργεσιῶν χάριν ἀποδιδόντες· ὑπηρετοῦσι δὲ πάντες κέρδους ἕνεκεν ἢ τιμῆς ἢ ἡδονῆς ἢ φόβου. συναλλάττουσι δὲ πάντες ἢ κατὰ προαίρεσιν ἢ ἀκουσίως· αἱ γὰρ πράξεις ἐπιτελοῦνται πᾶσαι ἢ διὰ βίας ἢ διὰ πειθοῦς ἢ δι' ἀπάτης ἢ διὰ προφάσεως. ἐν δὲ πολέμῳ περιγίνονται πολεμοῦντες ἢ διὰ τύχην ἢ διὰ σωμάτων πλῆθος ἢ ῥώμην ἢ διὰ χρημάτων εὐπορίαν ἢ διὰ τόπων εὐφυΐαν ἢ δι' ἀρετὴν συμμάχων ἢ διὰ στρατηγοῦ γνώμην. ἐγκαταλιπεῖν δὲ τοὺς συμμάχους ὑπολαμβάνουσι δεῖν ἢ διὰ τὸ μᾶλλον συμφέρειν τοῦτο, ἢ διὰ τὸ καταλύσασθαι τὸν πόλεμον. δίκαια δὲ πράττειν ἐστὶ τὸ τοῖς κοινοῖς τῆς πόλεως ἤθεσιν ἕπεσθαι, τοῖς νόμοις πείθεσθαι, καὶ ταῖς ἰδίαις ὁμολογίαις ἐμμένειν. συμφέρει δὲ σώματι μὲν εὐεξία καὶ κάλλος καὶ ῥώμη καὶ ὑγεία, ψυχῇ δὲ σοφία φρόνησις ἀνδρία σωφροσύνη δικαιοσύνη, συναμφοτέροις δὲ τούτοις χρήματα καὶ φίλοι· ασύμφορα δὲ τἀναντία τούτων. πόλει δὲ συμφέρον πλῆθος πολιτῶν ἀγαθῶν.]

IV.

ΙΟΝΥΣΙΟΥ Η ΛΟΓΓΙΝΟΥ

ΠΕΡΙ ΥΨΟΥΣ.

ΠΕΡΙ ΥΨΟΥΣ.

Τὸ μὲν τοῦ Καικιλίου συγγραμμάτιον, ὃ περὶ ὕψους υνετάξατο, ἀνασκοπουμένοις ἡμῖν ὡς οἶσθα κοινῇ, Ποστούμιε Τερεντιανὲ φίλτατε, ταπεινότερον ἐφάνη τῆς λης ὑποθέσεως, καὶ ἥκιστα τῶν καιρίων ἐφαπτόμενον, ὐ πολλήν τε ὠφέλειαν, ἧς μάλιστα δεῖ στοχάζεσθαι τὸν ράφοντα, περιποιοῦν τοῖς ἐντυγχάνουσιν, εἴγ' ἐπὶ πά- ης τεχνολογίας δυεῖν ἀπαιτουμένων, προτέρου μὲν τοῦ εῖξαι, τί τὸ ὑποκείμενον, δευτέρου δὲ τῇ τάξει, τῇ δυ- άμει δὲ κυριωτέρου, πῶς ἂν ἡμῖν αὐτὸ τοῦτο καὶ δι' ὧν ινων μεθόδων κτητὸν γένοιτο, ὅμως ὁ Καικίλιος, ποῖον έν τι ὑπάρχει τὸ ὑψηλόν, διὰ μυρίων ὅσων ὡς ἀγνοοῦσι ειρᾶται δεικνύναι, τὸ δὲ δι' ὅτου τρόπου τὰς ἑαυτῶν ύσεις προάγειν ἰσχύοιμεν ἂν εἰς ποσὴν μεγέθους ἐπίδο- ιν, οὐκ οἶδ' ὅπως ὡς οὐκ ἀναγκαῖον παρέλιπεν· 2. πλὴν ως τουτονὶ μὲν τὸν ἄνδρα οὐχ οὕτως αἰτιᾶσθαι τῶν κλελειμμένων, ὡς αὐτῆς τῆς ἐπινοίας καὶ σπουδῆς ἄξιον αινεῖν. ἐπεὶ δ' ἐνεκελεύσω καὶ ἡμᾶς τι περὶ ὕψους άντως εἰς σὴν ὑπομνηματίσασθαι χάριν, φέρε, εἴ τι δὴ οκοῦμεν ἀνδράσι πολιτικοῖς τεθεωρηκέναι χρήσιμον, πισκεψώμεθα. αὐτὸς δ' ἡμῖν, ἑταῖρε, τὰ ἐπὶ μέρους, ὡς πέφυκας καὶ καθήκει, συνεπικρινεῖς ἀληθέστατα· εὖ γὰρ δὴ ὁ ἀποφηνάμενος τί θεοῖς ὅμοιον ἔχομεν, „εὐεργε- σίαν" εἴπας „καὶ ἀλήθειαν." 3. γράφων δὲ πρὸς σέ, φίλ- τατε, τὸν παιδείας ἐπιστήμονα, σχεδὸν ἀπήλλαγμαι καὶ τοῦ διὰ πλειόνων προϋποτίθεσθαι, ὡς ἀκρότης καὶ ἐξοχή

τις λόγων ἐστὶ τὰ ὕψη, καὶ ποιητῶν τε οἱ μέγιστοι καὶ συγγραφέων οὐκ ἄλλοθεν, ἢ ἐνθένδε ποθὲν ἐπρώτευσαν, καὶ ταῖς ἑαυτῶν περιέβαλον εὐκλείαις τὸν αἰῶνα· 4. οὐ γὰρ εἰς πειθὼ τοὺς ἀκροωμένους, ἀλλ' εἰς ἔκστασιν ἄγει τὰ ὑπερφυᾶ· πάντη δέ γε σὺν ἐκπλήξει τοῦ πιθανοῦ καὶ τοῦ πρὸς χάριν ἀεὶ κρατεῖ τὸ θαυμάσιον, εἴγε τὸ μὲν πιθανὸν ὡς τὰ πολλὰ ἐφ' ἡμῖν, ταῦτα δὲ δυναστείαν καὶ βίαν ἄμαχον προσφέροντα παντὸς ἐπάνω τοῦ ἀκροωμένου καθίσταται. καὶ τὴν μὲν ἐμπειρίαν τῆς εὑρέσεως, καὶ τὴν τῶν πραγμάτων τάξιν καὶ οἰκονομίαν, οὐκ ἐξ ἑνὸς οὐδ' ἐκ δυεῖν, ἐκ δὲ τοῦ ὅλου τῶν λόγων ὕφους μόλις ἐκφαινομένην ὁρῶμεν, ὕψος δέ που καιρίως ἐξενεχθὲν τά τε πράγματα δίκην σκηπτοῦ πάντα διεφόρησεν, καὶ τὴν τοῦ ῥήτορος εὐθὺς ἀθρόαν ἐνεδείξατο δύναμιν. ταῦτα γὰρ οἶμαι καὶ τὰ παραπλήσια, Τερεντιανὲ ἥδιστε, κἂν αὐτὸς ἐκ πείρας ὑφηγήσαιο.

2 Ἡμῖν δ' ἐκεῖνο διαπορητέον ἐν ἀρχῇ, εἰ ἔστιν ὕψους τις ἢ βάθους τέχνη, ἐπεί τινες ὅλως οἴονται διηπατῆσθαι τοὺς τὰ τοιαῦτα ἄγοντας εἰς τεχνικὰ παραγγέλματα. γεννᾶται γάρ φησι τὰ μεγαλοφυῆ, καὶ οὐ διδακτὰ παραγίνεται, καὶ μία τέχνη πρὸς αὐτὰ τὸ πεφυκέναι· χείρω τε τὰ φυσικὰ ἔργα, ὡς οἴονται, καὶ τῷ παντὶ δειλότερα καθίσταται, ταῖς τεχνολογίαις κατασκελετευόμενα. 2. ἐγὼ δὲ ἐλεγχθήσεσθαι τοῦθ' ἑτέρως ἔχον φημί, εἰ ἐπισκέψαιτό τις, ὅτι ἡ φύσις, ὥσπερ τὰ πολλὰ ἐν τοῖς παθητικοῖς καὶ διηρμένοις αὐτόνομον, οὕτως οὐκ εἰκαῖόν τι κἀκ παντὸς ἀμέθοδον εἶναι φιλεῖ· καὶ ὅτι αὕτη μὲν πρῶτόν τε καὶ ἀρχέτυπον γενέσεως στοιχεῖον ἐπὶ πάντων ὑφέστηκεν, τὰς δὲ ποσότητας καὶ τὸν ἐφ' ἑκάστου καιρόν, ἔτι δὲ τὴν ἀπλανεστάτην ἄσκησίν τε καὶ χρῆσιν ἱκανὴ παρορίσαι καὶ συνενεγκεῖν ἡ μέθοδος, καὶ ὡς ἐπικινδυνότερα αὐτὰ ἐφ' ἑαυτῶν, δίχα ἐπιστήμης ἀστήρικτα καὶ ἀνερμάτιστα ἐα-

ντα τὰ μεγάλα, ἐπὶ μόνῃ τῇ φορᾷ καὶ ἀμαθεῖ τόλμῃ 2
πόμενα· δεῖ γὰρ αὐτοῖς ὡς κέντρου πολλάκις, οὕτω καὶ χαλινοῦ. 3. ὅπερ γὰρ ὁ Δημοσθένης ἐπὶ τοῦ κοινοῦ ν ἀνθρώπων ἀποφαίνεται βίου, μέγιστον μὲν εἶναι ν ἀγαθῶν τὸ εὐτυχεῖν, δεύτερον δὲ καὶ οὐκ ἔλαττον εὖ βουλεύεσθαι, ὅπερ οἷς ἂν μὴ παρῇ, συναναιρεῖ ντως καὶ θάτερον, τοῦτ' ἂν καὶ ἐπὶ τῶν λόγων εἴποιν, ὡς ἡ μὲν φύσις τὴν τῆς εὐτυχίας τάξιν ἐπέχει, ἡ ϛνη δὲ τὴν τῆς εὐβουλίας. τὸ δὲ κυριώτατον ὅτι καὶ τὸ τὸ εἶναί τινα τῶν ἐν λόγοις ἐπὶ μόνῃ τῇ φύσει, οὐκ λοθεν ἡμᾶς ἢ παρὰ τῆς τέχνης ἐκμαθεῖν δεῖ. εἰ ταῦθ', ἔφην, ἐπιλογίσαιτο καθ' ἑαυτὸν ὁ τοῖς χρηστομαθοῦν ἐπιτιμῶν, οὐκ ἂν ἔτι, μοὶ δοκεῖ, περιττὴν καὶ ἄχρηον τὴν ἐπὶ τῶν προκειμένων ἡγήσαιτο θεωρίαν. . . .

DESUNT DUO FOLIA.

* * καὶ καμίνου σχῶσι μάκιστον σέλας. 3
εἰ γάρ τιν' ἑστιοῦχον ὄψομαι μόνον,
μίαν παρείρας πλεκτάνην χειμάρροον,
στέγην πυρώσω καὶ κατανθρακώσομαι·
νῦν δ' οὐ κέκραγά πω τὸ γενναῖον μέλος.

οὐ τραγικὰ ἔτι ταῦτα, ἀλλὰ παρατράγῳδα, αἱ πλεκτάι, καὶ τὸ πρὸς οὐρανὸν ἐξεμεῖν, καὶ τὸ τὸν Βορέαν αὐτὴν ποιεῖν, καὶ τὰ ἄλλα ἑξῆς· τεθόλωται γὰρ τῇ φράι καὶ τεθορύβηται ταῖς φαντασίαις μᾶλλον, ἢ δεδείνωι, κἂν ἕκαστον αὐτῶν πρὸς αὐγὰς ἀνασκοπῇς, ἐκ τοῦ ιβεροῦ κατ' ὀλίγον ὑπονοστεῖ πρὸς τὸ εὐκαταφρόνηον. ὅπου δ' ἐν τραγῳδίᾳ, πράγματι ὀγκηρῷ φύσει καὶ ιδεχομένῳ στόμφον, ὅμως τὸ παρὰ μέλος οἰδεῖν ἀσύγωστον, σχολῇ γ' ἂν οἶμαι λόγοις ἀληθινοῖς ἁρμόσειεν. ταύτῃ καὶ τὰ τοῦ Λεοντίνου Γοργίου γελᾶται γράφονς „Ξέρξης ὁ τῶν Περσῶν Ζεύς." καί, „Γῦπες ἔμψυχοι

3 τάφοι.“ καί τινα τῶν Καλλισθένους ὄντα οὐχ ὑψηλά, ἀλλὰ μετέωρα, καὶ ἔτι μᾶλλον τὰ Κλειτάρχου· φλοιώδης γὰρ ἀνὴρ καὶ φυσῶν κατὰ τὸν Σοφοκλέα,

μικροῖς μὲν αὐλίσκοισι, φορβειᾶς δ' ἄτερ.

τά γε μὴν Ἀμφικράτους τοιαῦτα καὶ Ἡγησίου καὶ Μάτριδος· πολλαχοῦ γὰρ ἐνθουσιᾶν ἑαυτοῖς δοκοῦντες οὐ βακχεύουσιν, ἀλλὰ παίζουσιν. 3. ὅλως δ' ἔοικεν εἶναι τὸ οἰδεῖν ἐν τοῖς μάλιστα δυσφυλακτότατον. φύσει γὰρ ἅπαντες οἱ μεγέθους ἐφιέμενοι, φεύγοντες ἀσθενείας καὶ ξηρότητος κατάγνωσιν, οὐκ οἶδ' ὅπως ἐπὶ τοῦθ' ὑποφέρονται, πειθόμενοι τῷ, μεγάλων ἀπολισθαίνειν ὅμως εὐγενὲς ἁμάρτημα. 4. κακοὶ δὲ ὄγκοι καὶ ἐπὶ σωμάτων καὶ λόγων, οἱ χαῦνοι καὶ ἀναλήθεις καὶ μήποτε περιιστάντες ἡμᾶς εἰς τοὐναντίον· οὐδὲν γάρ φασι ξηρότερον ὑδρωπικοῦ. ἀλλὰ τὸ μὲν οἰδοῦν ὑπεραίρειν βούλεται τὰ ὕψη, τὸ δὲ μειρακιῶδες ἄντικρυς ὑπεναντίον τοῖς μεγέθεσι· ταπεινὸν γὰρ ἐξ ὅλου καὶ μικρόψυχον, καὶ τῷ ὄντι κακὸν ἀγεννέστατον. τί ποτ' οὖν τὸ μειρακιῶδές ἐστιν; ἢ δῆλον ὡς σχολαστικὴ νόησις, ὑπὸ περιεργασίας λήγουσα εἰς ψυχρότητα; ὀλισθαίνουσι.δ' εἰς τοῦτο τὸ γένος ὀρεγόμενοι μὲν τοῦ περιττοῦ καὶ πεποιημένου καὶ μάλιστα τοῦ ἡδέος, ἐποκέλλοντες δὲ εἰς τὸ ῥωπικὸν καὶ κακόζηλον. 5. τούτῳ παράκειται τρίτον τι κακίας εἶδος ἐν τοῖς παθητικοῖς, ὅπερ ὁ Θεόδωρος παρένθυρσον ἐκάλει. ἔστι δὲ πάθος ἄκαιρον καὶ κενόν, ἔνθα μὴ δεῖ πάθους, ἢ ἄμετρον ἔνθα μετρίου δεῖ. πολλὰ γὰρ ὥσπερ ἐκ μέθης, τινὲς εἰς τὰ μηκέτι τοῦ πράγματος, ἴδια ἑαυτῶν καὶ σχολικὰ παραφέρονται πάθη· εἶτα πρὸς οὐδὲν πεπονθότας ἀκροατὰς ἀσχημονοῦσιν, εἰκότως, ἐξεστηκότες πρὸς οὐκ ἐξεστηκότας· πλὴν περὶ μὲν τῶν παθητικῶν ἄλλος ἡμῖν ἀπόκειται τόπος.

4 Θατέρου δὲ ὧν εἴπομεν, λέγω δὲ τοῦ ψυχροῦ, πλήρης

Τίμαιος, ἀνὴρ τὰ μὲν ἄλλα ἱκανὸς καὶ πρὸς λόγων 4 ιστε μέγεθος οὐκ ἄφορος, πολυΐστωρ, ἐπινοητικός· ἡν ἀλλοτρίων μὲν ἐλεγκτικώτατος ἁμαρτημάτων, ἀνε- ισθητος δὲ ἰδίων, ὑπὸ δὲ ἔρωτος τοῦ ξένας νοήσεις ι κινεῖν πολλάκις ἐκπίπτων εἰς τὸ παιδαριωδέστατον. παραθήσομαι δὲ τἀνδρὸς ἓν ἢ δύο, ἐπειδὴ τὰ πλείω ιοέλαβεν ὁ Καικίλιος. ἐπαινῶν Ἀλέξανδρον τὸν μέγαν, ις τὴν Ἀσίαν ὅλην," φησίν, „ἐν ἐλάττοσιν ἔτεσι παρέ- βεν, ἢ ὅσοις τὸν ὑπὲρ τοῦ πρὸς Πέρσας πολέμου ινηγυρικὸν λόγον Ἰσοκράτης ἔγραψεν." θαυμαστή γε υ̃ Μακεδόνος ἡ πρὸς τὸν σοφιστὴν σύγκρισις· δῆλον ιρ, ὦ Τίμαιε, ὡς οἱ Λακεδαιμόνιοι διὰ τοῦτο πολὺ τοῦ οκράτους κατ' ἀνδρίαν ἐλείποντο, ἐπειδὴ οἱ μὲν τριά- ντα ἔτεσι Μεσσήνην παρέλαβον, ὁ δὲ τὸν πανηγυρικὸν μόνοις δέκα συνετάξατο. 3. τοῖς δὲ Ἀθηναίοις ἁλοῦσι ρὶ Σικελίαν τίνα τρόπον ἐπιφωνεῖ; ὅτι „εἰς τὸν Ἑρ- ῆν ἀσεβήσαντες καὶ περικόψαντες αὐτοῦ τὰ ἀγάλματα, ὰ τοῦτ' ἔδωκαν δίκην, οὐχ ἥκιστα δι' ἕνα ἄνδρα, ὃς ὸ τοῦ παρανομηθέντος διὰ πατέρων ἦν, Ἑρμοκράτην ν Ἕρμωνος." ὥστε θαυμάζειν με, Τερεντιανὲ ἥδιστε, ῶς οὐ καὶ εἰς Διονύσιον γράφει τὸν τύραννον· „ἐπεὶ ρ εἰς τὸν Δία καὶ τὸν Ἡρακλέα δυσσεβὴς ἐγένετο, διὰ ῦτ' αὐτὸν Δίων καὶ Ἡρακλείδης τῆς τυραννίδος ἀφεί- ντο."

τί δεῖ περὶ Τιμαίου λέγειν, ὅπου γε καὶ οἱ ἥρωες εῖνοι, Ξενοφῶντα λέγω καὶ Πλάτωνα, καίτοιγ' ἐκ τῆς οκράτους ὄντες παλαίστρας, ὅμως διὰ τὰ οὕτως μικρο- ρῆ ἑαυτῶν πότε ἐπιλανθάνονται; ὁ μέν γε ἐν τῇ Λα- δαιμονίων γράφει πολιτείᾳ· „ἐκείνων γοῦν ἧττον μὲν φωνὴν ἀκούσαις ἢ τῶν λιθίνων, ἧττον δ' ἂν ὄμματα ρέψαις ἢ τῶν χαλκῶν, αἰδημονεστέρους δ' ἂν αὐτοὺς ήσαιο καὶ αὐτῶν τῶν ἐν τοῖς ὀφθαλμοῖς παρθένων."

4 Ἀμφικράτει καὶ οὐ Ξενοφῶντι ἔπρεπε τὰς ἐν τοῖς ὀφθαλμοῖς ἡμῶν κόρας λέγειν παρθένους αἰδήμονας. οἷον δὲ Ἡράκλεις τὸ τὰς ἁπάντων ἑξῆς κόρας αἰσχυντηλὰς εἶναι πεπεῖσθαι, ὅπου φασὶν οὐδενὶ οὕτως ἐνσημαίνεσθαι τήν τινων ἀναίδειαν, ὡς ἐν τοῖς ὀφθαλμοῖς. ἰταμόν, „οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων," φησίν. 5. ὁ μέντοι Τίμαιος, ὡς φωρίου τινὸς ἐφαπτόμενος, οὐδὲ τοῦτο Ξενοφῶντι τὸ ψυχρὸν κατέλιπεν. φησὶ γοῦν ἐπὶ τοῦ Ἀγαθοκλέους καὶ τὸ „τὴν ἀνεψιὰν ἑτέρῳ δεδομένην ἐκ τῶν ἀνακαλυπτηρίων ἁρπάσαντα ἀπελθεῖν· ὃ τίς ἂν ἐποίησεν ἐν ὀφθαλμοῖς κόρας, μὴ πόρνας ἔχων;" 6. τί δὲ ὁ τἆλλα θεῖος Πλάτων; τὰς δέλτους θέλων εἰπεῖν, „γράψαντες," φησίν, „ἐν τοῖς ἱεροῖς θήσουσι κυπαριττίνας μνήμας." καὶ πάλιν· „περὶ δὲ τειχῶν, ὦ Μέγιλλε, ἐγὼ ξυμφεροίμην ἂν τῇ Σπάρτῃ τὸ καθεύδειν ἐᾶν ἐν τῇ γῇ κατακείμενα τὰ τείχη, καὶ μὴ ἐπανίστασθαι." 7. καὶ τὸ Ἡροδότειον οὐ πόρρω, τὸ φάναι τὰς καλὰς γυναῖκας „ἀλγηδόνας ὀφθαλμῶν." καίτοιγε ἔχει τινὰ παραμυθίαν, οἱ γὰρ παρ' αὐτῷ ταυτὶ λέγοντες εἰσὶν οἱ βάρβαροι καὶ ἐν μέθῃ, ἀλλ' οὐδ' ἐκ τοιούτων προσώπων διὰ μικροψυχίαν καλὸν ἀσχημονεῖν πρὸς τὸν αἰῶνα.

5 Ἅπαντα μέντοι τὰ οὕτως ἄσεμνα διὰ μίαν ἐμφύεται τοῖς λόγοις αἰτίαν, διὰ τὸ περὶ τὰς νοήσεις καινόσπουδον, περὶ ὃ δὴ μάλιστα κορυβαντιῶσιν οἱ νῦν· ἀφ' ὧν γὰρ ἡμῖν τἀγαθά, σχεδὸν ἀπ' αὐτῶν τούτων καὶ τὰ κακὰ γεννᾶσθαι φιλεῖ. ὅθεν ἐπίφορον εἰς συνταγμάτων κατόρθωσιν τά τε κάλλη τῆς ἑρμηνείας καὶ τὰ ὕψη καὶ πρὸς τούτοις αἱ ἡδοναί· καὶ αὐτὰ ταῦτα καθάπερ τῆς ἐπιτυχίας, οὕτως ἀρχαὶ καὶ ὑποθέσεις καὶ τῶν ἐναντίων καθίστανται. τοιοῦτόν πως καὶ αἱ μεταβολαὶ καὶ ὑπερβολαὶ καὶ τὰ πληθυντικά· δείξομεν δ' ἐν τοῖς ἔπειτα τὸν κίνδυνον, ὃν ἔχειν ἐοίκασι. διόπερ ἀναγκαῖον ἤδη διαπο-

εῖν καὶ ὑποτίθεσθαι, δι' ὅτου τρόπου τὰς ἀνακεκραμέ- 5
ας κακίας τοῖς ὑψηλοῖς ἐκφεύγειν δυνάμεθα.
Ἔστι δέ, ὦ φίλος, εἴ τινα περιποιησαίμεθ' ἐν πρώ- 6
οις καθαρὰν τοῦ κατ' ἀλήθειαν ὕψους ἐπιστήμην καὶ
κίκρισιν. καίτοι τὸ πρᾶγμα δύσληπτον· ἡ γὰρ τῶν λό-
ων κρίσις πολλῆς ἐστι πείρας τελευταῖον ἐπιγέννημα·
ὐ μὴν ἀλλ', ὡς εἰπεῖν ἐν παραγγέλματι, ἐντεῦθέν ποθεν
ἴσως τὴν διάγνωσιν αὐτῶν οὐκ ἀδύνατον πορίζεσθαι.
Εἰδέναι χρή, φίλτατε, διότι, καθάπερ κἀν τῷ κοινῷ 7
ίῳ οὐδὲν ὑπάρχει μέγα, οὗ τὸ καταφρονεῖν ἐστι μέγα,
ῖον πλοῦτοι τιμαὶ δόξαι τυραννίδες, καὶ ὅσα δὴ ἄλλα
χει πολὺ τὸ ἔξωθεν προστραγῳδούμενον, οὐκ ἂν τῷ γε
ρονίμῳ δόξαιεν ἀγαθὰ ὑπερβάλλοντα, ὧν αὐτὸ τὸ περι-
ρονεῖν ἀγαθὸν οὐ μέτριον· θαυμάζουσι γοῦν τῶν ἐχόν-
ων αὐτὰ μᾶλλον τοὺς δυναμένους ἔχειν καὶ διὰ μεγα-
οψυχίαν ὑπερορῶντας· τῇδέ που καὶ ἐπὶ τῶν διηρμέ-
ων ἐν ποιήμασι καὶ λόγοις ἐπισκεπτέον, μή τινα μεγέ-
ους φαντασίαν ἔχοι τοιαύτην, ᾗ πολὺ πρόσκειται τὸ
ἰκῆ προσαναπλαττόμενον, ἀναπτυττόμενα δὲ ἄλλως εὑ-
ίσκοιτο χαῦνα, ὧν τοῦ θαυμάζειν τὸ περιφρονεῖν εὐγε-
έστερον. 2. φύσει γάρ πως ὑπὸ τἀληθοῦς ὕψους ἐπαίρε-
αί τε ἡμῶν ἡ ψυχὴ καὶ γαῦρόν τι ἀνάστημα λαμβάνουσα
ληροῦται χαρᾶς καὶ μεγαλαυχίας, ὡς αὐτὴ γεννήσασα
περ ἤκουσεν. 3. ὅταν οὖν ὑπ' ἀνδρὸς ἔμφρονος καὶ ἐμ-
είρου λόγων πολλάκις ἀκουόμενόν τι πρὸς μεγαλοφρο-
ύνην τὴν ψυχὴν μὴ συνδιατιθῇ, μηδ' ἐγκαταλείπῃ τῇ
ιανοίᾳ πλεῖον τοῦ λεγομένου τὸ ἀναθεωρούμενον, πίπτῃ
', ἂν εὖ τὸ συνεχὲς ἐπισκοπῇ, εἰς ἀπαύξησιν, οὐκ ἂν ἔτ'
ληθὲς ὕψος εἴη μέχρι μόνης τῆς ἀκοῆς σωζόμενον. τοῦ-
ο γὰρ τῷ ὄντι μέγα, οὗ πολλὴ μὲν ἡ ἀναθεώρησις,
ύσκολος δέ, μᾶλλον δ' ἀδύνατος ἡ κατεξανάστασις,
χυρὰ δὲ ἡ μνήμη καὶ δυσεξάλειπτος. 4. ὅλως δὲ καλὰ

7 νόμιζε ὕψη καὶ ἀληθινὰ τὰ διὰ παντὸς ἀρέσκοντα καὶ πᾶσιν. ὅταν γὰρ τοῖς ἀπὸ διαφόρων ἐπιτηδευμάτων βίων ζήλων ἡλικιῶν λόγων ἕν τι καὶ ταὐτὸν ἅμα περὶ τῶν αὐτῶν ἅπασι δοκῇ, τόθ' ἡ ἐξ ἀσυμφώνων ὡς κρίσις καὶ συγκατάθεσις τὴν ἐπὶ τῷ θαυμαζομένῳ πίστιν ἰσχυρὰν λαμβάνει καὶ ἀναμφίλεκτον.

8 Ἐπεὶ δὲ πέντε, ὡς ἂν εἴποι τις, πηγαί τινές εἰσιν αἱ τῆς ὑψηγορίας γονιμώταται, (προϋποκειμένης ὥσπερ ἐδάφους τινὸς κοινοῦ ταῖς πέντε ταύταις ἰδέαις τῆς ἐν τῷ λέγειν δυνάμεως, ἧς ὅλως χωρὶς οὐδέν) πρῶτον μὲν καὶ κράτιστον, τὸ περὶ τὰς νοήσεις ἁδρεπήβολον, ὡς κἀν τοῖς περὶ Ξενοφῶντος ὡρισάμεθα· δεύτερον δὲ τὸ σφοδρὸν καὶ ἐνθουσιαστικὸν πάθος· ἀλλ' αἱ μὲν δύο αὗται τοῦ ὕψους κατὰ τὸ πλέον αὐθιγενεῖς συστάσεις, αἱ λοιπαὶ δ' ἤδη [καὶ] διὰ τέχνης, ἥ τε ποιὰ τῶν σχημάτων πλάσις, (δισσὰ δέ που ταῦτα τὰ μὲν νοήσεως, θάτερα δὲ λέξεως), ἐπὶ δὲ τούτοις ἡ γενναία φράσις, ἧς μέρη πάλιν ὀνομάτων τε ἐκλογὴ καὶ ἡ τροπικὴ καὶ πεποιημένη λέξις· πέμπτη δὲ μεγέθους αἰτία καὶ συγκλείουσα τὰ πρὸ ἑαυτῆς ἅπαντα, ἡ ἐν ἀξιώματι καὶ διάρσει σύνθεσις· φέρε δὴ τὰ ἐμπεριεχόμενα καθ' ἑκάστην ἰδέαν τούτων ἐπισκεψώμεθα, τοσοῦτον προειπόντες, ὅτι τῶν πέντε μορίων ὁ Καικίλιος ἔστιν ἃ παρέλιπεν, ὡς καὶ τὸ πάθος ἀμέλει. 2. ἀλλ' εἰ μὲν ὡς ἕν τι ταῦτ' ἄμφω, τό τε ὕψος καὶ τὸ παθητικόν, καὶ ἔδοξεν αὐτῷ πάντη συνυπάρχειν τε ἀλλήλοις καὶ συμπεφυκέναι, διαμαρτάνει· καὶ γὰρ πάθη τινὰ διεστῶτα ὕψους καὶ ταπεινὰ εὑρίσκεται, καθάπερ οἶκτοι λῦπαι φόβοι· καὶ ἔμπαλιν πολλὰ ὕψη δίχα πάθους, ὡς πρὸς μυρίοις ἄλλοις καὶ τὰ περὶ τοὺς Ἀλωάδας τῷ ποιητῇ παρατετολμημένα,

Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν· αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἄμβατος εἴη·

τὸ τούτοις ἔτι μεῖζον ἐπιφερόμενον, 8
καί νύ κεν ἐξετέλεσσαν.
παρά γε μὴν τοῖς ῥήτορσι τὰ ἐγκώμια καὶ τὰ πομ-
:ὰ καὶ ἐπιδεικτικὰ τὸν μὲν ὄγκον καὶ τὸ ὑψηλὸν ἐξ
αντος περιέχει, πάθους δὲ χηρεύει κατὰ τὸ πλεῖστον,
εν ἥκιστα τῶν ῥητόρων οἱ περιπαθεῖς ἐγκωμιαστικοί,
μπαλιν οἱ ἐπαινετικοὶ περιπαθεῖς. 4. εἰ δ' αὖ πάλιν ἐξ
ν μὴ ἐνόμισεν ὁ Καικίλιος τὸ ἐμπαθὲς τὰ ὕψη ποτὲ
ντελεῖν, καὶ διὰ τοῦτ' οὐχ ἡγήσατο μνήμης ἄξιον, πάνυ
μάτηται· θαρρῶν γὰρ ἀφορισαίμην ἄν, ὡς οὐδὲν οὕ-
ς, ὡς τὸ γενναῖον πάθος, ἔνθα χρή, μεγαλήγορόν ἐστι,
περ ὑπὸ μανίας τινὸς καὶ πνεύματος ἐνθουσιαστικοῦ
πνέον καὶ οἱονεὶ φοιβάζον τοὺς λόγους.

Οὐ μὴν ἀλλ' ἐπεὶ τὴν κρατίστην μοῖραν ἐπέχει τῶν 9
λων τὸ πρῶτον, λέγω δὲ τὸ μεγαλοφυές, χρὴ κἀν-
ῦθα, καὶ εἰ δωρητὸν τὸ πρᾶγμα μᾶλλον ἢ κτητόν, ὅμως
θ' ὅσον οἷόν τε, τὰς ψυχὰς ἀνατρέφειν πρὸς τὰ με-
θη, καὶ ὥσπερ ἐγκύμονας ἀεὶ ποιεῖν γενναίου παρα-
ήματος. 2. τίνα, φήσεις, τρόπον; γέγραφά που καὶ
ρωθι τὸ τοιοῦτον ὕψος μεγαλοφροσύνης ἀπήχημα.
εν καὶ φωνῆς δίχα θαυμάζεταί ποτε ψιλὴ καθ' ἑαυ-
ν ἡ ἔννοια δι' αὐτὸ τὸ μεγαλόφρον, ὡς ἡ τοῦ Αἴαντος
Νεκυίᾳ σιωπὴ μέγα καὶ παντὸς ὑψηλότερον λόγου.
πρῶτον οὖν τὸ ἐξ οὗ γίνεται, προϋποτίθεσθαι πάντως
αγκαῖον, ὡς ἔχειν δεῖ τὸν ἀληθῆ ῥήτορα μὴ ταπεινὸν
όνημα καὶ ἀγεννές. οὐδὲ γὰρ οἷόν τε, μικρὰ καὶ δου-
πρεπῆ φρονοῦντας καὶ ἐπιτηδεύοντας παρ' ὅλον τὸν
ν θαυμαστόν τι καὶ τοῦ παντὸς αἰῶνος ἐξενεγκεῖν
ιον· μεγάλοι δὲ οἱ λόγοι τούτων, κατὰ τὸ εἰκός, ὧν ἂν
βριθεῖς ὦσιν αἱ ἔννοιαι. 4. ταύτῃ καὶ εἰς τοὺς μάλιστα

9 φρονηματίας ἐμπίπτει τὰ ὑπερφυᾶ· ὁ γὰρ τῷ Πα νίωνι φήσαντι, „ἐγὼ μὲν ἠρκέσθην . . . .

DESUNT SEX FOLIA.

. . . . τὸ ἐπ' οὐρανὸν ἀπὸ γῆς διάστημα· καὶ τοῦτ εἴποι τις οὐ μᾶλλον τῆς Ἔριδος ἢ Ὁμήρου μέτρον. ἀνόμοιόν γε τὸ Ἡσιόδειον ἐπὶ τῆς Ἀχλύος, εἴγε Ἡσιό καὶ τὴν Ἀσπίδα θετέον·

τῆς ἐκ μὲν ῥινῶν μύξαι ῥέον·

οὐ γὰρ δεινὸν ἐποίησε τὸ εἴδωλον, ἀλλὰ μισητόν. πῶς μεγεθύνει τὰ δαιμόνια;

ὅσσον δ' ἠεροειδὲς ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν,
ἥμενος ἐν σκοπιῇ, λεύσσων ἐπὶ οἴνοπα πόντον·
τόσσον ἐπιθρῴσκουσι θεῶν ὑψηχέες ἵπποι.

τὴν ὁρμὴν αὐτῶν κοσμικῷ διαστήματι καταμετρεῖ. οὖν οὐκ ἂν εἰκότως διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθ ἐπιφθέγξαιτο, ὅτι ἂν δὶς ἑξῆς ἐφορμήσωσιν οἱ τῶν θ ἵπποι, οὐκέθ' εὑρήσουσιν ἐν κόσμῳ τόπον; 6. ὑπερ τὰ ἐπὶ τῆς θεομαχίας φαντάσματα,

ἀμφὶ δ' ἐσάλπιγξεν μέγας οὐρανὸς Οὔλυμπός τε.
ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς,
δείσας δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή οἱ ἔπειτα
γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων,
οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη,
σμερδαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοί περ.

ἐπιβλέπεις, ἑταῖρε, ὡς ἀναρρηγνυμένης μὲν ἐκ βάθρ γῆς, αὐτοῦ δὲ γυμνουμένου ταρτάρου, ἀνατροπὴν ὅλου καὶ διάστασιν τοῦ κόσμου λαμβάνοντος, πάνθ' ἅ οὐρανὸς ᾅδης τὰ θνητὰ τὰ ἀθάνατα, ἅμα τῇ τότε συμπ λεμεῖ καὶ συγκινδυνεύει μάχῃ; 7. ἀλλὰ ταῦτα φοβε μέν, πλὴν ἄλλως εἰ μὴ κατ' ἀλληγορίαν λαμβάνοιτο, κα τάπασιν ἄθεα καὶ οὐ σῴζοντα τὸ πρέπον. Ὅμηρος γ

ι δοκεῖ παραδιδοὺς τραύματα θεῶν στάσεις τιμωρίας 9
ἰκρυα δεσμὰ πάθη πάμφυρτα τοὺς μὲν ἐπὶ τῶν Ἰλια-
ῶν ἀνθρώπους, ὅσον ἐπὶ τῇ δυνάμει, θεοὺς πεποιηκέ-
ι, τοὺς θεοὺς δὲ ἀνθρώπους. ἀλλ' ἡμῖν μὲν δυσδαιμο-
ῦσιν ἀπόκειται λιμὴν κακῶν, ὁ θάνατος· τῶν θεῶν
οὐ τὴν φύσιν, ἀλλὰ τὴν ἀτυχίαν ἐποίησεν αἰώνιον.
πολὺ δὲ τῶν περὶ τὴν θεομαχίαν ἀμείνω τὰ ὅσα ἄχραν-
ν τι καὶ μέγα τὸ δαιμόνιον ὡς ἀληθῶς καὶ ἄκρατον
αρίστησιν, οἷα (πολλοῖς δὲ πρὸ ἡμῶν ὁ τόπος ἐξείργα-
ται) τὰ ἐπὶ τοῦ Ποσειδῶνος,

τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη,
καὶ κορυφαὶ Τρώων τε πόλις καὶ νῆες Ἀχαιῶν
ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
βῆ δ' ἐλάαν ἐπὶ κύματ', ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα.
γηθοσύνῃ δὲ θάλασσα διΐστατο, τοὶ δὲ πέτοντο.

). ταύτῃ καὶ ὁ τῶν Ἰουδαίων θεσμοθέτης, οὐχ ὁ τυ-
ὼν ἀνήρ, ἐπειδὴ τὴν τοῦ θείου δύναμιν κατὰ τὴν ἀξίαν
ζώρησε κἀξέφηνεν, εὐθὺς ἐν τῇ εἰσβολῇ γράψας τῶν
όμων· „εἶπεν ὁ Θεός," φησί· τί; „γενέσθω φῶς, καὶ
γένετο· γενέσθω γῆ, καὶ ἐγένετο."] 10. οὐκ ὀχληρὸς
ν ἴσως, ἑταῖρε, δόξαιμι, ἓν ἔτι ποιητοῦ καὶ τῶν ἀνθρω-
ίνων παραθέμενος τοῦ μαθεῖν χάριν, ὡς εἰς τὰ ἡρωϊκὰ
εγέθη συνεμβαίνειν ἐθίζει. ἀχλὺς ἄφνω καὶ νὺξ ἄπορος
ὑτῷ τὴν τῶν Ἑλλήνων ἐπέχει μάχην· ἔνθα δὴ ὁ Αἴας
μηχανῶν,

Ζεῦ πάτερ, φησίν, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας
Ἀχαιῶν,
ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι
ἐν δὲ φάει καὶ ὄλεσσον.

τιν ὡς ἀληθῶς τὸ πάθος Αἴαντος, οὐ γὰρ ζῆν εὔχεται,
ν γὰρ τὸ αἴτημα τοῦ ἥρωος ταπεινότερον) ἀλλ' ἐπειδὴ

9 ἐν ἀπράκτῳ σκότει τὴν ἀνδρίαν εἰς οὐδὲν γενναῖον εἶχε διαθέσθαι, διὰ ταῦτ' ἀγανακτῶν ὅτι πρὸς τὴν μάχην ἀργεῖ, φῶς ὅτι τάχιστα αἰτεῖται, ὡς πάντως τῆς ἀρετῆς εὑρήσων ἐντάφιον ἄξιον, κἂν αὐτῷ Ζεὺς ἀντιτάττηται. 11. ἀλλὰ γὰρ Ὅμηρος μὲν ἐνθάδε οὔριος συνεμπνεῖ τοῖς ἀγῶσιν, καὶ οὐκ ἄλλο τι αὐτὸς πέπονθεν ἢ

μαίνεται, ὡς ὅτ' Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται βαθέης ἐνὶ τάρφεσιν ὕλης,
ἀφλοισμὸς δὲ περὶ στόμα γίγνεται·

δείκνυσι δ' ὅμως διὰ τῆς Ὀδυσσείας (καὶ γὰρ ταῦτα πολλῶν ἕνεκα προσεπιθεωρητέον,) ὅτι μεγάλης φύσεως ὑποφερομένης ἤδη ἴδιόν ἐστιν ἐν γήρᾳ τὸ φιλόμυθον. 12. δῆλος γὰρ ἐκ πολλῶν τε ἄλλων συντεθεικὼς ταύτην δευτέραν τὴν ὑπόθεσιν, ἀτὰρ δὴ κἀκ τοῦ λείψανα τῶν Ἰλιακῶν παθημάτων διὰ τῆς Ὀδυσσείας, ὡς ἐπεισόδιά τινα τοῦ Τρωϊκοῦ πολέμου, προσεπεισφέρειν, καὶ νὴ Δί' ἐκ τοῦ τὰς ὀλοφύρσεις καὶ τοὺς οἴκτους, ὡς πάλαι που προεγνωσμένους τοῖς ἥρωσιν, ἐνταῦθα προσαποδιδόναι. οὐ γὰρ ἄλλ' ἢ τῆς Ἰλιάδος ἐπίλογός ἐστιν ἡ Ὀδύσσεια·

ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Ἀχιλλεύς,
ἔνθα δὲ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος·
ἔνθα δ' ἐμὸς φίλος υἱός.

13. ἀπὸ δὲ τῆς αὐτῆς αἰτίας, οἶμαι, τῆς μὲν Ἰλιάδος γραφομένης ἐν ἀκμῇ πνεύματος, ὅλον τὸ σωμάτιον δραματικὸν ὑπεστήσατο καὶ ἐναγώνιον, τῆς δὲ Ὀδυσσείας τὸ πλέον διηγηματικόν, ὅπερ ἴδιον γήρως. ὅθεν ἐν τῇ Ὀδυσσείᾳ παρεικάσαι τις ἂν καταδυομένῳ τὸν Ὅμηρον ἡλίῳ, οὗ δίχα τῆς σφοδρότητος παραμένει τὸ μέγεθος. οὐ γὰρ ἔτι τοῖς Ἰλιακοῖς ἐκείνοις ποιήμασιν ἴσον ἐνταῦθα σώζει τὸν τόνον, οὐδ' ἐξωμαλισμένα τὰ ὕψη καὶ ἱζήματα μηδαμοῦ λαμβάνοντα, οὐδὲ τὴν πρόχυσιν ὁμοίαν τῶν ἐπαλλήλων παθῶν, οὐδὲ τὸ ἀγχίστροφον καὶ πολιτικὸν

καὶ ταῖς ἐκ τῆς ἀληθείας φαντασίαις καταπεπυκνωμένον· 9
ἀλλ' οἷον ὑποχωροῦντος εἰς ἑαυτὸν ὠκεανοῦ καὶ περὶ τὰ ἴδια μέτρα ἐρημουμένου, τὸ λοιπὸν φαίνονται τοῦ μεγέθους ἀμπώτιδες κἀν τοῖς μυθώδεσι καὶ ἀπίστοις πλάνοις. 14. λέγων δὲ ταῦτ' οὐκ ἐπιλέλησμαι τῶν ἐν τῇ Ὀδυσσείᾳ χειμώνων καὶ τῶν περὶ τὸν Κύκλωπα καί τινων ἄλλων, ἀλλὰ γῆρας διηγοῦμαι, γῆρας δ' ὅμως Ὁμήρου· πλὴν ἐν ἅπασι τούτοις ἑξῆς τοῦ πρακτικοῦ κρατεῖ τὸ μυθικόν. παρεξέβην δ' εἰς ταῦθ', ὡς ἔφην, ἵνα δείξαιμι, ὡς εἰς λῆρον ἐνίοτε ῥᾷστον κατὰ τὴν ἀπακμὴν τὰ μεγαλοφυῆ παρατρέπεται, οἷα τὰ περὶ τὸν ἀσκόν, καὶ τοὺς ἐκ Κίρκης συοφορβουμένους, οὓς ὁ Ζώϊλος ἔφη χοιρίδια κλαίοντα, καὶ τὸν ὑπὸ τῶν πελειάδων ὡς νεοσσὸν παρατρεφόμενον Δία, καὶ τὸν ἐπὶ τοῦ ναυαγίου δέχ' ἡμέρας ἄσιτον, τά τε περὶ τὴν μνηστηροφονίαν ἀπίθανα. τί γὰρ ἂν ἄλλο φήσαιμεν ταῦτα ἢ τῷ ὄντι τοῦ Διὸς ἐνύπνια; 15. δευτέρου δὲ εἵνεκα προσιστορείσθω τὰ κατὰ τὴν Ὀδύσσειαν, ὅπως ᾖ σοι γνώριμον, ὡς ἡ ἀπακμὴ τοῦ πάθους ἐν τοῖς μεγάλοις συγγραφεῦσι καὶ ποιηταῖς εἰς ἦθος ἐκλύεται. τοιαῦτα γάρ που τὰ περὶ τὴν τοῦ Ὀδυσσέως ἠθικῶς αὐτῷ βιολογούμενα οἰκίαν, οἱονεὶ κωμῳδία τίς ἐστιν ἠθολογουμένη.

Φέρε νῦν, εἴ τι καὶ ἕτερον ἔχοιμεν ὑψηλοὺς ποιεῖν 10
τοὺς λόγους δυνάμενον, ἐπισκεψώμεθα. οὐκοῦν ἐπειδὴ πᾶσι τοῖς πράγμασι φύσει συνεδρεύει τινὰ μόρια ταῖς ὕλαις συνυπάρχοντα, ἐξ ἀνάγκης γένοιτ' ἂν ἡμῖν ὕψους αἴτιον τὸ τῶν ἐμφερομένων ἐκλέγειν ἀεὶ τὰ καιριώτατα, καὶ ταῦτα τῇ πρὸς ἄλληλα ἐπισυνθέσει καθάπερ ἕν τι σῶμα ποιεῖν δύνασθαι· ὃ μὲν γὰρ τῇ ἐκλογῇ τὸν ἀκροατὴν τῶν λημμάτων, ὃ δὲ τῇ πυκνώσει τῶν ἐκλελεγμένων προσάγεται. οἷον ἡ Σαπφὼ τὰ συμβαίνοντα ταῖς ἐρωτικαῖς μανίαις παθήματα ἐκ τῶν παρεπομένων καὶ ἐκ τῆς

9 ἐν ἀπράκτῳ σκότει τὴν ἀνδρίαν εἰς οὐδὲν γενναῖον διαθέσθαι, διὰ ταῦτ' ἀγανακτῶν ὅτι πρὸς τὴν μάχην γεῖ, φῶς ὅτι τάχιστα αἰτεῖται, ὡς πάντως τῆς ἀρετῆς ρήσων ἐντάφιον ἄξιον, κἂν αὐτῷ Ζεὺς ἀντιτάττη

11. ἀλλὰ γὰρ Ὅμηρος μὲν ἐνθάδε οὔριος συνεμπνεῖ ἀγῶσιν, καὶ οὐκ ἄλλο τι αὐτὸς πέπονθεν ἢ

μαίνεται, ὡς ὅτ' Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται βαθέης ἐνὶ τάρφεσιν ὕλης,
ἀφλοισμὸς δὲ περὶ στόμα γίγνεται·

δείκνυσι δ' ὅμως διὰ τῆς Ὀδυσσείας (καὶ γὰρ ταῦτα π λῶν ἕνεκα προσεπιθεωρητέον,) ὅτι μεγάλης φύσεως ὑ φερομένης ἤδη ἴδιόν ἐστιν ἐν γήρᾳ τὸ φιλόμυθον. 12. λος γὰρ ἐκ πολλῶν τε ἄλλων συντεθεικὼς ταύτην δευ ραν τὴν ὑπόθεσιν, ἀτὰρ δὴ κἀκ τοῦ λείψανα τῶν Ἰλια παθημάτων διὰ τῆς Ὀδυσσείας, ὡς ἐπεισόδιά τινα τ Τρωϊκοῦ πολέμου, προσεπεισφέρειν, καὶ νὴ Δί' ἐκ τ τὰς ὀλοφύρσεις καὶ τοὺς οἴκτους, ὡς πάλαι που πρ εγνωσμένους τοῖς ἥρωσιν, ἐνταῦθα προσαποδιδόναι. γὰρ ἄλλ' ἢ τῆς Ἰλιάδος ἐπίλογός ἐστιν ἡ Ὀδύσσεια·

ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Ἀχιλλεύς,
ἔνθα δὲ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος·
ἔνθα δ' ἐμὸς φίλος υἱός.

13. ἀπὸ δὲ τῆς αὐτῆς αἰτίας, οἶμαι, τῆς μὲν Ἰλιάδος γρ φομένης ἐν ἀκμῇ πνεύματος, ὅλον τὸ σωμάτιον δραμα κὸν ὑπεστήσατο καὶ ἐναγώνιον, τῆς δὲ Ὀδυσσείας πλέον διηγηματικόν, ὅπερ ἴδιον γήρως. ὅθεν ἐν Ὀδυσσείᾳ παρεικάσαι τις ἂν καταδυομένῳ τὸν Ὅμηρ ἡλίῳ, οὗ δίχα τῆς σφοδρότητος παραμένει τὸ μέγεθ οὐ γὰρ ἔτι τοῖς Ἰλιακοῖς ἐκείνοις ποιήμασιν ἴσον ἐνταῦθ σώζει τὸν τόνον, οὐδ' ἐξωμαλισμένα τὰ ὕψη καὶ ἰζήμα μηδαμοῦ λαμβάνοντα, οὐδὲ τὴν πρόχυσιν ὁμοίαν τ ἐπαλλήλων παθῶν, οὐδὲ τὸ ἀγχίστροφον καὶ πολιτικ

καὶ ταῖς ἐκ τῆς ἀληθείας φαντασίαις καταπεπυκνωμένον· 9 ἀλλ' οἷον ὑποχωροῦντος εἰς ἑαυτὸν ὠκεανοῦ καὶ περὶ τὰ ἴδια μέτρα ἐρημουμένου, τὸ λοιπὸν φαίνονται τοῦ μεγέθους ἀμπώτιδες κἀν τοῖς μυθώδεσι καὶ ἀπίστοις πλάνοις. 14. λέγων δὲ ταῦτ' οὐκ ἐπιλέλησμαι τῶν ἐν τῇ Ὀδυσσείᾳ χειμώνων καὶ τῶν περὶ τὸν Κύκλωπα καί τινων ἄλλων, ἀλλὰ γῆρας διηγοῦμαι, γῆρας δ' ὅμως Ὁμήρου· πλὴν ἐν ἅπασι τούτοις ἑξῆς τοῦ πρακτικοῦ κρατεῖ τὸ μυθικόν. παρεξέβην δ' εἰς ταῦθ', ὡς ἔφην, ἵνα δείξαιμι, ὡς εἰς λῆρον ἐνίοτε ῥᾷστον κατὰ τὴν ἀπακμὴν τὰ μεγαλοφυῆ παρατρέπεται, οἷα τὰ περὶ τὸν ἀσκόν, καὶ τοὺς ἐκ Κίρκης συοφορβουμένους, οὓς ὁ Ζωΐλος ἔφη χοιρίδια κλαίοντα, καὶ τὸν ὑπὸ τῶν πελειάδων ὡς νεοσσὸν παρατρεφόμενον Δία, καὶ τὸν ἐπὶ τοῦ ναυαγίου δέχ' ἡμέρας ἄσιτον, τά τε περὶ τὴν μνηστηροφονίαν ἀπίθανα. τί γὰρ ἂν ἄλλο φήσαιμεν ταῦτα ἢ τῷ ὄντι τοῦ Διὸς ἐνύπνια; 15. δευτέρου δὲ εἵνεκα προσιστορείσθω τὰ κατὰ τὴν Ὀδύσσειαν, ὅπως ᾖ σοι γνώριμον, ὡς ἡ ἀπακμὴ τοῦ πάθους ἐν τοῖς μεγάλοις συγγραφεῦσι καὶ ποιηταῖς εἰς ἦθος ἐκλύεται. τοιαῦτα γάρ που τὰ περὶ τὴν τοῦ Ὀδυσσέως ἠθικῶς αὐτῷ βιολογούμενα οἰκίαν, οἱονεὶ κωμῳδία τίς ἐστιν ἠθολογουμένη.

Φέρε νῦν, εἴ τι καὶ ἕτερον ἔχοιμεν ὑψηλοὺς ποιεῖν 10 τοὺς λόγους δυνάμενον, ἐπισκεψώμεθα. οὐκοῦν ἐπειδὴ πᾶσι τοῖς πράγμασι φύσει συνεδρεύει τινὰ μόρια ταῖς ὕλαις συνυπάρχοντα, ἐξ ἀνάγκης γένοιτ' ἂν ἡμῖν ὕψους αἴτιον τὸ τῶν ἐμφερομένων ἐκλέγειν ἀεὶ τὰ καιριώτατα, καὶ ταῦτα τῇ πρὸς ἄλληλα ἐπισυνθέσει καθάπερ ἕν τι σῶμα ποιεῖν δύνασθαι· ὃ μὲν γὰρ τῇ ἐκλογῇ τὸν ἀκροατὴν τῶν λημμάτων, ὃ δὲ τῇ πυκνώσει τῶν ἐκλελεγμένων προσάγεται. οἷον ἡ Σαπφὼ τὰ συμβαίνοντα ταῖς ἐρωτικαῖς μανίαις παθήματα ἐκ τῶν παρεπομένων καὶ ἐκ τῆς

ἀληθείας αὐτῆς ἑκάστοτε λαμβάνει. ποῦ δὲ τὴν ἀρετὴν ἀποδείκνυται; ὅτε τὰ ἄκρα αὐτῶν καὶ ὑπερτεταμένα δεινὴ καὶ ἐκλέξαι καὶ εἰς ἄλληλα συνδῆσαι.

2. φαίνεταί μοι κῆνος ἴσος θεοῖσιν
ἔμμεν' ὠνήρ, ὅστις ἐναντίος τοι
ἰζάνει, καὶ πλησίον ἀδὺ φωνεύ-
σας ὑπακούει

καὶ γελώσας ἱμερόεν, τό μοι μὰν
καρδίαν ἐν στήθεσιν ἐπτόασεν.
ὥς σε γὰρ ἴδω, βροχέως με φωνᾶς
οὐδὲν ἔθ' ἥκει·

ἀλλὰ κὰμ μὲν γλῶσσα ἔαγε· λεπτὸν δ'
αὐτίκα χρῷ πῦρ ὑπαδεδρόμακεν·
ὀππάτεσσι δ' οὐδὲν ὄρημ', ἐπιρρομ-
βεῦσι δ' ἄκουαι·

ἁ δέ μ' ἴδρως [ψυχρὸς] κακχέεται, τρόμος δὲ
πᾶσαν ἀγρεῖ, χλωροτέρα δὲ ποίας
ἐμμί· τεθνάκην δ' ὀλίγω 'πιδεύσην
φαίνομαι.

ἀλλὰ πᾶν τολματόν, ἐπεὶ καὶ πένητα

3. οὐ θαυμάζεις, ὡς ὑπ' αὐτὸ τὴν ψυχὴν τὸ σῶμα τὰς ἀκοὰς τὴν γλῶσσαν τὰς ὄψεις τὴν χρόαν, πάντως ἀλλότρια διοιχόμενα ἐπιζητεῖ, καὶ καθ' ὑπεναντιώσεις ἅμα ψύχεται κάεται, ἀλογιστεῖ φρονεῖ; ἢ γὰρ φοβεῖται ἢ παρ' ὀλίγον τέθνηκεν· ἵνα μὴ ἕν τι περὶ αὐτὴν πάθος φαίνηται, παθῶν δὲ σύνοδος. πάντα μὲν τοιαῦτα γίνεται περὶ τοὺς ἐρῶντας, ἡ λῆψις δ' ὡς ἔφην τῶν ἄκρων, καὶ ἡ εἰς ταὐτὸ συναίρεσις ἀπειργάσατο τὴν ἐξοχήν· ὅνπερ οἶμαι καὶ ἐπὶ τῶν χειμώνων τρόπον ὁ ποιητὴς ἐκλαμβάνει τῶν

παρακολουθούντων τὰ χαλεπώτατα. 4. ὁ μὲν γὰρ τὰ 10
Ἀριμάσπεια ποιήσας ἐκεῖνα οἴεται δεινά·

θαῦμ' ἡμῖν καὶ τοῦτο μέγα φρεσὶν ἡμετέρῃσιν.
ἄνδρες ὕδωρ ναίουσιν ἀπὸ χθονὸς ἐν πελάγεσσι·
δύστηνοί τινές εἰσιν, ἔχουσι γὰρ ἔργα πονηρά,
ὄμματ' ἐν ἄστροισι, ψυχὴν δ' ἐν πόντῳ ἔχουσιν,
ἦπου πολλὰ θεοῖσι φίλας ἀνὰ χεῖρας ἔχοντες
εὔχονται σπλάγχνοισι κακῶς ἀναβαλλομένοισι.

παντὶ μὴν οἶμαι δῆλον, ὡς πλέον ἄνθος ἔχει τὰ λεγόμενα ἢ δέος. 5. ὁ δὲ Ὅμηρος πῶς; ἓν γὰρ ἀπὸ πολλῶν λεγέσθω·

ἐν δ' ἔπεσ', ὡς ὅτε κῦμα θοῇ ἐν νηῒ πέσῃσι
λάβρον ὑπαὶ νεφέων ἀνεμοτρεφές, ἡ δέ τε πᾶσα
ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτης
ἱστίῳ ἐμβρέμεται, τρομέουσι δέ τε φρένα ναῦται
δειδιότες· τυτθὸν γὰρ ὑπὲκ θανάτοιο φέρονται.

6. ἐπεχείρησε καὶ ὁ Ἄρατος τὸ αὐτὸ τοῦτο μετενεγκεῖν,

ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐρύκει·

πλὴν μικρὸν αὐτὸ καὶ γλαφυρὸν ἐποίησεν ἀντὶ φοβεροῦ· ἔτι δὲ παρώρισε τὸν κίνδυνον, εἰπών, „ξύλον ἄϊδ' ἐρύκει.“ οὐκοῦν ἀπείργει. ὁ δὲ ποιητὴς οὐκ εἰς ἅπαξ παρορίζει τὸ δεινόν, ἀλλὰ τοὺς ἀεὶ καὶ μόνον οὐχὶ κατὰ πᾶν κῦμα πολλάκις ἀπολλυμένους εἰκονογραφεῖ. καὶ μὴν τὰς προθέσεις ἀσυνθέτους οὔσας συναναγκάσας παρὰ φύσιν, καὶ εἰς ἀλλήλας συμβιασάμενος „ὑπὲκ θανάτοιο,“ τῷ μὲν συνεμπίπτοντι πάθει τὸ ἔπος ὁμοίως βασάνισεν, τῇ δὲ τοῦ ἔπους συνθλίψει τὸ πάθος ἄκρως απεπλάσατο, καὶ μόνον οὐκ ἐνετύπωσε τῇ λέξει τοῦ κινδύνου τὸ ἰδίωμα, „ὑπὲκ θανάτοιο φέρονται.“ 7. οὐκ ἄλλως ὁ Ἀρχίλοχος ἐπὶ τοῦ ναυαγίου, καὶ ἐπὶ τῇ προσαγγελίᾳ ὁ Δημοσθένης· „ἑσπέρα μὲν γὰρ ἦν,“ φησίν· ἀλλὰ τὰς ἐξοχάς, ὡς ἂν εἴποι τις, ἀριστίνδην ἐκκαθή-

10 ραντες ἐπισυνέθηκαν, οὐδὲν φλοιῶδες ἢ ἄσεμνον ἢ σχολικὸν ἐγκατατάττοντες διὰ μέσου. λυμαίνεται γὰρ ταῦτα τὸ ὅλον, ὡσανεὶ ψήγματα ἢ ἀραιώματα, ἐμποιοῦντα μεγέθη συνοικονομούμενα τῇ πρὸς ἄλληλα σχέσει συντετειχισμένα.

11 Σύνεδρός ἐστι ταῖς προεκκειμέναις ἀρετὴ [καὶ] ἣν καλοῦσιν αὔξησιν, ὅταν δεχομένων τῶν πραγμάτων καὶ ἀγώνων κατὰ περιόδους ἀρχάς τε πολλὰς καὶ ἀναπαύλας, ἕτερα ἑτέροις ἐπεισκυκλούμενα μεγέθη συνεχῶς ἐπεισάγηται κατ' ἐπίβασιν. 2. τοῦτο δὲ εἴτε διὰ τοπηγορίαν, εἴτε δείνωσιν, ἢ πραγμάτων ἢ κατασκευῶν ἐπίρρωσιν, εἴτ' ἐποικονομίαν ἔργων ἢ παθῶν (μυρίαι γὰρ ἰδέαι τῶν αὐξήσεων) γίνοιτο, χρὴ γινώσκειν ὅμως τὸν ῥήτορα, ὡς οὐδὲν ἂν τούτων καθ' αὑτὸ συσταίη χωρὶς ὕψους τέλειον, πλὴν εἰ μὴ ἐν οἴκτοις ἄρα, νὴ Δία, ἢ ἐν εὐτελισμοῖς, τῶν δ' ἄλλων αὐξητικῶν ὅτου περ ἂν τὸ ὑψηλὸν ἀφέλῃς, ὡς ψυχὴν ἐξαιρήσεις σώματος· εὐθὺς γὰρ ἀτονεῖ καὶ κενοῦται τὸ ἔμπρακτον αὐτῶν μὴ τοῖς ὕψεσι συνεπιρρωννύμενον. 3. ᾗ μέντοι διαφέρει τοῦ ἀρτίως εἰρημένου τὰ νῦν παραγγελλόμενα, (περιγραφὴ γάρ τις ἦν ἐκεῖνο τῶν ἄκρων λημμάτων καὶ εἰς ἑνότητα σύνταξις) καὶ τίνι καθόλου τῶν αὐξήσεων παραλλάττει τὰ ὕψη, τῆς σαφηνείας αὐτῆς ἕνεκα συντόμως διοριστέον.

12 Ὁ μὲν οὖν τῶν τεχνογράφων ὅρος ἔμοιγ' οὐκ ἀρεστός. αὔξησίς ἐστι, φασί, λόγος μέγεθος περιτιθεὶς τοῖς ὑποκειμένοις· δύναται γὰρ ἀμέλει καὶ ὕψους καὶ πάθους καὶ τρόπων εἶναι κοινὸς οὗτος ὁ ὅρος, ἐπειδὴ κἀκεῖνα τῷ λόγῳ περιτίθησι ποιόν τι μέγεθος. ἐμοὶ δὲ φαίνεται ταῦτα ἀλλήλων παραλλάττειν, ᾗ κεῖται τὸ μὲν ὕψος ἐν διάρματι, ἡ δ' αὔξησις καὶ ἐν πλήθει· διόπερ ἐκεῖνο μὲν κἂν νοήματι ἑνὶ πολλάκις, ἡ δὲ πάντως μετὰ

τος καὶ περιουσίας τινὸς ὑφίσταται. 2. καὶ ἔστιν 12 ις, ὡς τύπῳ περιλαβεῖν, συμπλήρωσις ἀπὸ πάντων ρερομένων τοῖς πράγμασι μορίων καὶ τόπων, ἰσχυ- ὸσα τῇ ἐπιμονῇ τὸ κατεσκευασμένον, ταύτῃ τῆς πί- ιεστῶσα, ὅτι ἡ μὲν τὸ ζητούμενον ἀποδεί[κνυσιν...

DESUNT DUO FOLIA.

λουσιώτατα, καθάπερ τι πέλαγος, εἰς ἀναπεπτα- ιέχυται πολλαχῇ μέγεθος. 3. ὅθεν, οἶμαι, κατὰ ὁ μὲν ῥήτωρ ἅτε παθητικώτερος πολὺ τὸ διάπυ- ι καὶ θυμικῶς ἐκφλεγόμενον, ὁ δὲ καθεστὼς ἐν ιαὶ μεγαλοπρεπεῖ σεμνότητι, οὐκ ἔψυκται μέν, ὀχ οὕτως ἐπέστραπται. 4. οὐ κατ' ἄλλα δέ τινα κ, ἐμοὶ δοκεῖ, φίλτατε Τερεντιανέ, (λέγω δέ, εἰ καὶ ς Ἕλλησιν ἐφεῖταί τι γινώσκειν,) καὶ ὁ Κικέρων μοσθένους ἐν τοῖς μεγέθεσι παραλλάττει· ὁ μὲν ὕψει τὸ πλέον ἀποτόμῳ, ὁ δὲ Κικέρων ἐν χύσει, ιὲν ἡμέτερος διὰ τὸ μετὰ βίας ἕκαστα, ἔτι δὲ τά- ὁμης δεινότητος οἷον καίειν τε ἅμα καὶ διαρπάζειν, ἱ τινι παρεικάζοιτ' ἂν ἢ κεραυνῷ, ὁ δὲ Κικέρων ριλαφής τις ἐμπρησμὸς οἶμαι πάντῃ νέμεται καὶ ται, πολὺ ἔχων καὶ ἐπίμονον ἀεὶ τὸ καῖον, καὶ ρονομούμενον ἄλλοτ' ἀλλοίως ἐν αὐτῷ καὶ κατὰ ὰς ἀνατρεφόμενον. 5. ἀλλὰ ταῦτα μὲν ὑμεῖς ἂν ν ἐπικρίνοιτε, καιρὸς δὲ τοῦ Δημοσθενικοῦ μὲν καὶ ὑπερτεταμένου ἔν τε ταῖς δεινώσεσι καὶ τοῖς ῖς πάθεσι, καὶ ἔνθα δεῖ τὸν ἀκροατὴν τὸ σύνολον αι· τῆς δὲ χύσεως, ὅπου χρὴ καταντλῆσαι· τοπη- τε γάρ, καὶ ἐπιλόγοις κατὰ τὸ πλέον καὶ παρα- , καὶ τοῖς φραστικοῖς ἅπασι καὶ ἐπιδεικτικοῖς, ις τε καὶ φυσιολογίαις, καὶ οὐκ ὀλίγοις ἄλλοις ἁρμόδιος.

13 Ὅτι μέντοι ὁ Πλάτων, (ἐπάνειμι γάρ,) τοιούτ
χεύματι ἀψοφητὶ ῥέων, οὐδὲν ἧττον μεγεθύνεται,
γνωκὼς τὰ ἐν τῇ Πολιτείᾳ, τὸν τύπον, οὐκ ἀγνοεῖς
ἄρα φρονήσεως," φησί, „καὶ ἀρετῆς ἄπειροι εὐωχί
καὶ τοῖς τοιούτοις ἀεὶ συνόντες, κάτω ὡς ἔοικε φέρ
καὶ ταύτῃ πλανῶνται διὰ βίου, πρὸς δὲ τὸ ἀληθὲ
οὔτ' ἀνέβλεψαν πώποτε οὔτ' ἀνηνέχθησαν οὐδὲ βε
τέ καὶ καθαρᾶς ἡδονῆς ἐγεύσαντο, ἀλλὰ βοσκημάτι
κην κάτω ἀεὶ βλέποντες καὶ κεκυφότες εἰς γῆν κ
τραπέζας βόσκονται χορταζόμενοι καὶ ὀχεύοντες
ἕνεκα τῆς τούτων πλεονεξίας λακτίζοντες καὶ κυρί
τες ἀλλήλους σιδηροῖς κέρασι καὶ ὁπλαῖς ἀποκτιννύ
δι' ἀπληστίαν."

2. Ἐνδείκνυται δ' ἡμῖν οὗτος ἀνήρ, εἰ βουλοίμε
κατολιγωρεῖν, ὡς καὶ ἄλλη τις παρὰ τὰ εἰρημένα
ἐπὶ τὰ ὑψηλὰ τείνει. ποία δὲ καὶ τίς αὕτη; ἡ τῶν ἔμ
σθεν μεγάλων συγγραφέων καὶ ποιητῶν μίμησίς τ
ζήλωσις. καί γε τούτου, φίλτατε, ἀπρὶξ ἐχώμεθ
σκοποῦ· πολλοὶ γὰρ ἀλλοτρίῳ θεοφοροῦνται πνε
τὸν αὐτὸν τρόπον, ὃν καὶ τὴν Πυθίαν λόγος ἔχει τρ
πλησιάζουσαν, ἔνθα ῥῆγμά ἐστι γῆς ἀναπνεῖν, ὥς φ
ἀτμὸν ἔνθεον, αὐτόθεν ἐγκύμονα τῆς δαιμονίου
σταμένην δυνάμεως παραυτίκα χρησμῳδεῖν κατ' ἐπί
αν. οὕτως ἀπὸ τῆς τῶν ἀρχαίων μεγαλοφυΐας εἰ
τῶν ζηλούντων ἐκείνους ψυχάς, ὡς ἀπὸ ἱερῶν στο
ἀπόρροιαί τινες φέρονται, ὑφ' ὧν ἐπιπνεόμενοι κ
μὴ λίαν φοιβαστικοὶ τῷ ἑτέρων συνενθουσιῶσι μεγ
3. μόνος Ἡρόδοτος Ὁμηρικώτατος ἐγένετο; Στησί
ἔτι πρότερον ὅ τε Ἀρχίλοχος, πάντων δὲ τούτων μάλ
ὁ Πλάτων ἀπὸ τοῦ Ὁμηρικοῦ κείνου νάματος εἰς α
μυρίας ὅσας παρατροπὰς ἀποχετευσάμενος. καὶ
ἡμῖν ἀποδείξεων ἔδει, εἰ μὴ τὰ ἐπ' εἴδους καὶ οἱ

Ἀμμώνιον ἐκλέξαντες ἀνέγραψαν. 4. ἔστι δ' οὐ κλοπὴ 13 τὸ πρᾶγμα, ἀλλ' ὡς ἀπὸ καλῶν ἠθῶν ἢ πλασμάτων ἢ δημιουργημάτων ἀποτύπωσις. καὶ οὐδ' ἂν ἐπακμάσαι μοι δοκεῖ τηλικαῦτά τινα τοῖς τῆς φιλοσοφίας δόγμασι, καὶ εἰς ποιητικὰς ὕλας πολλαχοῦ συνεμβῆναι καὶ φράσεις εἰ μὴ περὶ πρωτείων νὴ Δία παντὶ θυμῷ πρὸς Ὅμηρον, ὡς ἀνταγωνιστὴς νέος πρὸς ἤδη τεθαυμασμένον, ἴσως μὲν φιλονεικότερον καὶ οἱονεὶ διαδορατιζόμενος, οὐκ ἀνωφελῶς δ' ὅμως διηριστεύετο· „ἀγαθὴ“ γὰρ κατὰ τὸν Ἡσίοδον, „ἔρις ἥδε βροτοῖσι.“ καὶ τῷ ὄντι καλὸς οὗτος καὶ ἀξιονικότατος εὐκλείας ἀγών τε καὶ στέφανος, ἐν ᾧ καὶ τὸ ἡττᾶσθαι τῶν προγενεστέρων οὐκ ἄδοξον.

Οὐκοῦν καὶ ἡμᾶς, ἡνίκ' ἂν διαπονῶμεν ὑψηγορίας τι 14 καὶ μεγαλοφροσύνης δεόμενον, καλὸν ἀναπλάττεσθαι ταῖς ψυχαῖς, πῶς ἂν εἰ τύχοι ταὐτὸ τοῦθ' Ὅμηρος εἶπεν, πῶς δ' ἂν Πλάτων ἢ Δημοσθένης ὕψωσαν, ἢ ἐν ἱστορίᾳ Θουκυδίδης. προσπίπτοντα γὰρ ἡμῖν κατὰ ζῆλον ἐκεῖνα τὰ πρόσωπα καὶ οἷον διαπρέποντα, τὰς ψυχὰς ἀνοίσει πως πρὸς τὰ ἀνειδωλοποιούμενα μέτρα· 2. ἔτι δὲ μᾶλλον, εἰ κἀκεῖνο τῇ διανοίᾳ προσυπογράφοιμεν, πῶς ἂν τόδε τι ὑπ' ἐμοῦ λεγόμενον παρὼν Ὅμηρος ἤκουσεν ἢ Δημοσθένης, ἢ πῶς ἂν ἐπὶ τούτῳ διετέθησαν· τῷ γὰρ ὄντι μέγα τὸ ἀγώνισμα, τοιοῦτον ὑποτίθεσθαι τῶν ἰδίων λόγων δικαστήριον καὶ θέατρον, καὶ ἐν τηλικούτοις ἥρωσι κριταῖς τε καὶ μάρτυσιν ὑπέχειν τῶν γραφομένων εὐθύνας [πεπαῖχθαι]. 3. πλέον δὲ τούτων παρορμητικόν, εἰ προστιθείης, πῶς ἂν ἐμοῦ ταῦτα γράψαντος ὁ μετ' ἐμὲ πᾶς ἀκούσειεν αἰών; εἰ δέ τις αὐτόθεν φοβοῖτο, μὴ τοῦ ἰδίου βίου καὶ χρόνου φθέγξαιτό τι ὑπερήμερον, ἀνάγκη καὶ τὰ συλλαμβανόμενα ὑπὸ τῆς τούτου ψυχῆς ἀτελῆ καὶ τυφλὰ ὥσπερ ἀμβλοῦσθαι, πρὸς τὸν τῆς ὑστεροφημίας ὅλως μὴ τελεσφορούμενα χρόνον.

15 Ὄγκου καὶ μεγαληγορίας καὶ ἀγῶνος ἐπὶ τούτοις, ὦ νεανία, καὶ αἱ φαντασίαι παρασκευαστικώταται· οὕτω γοῦν εἰδωλοποιΐας αὐτὰς ἔνιοι λέγουσι· καλεῖται μὲν γὰρ κοινῶς φαντασία πᾶν τὸ ὁπωσοῦν ἐννόημα γεννητικὸν λόγου παριστάμενον· ἤδη δ' ἐπὶ τούτων κεκράτηκε τοὔνομα, ὅταν ἃ λέγεις ὑπ' ἐνθουσιασμοῦ καὶ πάθους βλέπειν δοκῇς, καὶ ὑπ' ὄψιν τιθῇς τοῖς ἀκούουσιν. 2. ὡς δ' ἕτερόν τι ἡ ῥητορικὴ φαντασία βούλεται, καὶ ἕτερον ἡ παρὰ ποιηταῖς, οὐκ ἂν λάθοι σε, οὐδ' ὅτι τῆς μὲν ἐν ποιήσει τέλος ἐστὶν ἔκπληξις, τῆς δ' ἐν λόγοις ἐνάργεια, ἀμφότεραι δ' ὅμως τότε ἐπιζητοῦσι καὶ τὸ συγκεκινημένον.

ὦ μῆτερ ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας·
αὗται γάρ, αὗται πλησίον θρώσκουσί μου.

καὶ

οἴ μοι, κτανεῖ με· ποῖ φύγω;

ἐνταῦθ' ὁ ποιητὴς αὐτὸς εἶδεν ἐρινύας· ὃ δ' ἐφαντάσθη, μικροῦ δεῖν θεάσασθαι καὶ τοὺς ἀκούοντας ἠνάγκασεν. 3. ἔστι μὲν οὖν φιλοπονώτατος ὁ Εὐριπίδης, δύο ταυτὶ πάθη, μανίας τε καὶ ἔρωτας, ἐκτραγῳδῆσαι, κἀν τούτοις, ὡς οὐκ οἶδ' εἴ τισιν ἑτέροις, ἐπιτυχέστατος, οὐ μὴν ἀλλὰ καὶ ταῖς ἄλλαις ἐπιτίθεσθαι φαντασίαις οὐκ ἄτολμος· ἥκιστά γέ τοι μεγαλοφυὴς ὢν ὅμως τὴν αὐτὸς αὑτοῦ φύσιν ἐν πολλοῖς γενέσθαι τραγικὴν προσηνάγκασε, καὶ παρ' ἕκαστα ἐπὶ τῶν μεγεθῶν, ὡς ὁ ποιητής,

οὐρῇ δὲ πλευράς τε καὶ ἰσχίον ἀμφοτέρωθεν
μαστίεται, ἓὲ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι.

4. τῷ γοῦν Φαέθοντι παραδιδοὺς τὰς ἡνίας ὁ Ἥλιος,

ἔλα δὲ μήτε Λιβυκὸν αἰθέρ' εἰσβαλών·
κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων, ἁψῖδα σὴν
κάτω διήσει

ησίν, εἶθ' ἑξῆς,
ἵει δ' ἐφ' ἑπτὰ Πλειάδων ἔχων δρόμον.
τοσαῦτ' ἀκούσας εἶτ' ἔμαρψεν ἡνίας·
κρούσας δὲ πλευρὰ πτεροφόρων ὀχημάτων
μεθῆκεν, αἱ δ' ἔπταντ' ἐπ' αἰθέρος πτύχας.
πατὴρ δ' ὄπισθε νῶτα Σειρίου βεβὼς
ἵππευε παῖδα νουθετῶν· ἐκεῖσ' ἔλα,
τῇδε στρέφ' ἅρμα, τῇδε.

ρ' οὐκ ἂν εἴποις, ὅτι ἡ ψυχὴ τοῦ γράφοντος συνεπιαίνει τοῦ ἅρματος, καὶ συγκινδυνεύουσα τοῖς ἵπποις υνεπτέρωται; οὐ γὰρ ἄν, εἰ μὴ τοῖς οὐρανίοις ἐκείνοις ργοις ἰσοδρομοῦσα ἐφέρετο, τοιαῦτ' ἄν ποτε ἐφαντάσθη. μοια καὶ τὰ ἐπὶ τῆς Κασσάνδρας αὐτῷ,

ἀλλ', ὦ φίλιπποι Τρῶες

. τοῦ δ' Αἰσχύλου φαντασίαις ἐπιτολμῶντος ἡρωϊκωάταις, ὥσπερ καὶ Ἑπτὰ ἐπὶ Θήβας παρ' αὐτῷ,

ἄνδρες (φησὶν) ἑπτὰ θούριοι λοχαγέται,
ταυροσφαγοῦντες εἰς μελάνδετον σάκος,
καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου,
Ἄρην τ' Ἐνυὼ καὶ φιλαίματον Φόβον
ὁρκωμότησαν,

ν ἴδιον αὐτῶν πρὸς ἀλλήλους δίχα οἴκτου συνομνύμει θάνατον, ἐνίοτε μέντοι ἀκατεργάστους καὶ οἱονεὶ οκοειδεῖς τὰς ἐννοίας καὶ ἀμαλάκτους φέροντος, ὅμως υτὸν ὁ Εὐριπίδης κἀκείνοις ὑπὸ φιλοτιμίας τοῖς κιννοις προσβιβάζει. 6. καὶ παρὰ μὲν Αἰσχύλῳ παραξως τὰ τοῦ Λυκούργου βασίλεια κατὰ τὴν ἐπιφάνειαν ῦ Διονύσου θεοφορεῖται,

ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη·

ὲ Εὐριπίδης τὸ αὐτὸ τοῦθ' ἑτέρως ἐφηδύνας ἐξεφώσε,

πᾶν δὲ συνεβάκχευ' ὄρος.

15 7. ἄκρως δὲ καὶ ὁ Σοφοκλῆς ἐπὶ τοῦ θνήσκοντος Οἰδίπου καὶ ἑαυτὸν μετὰ διοσημείας τινὸς θάπτοντος πεφάντασται, καὶ κατὰ τὸν ἀπόπλουν τῶν Ἑλλήνων, ἐπὶ τἈχιλλέως προφαινομένου τοῖς ἀναγομένοις ὑπὲρ τοῦ τάφου, ἣν οὐκ οἶδ' εἴ τις ὄψιν ἐναργέστερον εἰδωλοποίησε Σιμωνίδου· πάντα δ' ἀμήχανον παρατίθεσθαι. 8. οὐ μὴν ἀλλὰ τὰ μὲν παρὰ τοῖς ποιηταῖς μυθικωτέραν ἔχει τὴν ὑπερέκπτωσιν, ὡς ἔφην, καὶ πάντη τὸ πιστὸν ὑπεραίρουσαν, τῆς δὲ ῥητορικῆς φαντασίας κάλλιστον ἀεὶ τὸ ἔμπρακτον καὶ ἐνάληθες. δειναὶ καὶ ἔκφυλοι αἱ παραβάσεις, ἡνίκ' ἂν ᾖ ποιητικὸν τοῦ λόγου καὶ μυθῶδες τὸ πλάσμα, καὶ εἰς πᾶν προσεκπῖπτον τὸ ἀδύνατον, ὡς ἤδη νὴ Δία καὶ οἱ καθ' ἡμᾶς δεινοὶ ῥήτορες, καθάπερ οἱ τραγῳδοί, βλέπουσιν ἐρινύας, καὶ οὐδὲ ἐκεῖνο μαθεῖν οἱ γενναῖοι δύνανται, ὅτι ὁ λέγων Ὀρέστης

μέθες, μί' οὖσα τῶν ἐμῶν ἐρινύων·
μέσον μ' ὀχμάζεις, ὡς βάλῃς ἐς τάρταρον,

φαντάζεται ταῦθ' ὅτι μαίνεται. 9. τί οὖν ἡ ῥητορικὴ φαντασία δύναται; πολλὰ μὲν ἴσως καὶ ἄλλα τοῖς λόγοις ἐναγώνια καὶ ἐμπαθῆ προσεισφέρειν, κατακιρναμένη μέντοι ταῖς πραγματικαῖς ἐπιχειρήσεσιν οὐ πείθει τὸν ἀκροατὴν μόνον, ἀλλὰ καὶ δουλοῦται. καὶ μὴν εἴ τις, φησίν, αὐτίκα δὴ μάλα κραυγῆς ἀκούσειε πρὸ τῶν δικαστηρίων, εἶτ' εἴποι τις, ὡς ἀνέῳκται τὸ δεσμωτήριον, οἱ δὲ δεσμῶται φεύγουσιν, οὐθεὶς οὕτως οὔτε γέρων οὔτε νέος ὀλίγωρός ἐστιν, ὃς οὐχὶ βοηθήσει, καθ' ὅσον δύναται· εἰ δὲ δή τις εἴποι παρελθών, ὡς ὁ τούτους ἀφεὶς οὗτός ἐστιν, οὐδὲ λόγου τυχὼν παραυτίκ' ἂν ἀπόλοιτο. 10. ὡς νὴ Δία καὶ ὁ Ὑπερίδης κατηγορούμενος, ἐπειδὴ τοὺς δούλους μετὰ τὴν ἧτταν ἐλευθέρους ἐψηφίσατο, τοῦτο τὸ ψήφισμα, εἶπεν, οὐχ ὁ ῥήτωρ ἔγραψεν, ἀλλ' ἡ ἐν Χαιρωνείᾳ μάχη. ἅμα γὰρ τῷ πραγματικῷ

ἐπιχειρεῖν ὁ ῥήτωρ πεφάντασται, διὸ καὶ τὸν τοῦ πεί- 15
θειν ὅρον ὑπερβέβηκε τῷ λήμματι. 11. φύσει δέ πως ἐν τοῖς τοιούτοις ἅπασιν ἀεὶ τοῦ κρείττονος ἀκούομεν, ὅθεν ἀπὸ τοῦ ἀποδεικτικοῦ περιελκόμεθα εἰς τὸ κατὰ φαντασίαν ἐκπληκτικόν, ᾧ τὸ πραγματικὸν ἐγκρύπτεται περιλαμπόμενον. καὶ τοῦτ' οὐκ ἀπεικότως πάσχομεν· δυεῖν γὰρ συνταττομένων ὑφ' ἓν ἀεὶ τὸ κρεῖττον εἰς ἑαυτὸ τὴν θατέρου δύναμιν περισπᾷ.

12. Τοσαῦτα περὶ τῶν κατὰ τὰς νοήσεις ὑψηλῶν καὶ ὑπὸ μεγαλοφροσύνης μιμήσεως ἢ φαντασίας ἀπογεννωμένων ἀρκέσει.

Αὐτόθι μέντοι καὶ ὁ περὶ σχημάτων ἐφεξῆς τέτακται 16
τόπος· καὶ γὰρ ταῦτ', ἂν ὃν δεῖ σκευάζηται τρόπον, ὡς ἔφην, οὐκ ἂν ἡ τυχοῦσα μεγέθους εἴη μερίς. οὐ μὴν ἀλλ' ἐπεὶ τὸ πάντα διακριβοῦν πολύεργον ἐν τῷ παρόντι, μᾶλλον δ' ἀπεριόριστον, ὀλίγα τῶν ὅσα μεγαληγορίας ἀποτελεστικὰ τοῦ πιστώσασθαι τὸ προκείμενον ἕνεκα καὶ δὴ διέξιμεν. 2. ἀπόδειξιν ὁ Δημοσθένης ὑπὲρ τῶν πεπολιτευμένων εἰσφέρει· τίς δ' ἦν ἡ κατὰ φύσιν χρῆσις αὐτῆς; „οὐχ ἡμάρτετε, ὦ τὸν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀγῶνα ἀράμενοι· ἔχετε δὲ οἰκεῖα τούτου παραδείγματα· οὐδὲ γὰρ οἱ ἐν Μαραθῶνι ἥμαρτον οὐδ' οἱ ἐν Σαλαμῖνι οὐδ' οἱ ἐν Πλαταιαῖς.“ ἀλλ' ἐπειδὴ καθάπερ ἐμπνευσθεὶς ἐξαίφνης ὑπὸ θεοῦ καὶ οἱονεὶ φοιβόληπτος γενόμενος, τὸν τῶν ἀριστέων τῆς Ἑλλάδος ὅρκον ἐξεφώνησεν, „οὐκ ἔστιν ὅπως ἡμάρτετε, μὰ τοὺς [ἐν] Μαραθῶνι προκινδυνεύσαντας,“ φαίνεται δι' ἑνὸς τοῦ ὀμοτικοῦ σχήματος, ὅπερ ἐνθάδε ἀποστροφὴν ἐγὼ καλῶ, τοὺς μὲν προγόνους ἀποθεώσας, ὅτι δεῖ τοὺς οὕτως ἀποθανόντας ὡς θεοὺς ὀμνύναι παριστάνων, τοῖς δὲ κρίνουσι τὸ τῶν ἐκεῖ προκινδυνευσάντων ἐντιθεὶς φρόνημα, τὴν δὲ τῆς ἀποδείξεως φύσιν μεθεστακὼς εἰς

16 ὑπερβάλλον ὕψος καὶ βάθος καὶ ξένων καὶ ὑπερφυῶν ὅρκων ἀξιοπιστίαν, καὶ ἅμα παιώνειόν τινα καὶ ἀλεξιφάρμακον εἰς τὰς ψυχὰς τῶν ἀκουόντων καθιεὶς λόγον, ὡς κουφιζομένους ὑπὸ τῶν ἐγκωμίων μηδὲν ἔλαττον τῇ μάχῃ τῇ πρὸς Φίλιππον ἢ ἐπὶ τοῖς κατὰ Μαραθῶνα καὶ Σαλαμῖνα νικητηρίοις παρίστασθαι φρονεῖν· οἷς πᾶσι τοὺς ἀκροατὰς διὰ τοῦ σχηματισμοῦ συναρπάσας ᾤχετο. 3. καίτοι παρὰ τῷ Εὐπόλιδι τοῦ ὅρκου τὸ σπέρμα φασὶν εὑρῆσθαι,

οὐ γὰρ μὰ τὴν Μαραθῶνι τὴν ἐμὴν μάχην,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.

ἔστι δὲ οὐ τὸ ὁπωσοῦν τινὰ ὀμόσαι μέγα, τὸ δὲ ποῦ καὶ πῶς καὶ ἐφ' ὧν καιρῶν καὶ τίνος ἕνεκα. ἀλλ' ἐκεῖ μὲν οὐδέν ἐστ' εἰ μὴ ὅρκος, καὶ πρὸς εὐτυχοῦντας ἔτι καὶ οὐ δεομένους παρηγορίας τοὺς Ἀθηναίους, ἔτι δ' οὐχὶ τοὺς ἄνδρας ἀπαθανατίσας ὁ ποιητὴς ὤμοσεν, ἵνα τῆς ἐκείνων ἀρετῆς τοῖς ἀκούουσιν ἐντέκῃ λόγον ἄξιον, ἀλλ' ἀπὸ τῶν προκινδυνευσάντων ἐπὶ τὸ ἄψυχον ἀπεπλανήθη, τὴν μάχην· παρὰ δὲ τῷ Δημοσθένει πεπραγμάτευται πρὸς ἡττημένους ὁ ὅρκος, ὡς μὴ Χαιρώνειαν ἔτ' Ἀθηναίοις ἀτύχημα φαίνεσθαι, καὶ ταὐτόν, ὡς ἔφην, ἅμα ἀπόδειξίς ἐστι τοῦ μηδὲν ἡμαρτηκέναι παράδειγμα ὅρκων πίστις ἐγκώμιον προτροπή, 4. κἀπειδήπερ ὑπήντα τῷ ῥήτορι, λέγεις ἧτταν πολιτευσάμενος, εἶτα νίκας ὀμνύεις, διὰ ταῦθ' ἑξῆς κανονίζει καὶ δι' ἀσφαλείας ἄγει καὶ ὀνόματα, διδάσκων ὅτι κἀν βακχεύμασι νήφειν ἀναγκαῖον· „τοὺς προκινδυνεύσαντας," φησί, „Μαραθῶνι καὶ τοὺς Σαλαμῖνι καὶ τοὺς ἐπ' Ἀρτεμισίῳ ναυμαχήσαντας, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους." οὐδαμοῦ „νικήσαντας" εἶπεν, ἀλλὰ πάντῃ τὸ τοῦ τέλους διακέκλοφεν ὄνομα, ἐπειδήπερ ἦν εὐτυχὲς καὶ τοῖς κατὰ Χαιρώνειαν ὑπεναντίον. διόπερ καὶ τὸν ἀκροατὴν φθάνων εὐθὺς ὑπο-

ρέρει· „οὓς ἅπαντας ἔθαψε δημοσίᾳ, φησίν, ἡ πόλις, 16
Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας μόνους.“

Οὐκ ἄξιον ἐπὶ τούτου τοῦ τόπου παραλιπεῖν ἕν τι 17
τῶν ἡμῖν τεθεωρημένων, φίλτατε, ἔσται δὲ πάνυ σύντομον, ὅτι φύσει πως συμμαχεῖ τε τῷ ὕψει τὰ σχήματα καὶ πάλιν ἀντισυμμαχεῖται θαυμαστῶς ὑπ' αὐτοῦ. πῇ δὲ καὶ πῶς, ἐγὼ φράσω. ὕποπτόν ἐστιν ἰδίως τὸ διὰ σχημάτων πανουργεῖν καὶ προσβάλλον ὑπόνοιαν ἐνέδρας ἐπιβουλῆς παραλογισμοῦ. καὶ ταῦθ' ὅταν ᾖ πρὸς κριτὴν κύριον ὁ λόγος, μάλιστα δὲ πρὸς τυράννους βασιλέας ἡγεμόνας ἐν ὑπεροχαῖς· ἀγανακτεῖ γὰρ εὐθύς, εἰ ὡς παῖς ἄφρων ὑπὸ τεχνίτου ῥήτορος σχηματίοις κατασοφίζεται, καὶ εἰς καταφρόνησιν ἑαυτοῦ λαμβάνων τὸν παραλογισμὸν ἐνίοτε μὲν ἀποθηριοῦται τὸ σύνολον, κἂν ἐπικρατήσῃ δὲ τοῦ θυμοῦ, πρὸς τὴν πειθὼ τῶν λόγων πάντως ἀντιδιατίθεται. διόπερ καὶ τότε ἄριστον δοκεῖ τὸ σχῆμα, ὅταν αὐτὸ τοῦτο διαλανθάνῃ, ὅτι σχῆμά ἐστι. 2. τὸ τοίνυν ὕψος καὶ πάθος τῆς ἐπὶ τῷ σχηματίζειν ὑπονοίας ἀλέξημα καὶ θαυμαστή τις ἐπικουρία καθίσταται, καί πως παραληφθεῖσα ἡ τοῦ πανουργεῖν τέχνη τοῖς πάθεσι καὶ μεγέθεσι τὸ λοιπὸν δέδυκε, καὶ πᾶσαν ὑποψίαν ἐκπέφευγεν. ἱκανὸν δὲ τεκμήριον τὸ προειρημένον, μὰ τοὺς [ἐν] Μαραθῶνι. τίνι γὰρ ἐνταῦθ' ὁ ῥήτωρ ἀπέκρυψε τὸ σχῆμα; δῆλον ὅτι τῷ φωτὶ αὐτῷ. σχεδὸν γὰρ ὥσπερ καὶ τἀμυδρὰ φέγγη ἐναφανίζεται τῷ ἡλίῳ περιαυγούμενα, οὕτω τὰ τῆς ῥητορικῆς σοφίσματα ἐξαμαυροῖ περιχυθὲν πάντοθεν τὸ μέγεθος. οὐ πόρρω δ' ἴσως τούτου καὶ ἐπὶ τῆς ζωγραφίας τι συμβαίνει· ἐπὶ γὰρ τοῦ αὐτοῦ κειμένων ἐπιπέδου παραλλήλων ἐν χρώμασι τῆς σκιᾶς τε καὶ τοῦ φωτός, ὅμως προϋπαντᾷ τε τὸ φῶς ταῖς ὄψεσι καὶ οὐ μόνον ἔξοχον, ἀλλὰ καὶ ἐγγυτέρω παρὰ πολὺ φαίνεται. οὐκοῦν καὶ τῶν λόγων τὰ πάθη καὶ τὰ

17 *ὕψη ταῖς ψυχαῖς ἡμῶν ἐγγυτέρω κείμενα διά τε φυσικήν τινα συγγένειαν καὶ διὰ λαμπρότητα, ἀεὶ τῶν σχημάτων προεμφανίζεται καὶ τὴν τέχνην αὐτῶν ἀποσκιάζει καὶ οἷον ἐν καταλήψει τηρεῖ.*

18 *Τί δ' ἐκεῖνα φῶμεν, τὰς πεύσεις τε καὶ ἐρωτήσεις; ἆρα οὐκ αὐταῖς ταῖς τῶν σχημάτων εἰδοποιΐαις παρὰ πολὺ ἐμπρακτότερα καὶ σοβαρώτερα συντείνει τὰ λεγόμενα; „ἢ βούλεσθε εἰπέ μοι περιϊόντες ἀλλήλων πυνθάνεσθαι· λέγεταί τι καινόν; τί γὰρ ἂν γένοιτο τούτου καινότερον ἢ Μακεδὼν ἀνὴρ καταπολεμῶν τὴν Ἑλλάδα; τέθνηκε Φίλιππος; οὐ μὰ Δί' ἀλλ' ἀσθενεῖ. τί δ' ὑμῖν διαφέρει; καὶ γὰρ ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον ποιήσετε.“ καὶ πάλιν, „πλέωμεν ἐπὶ Μακεδονίαν,“ φησί. „ποῖ δὴ προσορμιούμεθα, ἤρετό τις. εὑρήσει τὰ σαθρὰ τῶν Φιλίππου πραγμάτων αὐτὸς ὁ πόλεμος.“ ἦν δὲ ἁπλῶς ῥηθὲν τὸ πρᾶγμα τῷ παντὶ καταδεέστερον, νυνὶ δὲ τὸ ἔνθουν καὶ ὀξύρροπον τῆς πεύσεως καὶ ἀποκρίσεως καὶ τὸ πρὸς ἑαυτὸν ὡς πρὸς ἕτερον ἀνθυπαντᾶν οὐ μόνον ὑψηλότερον ἐποίησε τῷ σχηματισμῷ τὸ ῥηθέν, ἀλλὰ καὶ πιστότερον. 2. ἄγει γὰρ τὰ παθητικὰ τότε μᾶλλον, ὅταν αὐτὰ φαίνηται μὴ ἐπιτηδεύειν αὐτὸς ὁ λέγων, ἀλλὰ γεννᾶν ὁ καιρός, ἡ δ' ἐρώτησις ἡ εἰς ἑαυτὸν καὶ ἀπόκρισις μιμεῖται τοῦ πάθους τὸ ἐπίκαιρον. σχεδὸν γὰρ ὡς οἱ ὑφ' ἑτέρων ἐρωτώμενοι παροξυνθέντες ἐκ τοῦ παραχρῆμα πρὸς τὸ λεχθὲν ἐναγωνίως καὶ ἀπ' αὐτῆς τῆς ἀληθείας ἀνθυπαντῶσιν, οὕτως τὸ σχῆμα τῆς πεύσεως καὶ ἀποκρίσεως εἰς τὸ δοκεῖν ἕκαστον τῶν ἐσκεμμένων ἐξ ὑπογυίου κεκινῆσθαί τε καὶ λέγεσθαι τὸν ἀκροατὴν ἀπάγον [καὶ] παραλογίζεται. ἔτι τοίνυν, (ἓν γάρ τι τῶν ὑψηλοτάτων τὸ Ἡροδότειον πεπίστευται,) εἰ οὕτως ἕ. . . .*

DESUNT DUO FOLIA.

. . . , πλοκα ἐκπίπτει καὶ οἱονεὶ προχεῖται τὰ λεγό- 19 μενα, ὀλίγου δεῖν φθάνοντα καὶ αὐτὸν τὸν λέγοντα. „καὶ συμβαλόντες, φησὶν ὁ Ξενοφῶν, τὰς ἀσπίδας ἐωθοῦντο ἐμάχοντο ἀπέκτεινον ἀπέθνησκον.“ 2. καὶ τὰ τοῦ Εὐρυλόχου,

ἤλθομεν ὡς ἐκέλευες, ἀνὰ δρυμά, φαίδιμ' Ὀδυσσεῦ.
εἴδομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλά.

τὰ γὰρ ἀλλήλων διακεκομμένα καὶ οὐδὲν ἧττον κατεσπευσμένα φέρει τῆς ἀγωνίας ἔμφασιν ἅμα καὶ ἐμποδιζούσης τι καὶ συνδιωκούσης. τοιαῦθ' ὁ ποιητὴς ἐξήνεγκε διὰ τῶν ἀσυνδέτων.

Ἄκρως δὲ καὶ ἐπὶ ταὐτὸ σύνοδος τῶν σχημάτων εἴωθε 20 κινεῖν, ὅταν δύο ἢ τρία οἷον κατὰ συμμορίαν ἀνακιρνάμενα ἀλλήλοις ἐρανίζῃ τὴν ἰσχὺν τὴν πειθὼ τὸ κάλλος, ὁποῖα καὶ τὰ εἰς τὸν Μειδίαν ταῖς ἀναφοραῖς ὁμοῦ καὶ τῇ διατυπώσει συναναπεπλεγμένα τὰ ἀσύνδετα. „πολλὰ γὰρ ἂν ποιήσειεν ὁ τύπτων, ὧν ὁ παθὼν ἔνια οὐδ' ἂν ἀπαγγεῖλαι δύναιτο ἑτέρῳ, τῷ σχήματι τῷ βλέμματι τῇ φωνῇ.“ 2. εἶθ' ἵνα μὴ ἐπὶ τῶν αὐτῶν ὁ λόγος ἰὼν στῇ, (ἐν στάσει γὰρ τὸ ἠρεμοῦν, ἐν ἀταξίᾳ δὲ τὸ πάθος, ἐπεὶ φορὰ ψυχῆς καὶ συγκίνησίς ἐστιν,) εὐθὺς ἐπ' ἄλλα μεθήλατο ἀσύνδετα καὶ ἐπαναφοράς· „τῷ σχήματι τῷ βλέμματι τῇ φωνῇ, ὅταν ὡς ὑβρίζων, ὅταν ὡς ἐχθρός, ὅταν κονδύλοις, ὅταν [ὡς δοῦλον] ἐπὶ κόρρης.“ οὐδὲν ἄλλο διὰ τούτων ὁ ῥήτωρ ἢ ὅπερ ὁ τύπτων ἐργάζεται, τὴν διάνοιαν τῶν δικαστῶν τῇ ἐπαλλήλῳ πλήττει φορᾷ. 3. εἶτ' ἐντεῦθεν πάλιν ὡς αἱ καταιγίδες, ἄλλην ποιούμενος ἐμβολήν, „ὅταν κονδύλοις, ὅταν ἐπὶ κόρρης,“ φησί· „ταῦτα κινεῖ, ταῦτα ἐξίστησιν ἀνθρώπους, ἀήθεις ὄντας τοῦ προπηλακίζεσθαι· οὐδεὶς ἂν ταῦτα ἀπαγγέλλων δύναιτο τὸ δεινὸν παραστῆσαι.“ οὐκοῦν τὴν μὲν φύσιν τῶν ἐπαναφορῶν καὶ ἀσυνδέτων πάντη

φυλάττει τῇ συνεχεῖ μεταβολῇ· οὕτως αὐτῷ καὶ ἡ τάξις ἄτακτον, καὶ ἔμπαλιν ἡ ἀταξία ποιὰν περιλαμβάνει τάξιν.

21 Φέρε οὖν, πρόσθες τοὺς συνδέσμους, εἰ θέλεις, ὡς ποιοῦσιν οἱ Ἰσοκράτειοι· „καὶ μὴν οὐδὲ τοῦτο χρὴ παραλιπεῖν, ὡς πολλὰ ἂν ποιήσειεν ὁ τύπτων, πρῶτον μὲν τῷ σχήματι, εἶτα δὲ τῷ βλέμματι, εἶτά γε μὴν αὐτῇ τῇ φωνῇ“ καὶ εἴσῃ κατὰ τὸ ἑξῆς οὕτως παραγράφων, ὡς τοῦ πάθους τὸ συνδεδιωγμένον καὶ ἀποτραχυνόμενον, ἐὰν τοῖς συνδέσμοις ἐξομαλίσῃς εἰς λειότητα ἄκεντρόν τε προσπίπτει, καὶ εὐθὺς ἔσβεσται. 2. ὥσπερ γὰρ εἴ τις συνδήσειε τῶν θεόντων τὰ σώματα, τὴν φορὰν αὐτῶν ἀφῄρηται, οὕτως καὶ τὸ πάθος ὑπὸ τῶν συνδέσμων καὶ τῶν ἄλλων προσθηκῶν ἐμποδιζόμενον ἀγανακτεῖ· τὴν γὰρ ἐλευθερίαν ἀπολύει τοῦ δρόμου καὶ τὸ ὡς ἀπ᾽ ὀργάνου τινὸς ἀφίεσθαι.

22 Τῆς δὲ αὐτῆς ἰδέας καὶ τὰ ὑπερβατὰ θετέον, ἔστι δὲ λέξεων ἢ νοήσεων ἐκ τοῦ κατ᾽ ἀκολουθίαν κεκινημένη τάξις, καὶ οἱονεὶ χαρακτὴρ ἐναγωνίου πάθους ἀληθέστατος. ὡς γὰρ τῷ ὄντι ὀργιζόμενοι ἢ φοβούμενοι ἢ ἀγανακτοῦντες ἢ ὑπὸ ζηλοτυπίας ἢ ὑπὸ ἄλλου τινός, (πολλὰ γὰρ καὶ ἀναρίθμητα πάθη, καὶ οὐδ᾽ ἂν εἰπεῖν τις ὁπόσα δύναιτο), ἑκάστοτε παραπίπτοντες, ἄλλα προθέμενοι πολλάκις ἐπ᾽ ἄλλα μεταπηδῶσι, μέσα τινὰ παρεμβαλόντες ἀλόγως, εἶτ᾽ αὖθις ἐπὶ τὰ πρῶτα ἀνακυκλοῦντες, καὶ πάντῃ πρὸς τῆς ἀγωνίας, ὡς ὑπ᾽ ἀστάτου πνεύματος, τῇδε κἀκεῖσε ἀγχιστρόφως ἀντισπώμενοι, τὰς λέξεις τὰς νοήσεις τὴν ἐκ τοῦ κατὰ φύσιν εἱρμοῦ παντοίως πρὸς μυρίας τροπὰς ἐναλλάττουσι τάξιν· οὕτως παρὰ τοῖς ἀρίστοις συγγραφεῦσι διὰ τῶν ὑπερβατῶν ἡ μίμησις ἐπὶ τὰ τῆς φύσεως ἔργα φέρεται. τότε γὰρ ἡ τέχνη τέλειος, ἡνίκ᾽ ἂν φύσις εἶναι δοκῇ, ἡ δ᾽ αὖ φύσις ἐπιτυχής, ὅταν λανθάνουσαν περιέχῃ τὴν τέχνην, ὥσπερ λέγει ὁ Φω-

καεὺς Διονύσιος παρὰ τῷ Ἡροδότῳ· „ἐπὶ ξυροῦ γὰρ 22 ἀκμῆς ἔχεται ἡμῖν τὰ πράγματα, ἄνδρες Ἴωνες, εἶναι ἐλευθέροις ἢ δούλοις, καὶ τούτοις ὡς δραπέτῃσι. νῦν ὦν ὑμεῖς ἢν μὲν βούλησθε ταλαιπωρίας ἐνδέχεσθαι, παραχρῆμα μὲν πόνος ὑμῖν, οἷοί τε δὲ ἔσεσθε ὑπερβαλέσθαι τοὺς πολεμίους.“ 2. ἐνταῦθ' ἦν τὸ κατὰ τάξιν· „ὦ ἄνδρες Ἴωνες, νῦν καιρός ἐστιν ὑμῖν πόνους ἐπιδέχεσθαι· ἐπὶ ξυροῦ γὰρ ἀκμῆς ἔχεται ἡμῖν τὰ πράγματα.“ ὁ δὲ τὸ μέν, ἄνδρες Ἴωνες,“ ὑπερεβίβασεν· προεισέβαλεν οὖν εὐθὺς ἀπὸ τοῦ φόβου, ὡς μηδ' ἀρχὴν φθάνων πρὸς τὸ ἐφεστὸς δέος προσαγορεῦσαι τοὺς ἀκούοντας· ἔπειτα δὲ τὴν τῶν νοημάτων ἀπέστρεψε τάξιν. πρὸ γὰρ τοῦ φῆσαι ὅτι αὐτοὺς δεῖ πονεῖν, (τοῦτο γάρ ἐστιν ὃ παρακελεύεται), ἔμπροσθεν ἀποδίδωσι τὴν αἰτίαν, δι' ἣν πονεῖν δεῖ, „ἐπὶ ξυροῦ ἀκμῆς,“ φήσας, „ἔχεται ἡμῖν τὰ πράγματα·“ ὡς μὴ δοκεῖν ἐσκεμμένα λέγειν, ἀλλ' ἠναγκασμένα. 3. ἔτι δὲ μᾶλλον ὁ Θουκυδίδης καὶ τὰ φύσει πάντως ἡνωμένα καὶ ἀδιανέμητα ὅμως ταῖς ὑπερβάσεσιν ἀπ' ἀλλήλων ἄγειν δεινότατος. ὁ δὲ Δημοσθένης οὐχ οὕτως μὲν αὐθάδης ὥσπερ οὗτος, πάντων δ' ἐν τῷ γένει τούτῳ κατακορέστατος, καὶ πολὺ τὸ ἀγωνιστικὸν ἐκ τοῦ ὑπερβιβάζειν καὶ ἔτι νὴ Δία τὸ ἐξ ὑπογυίου λέγειν συνεμφαίνων, καὶ πρὸς τούτοις εἰς τὸν κίνδυνον τῶν μακρῶν ὑπερβατῶν τοὺς ἀκούοντας συνεπισπώμενος· 4. πολλάκις γὰρ τὸν νοῦν ὃν ὥρμησεν εἰπεῖν, ἀνακρεμάσας, καὶ μεταξὺ ὡς εἰς ἀλλόφυλον καὶ ἀπεοικυῖαν τάξιν, ἄλλ' ἐπ' ἄλλοις διὰ μέσου καὶ ἔξωθέν ποθεν ἐπεισκυκλῶν, εἰς φόβον ἐμβαλὼν τὸν ἀκροατήν, ὡς ἐπὶ παντελεῖ τοῦ λόγου διαπτώσει, καὶ συναποκινδυνεύειν ὑπ' ἀγωνίας τῷ λέγοντι συναναγκάσας, εἶτα παραλόγως διὰ μακροῦ τὸ πάλαι ζητούμενον εὐκαίρως ἐπὶ τέλει που προσαποδοὺς αὐτῷ τῷ κατὰ τὰς ὑπερβάσεις παραβόλῳ καὶ ἀκροσφαλεῖ πολὺ

22 μᾶλλον ἐκπλήττει. φειδὼ δὲ τῶν παραδειγμάτων ἔστω διὰ τὸ πλῆθος.

23 Τά γε μὴν πολύπτωτα λεγόμενα ἀθροισμοὶ καὶ μεταβολαὶ καὶ κλίμακες πάνυ ἀγωνιστικά, ὡς οἶσθα, κόσμου τε καὶ παντὸς ὕψους καὶ πάθους συνεργά. τί δέ; αἱ τῶν πτώσεων χρόνων προσώπων ἀριθμῶν γενῶν ἐναλλάξεις πῶς ποτε καταποικίλλουσι καὶ ἐπεγείρουσι τὰ ἑρμηνευτικά; 2. φημὶ δὲ τῶν κατὰ τοὺς ἀριθμοὺς οὐ μόνα ταῦτα κοσμεῖν, ὁπόσα τοῖς τύποις ἑνικὰ ὄντα τῇ δυνάμει κατὰ τὴν ἀναθεώρησιν πληθυντικὰ εὑρίσκεται·

αὐτίκα, φησί, λαὸς ἀπείρων
θύννων [ἐπ'] ἠϊόνεσσι διϊστάμενοι κελάδησαν·

ἀλλ' ἐκεῖνα μᾶλλον παρατηρήσεως ἄξια, ὅτι ἔσθ' ὅπου προσπίπτει τὰ πληθυντικὰ μεγαλορρημονέστερα, καὶ αὐτῷ δοξοκοποῦντα τῷ ὄχλῳ τοῦ ἀριθμοῦ. 3. τοιαῦτα παρὰ τῷ Σοφοκλεῖ τὰ ἐπὶ τοῦ Οἰδίπου·

ὦ γάμοι, γάμοι,
ἐφύσαθ' ἡμᾶς καὶ φυτεύσαντες πάλιν
ἀνεῖτε ταὐτὸ σπέρμα κἀπεδείξατε
πατέρας, ἀδελφούς, παῖδας, αἷμ' ἐμφύλιον,
νύμφας, γυναῖκας, μητέρας τε χὠπόσα
αἴσχιστ' ἐν ἀνθρώποισιν ἔργα γίγνεται.

πάντα γὰρ ταῦτα ἓν ὄνομά ἐστιν Οἰδίπους, ἐπὶ δὲ θατέρου Ἰοκάστη, ἀλλ' ὅμως χυθεὶς εἰς τὰ πληθυντικὰ ὁ ἀριθμὸς συνεπλήθυσε καὶ τὰς ἀτυχίας, καὶ ὡς ἐκεῖνα πεπλεόνασται,

ἐξῆλθον Ἕκτορές τε καὶ Σαρπηδόνες·

καὶ τὸ Πλατωνικόν, ὃ καὶ ἑτέρωθι παρετεθείμεθα, ἐπὶ τῶν Ἀθηναίων· 4. „οὐ γὰρ Πέλοπες οὐδὲ Κάδμοι οὐδ' Αἴγυπτοί τε καὶ Δαναοὶ οὐδ' ἄλλοι πολλοὶ φύσει βάρβαροι συνοικοῦσιν ἡμῖν, ἀλλ' αὐτοὶ Ἕλληνες, οὐ μιξοβάρβαροι οἰκοῦμεν“ καὶ τὰ ἑξῆς. φύσει γὰρ ἐξακούεται τὰ

πράγματα κομπωδέστερα ἀγεληδὸν οὕτως τῶν ὀνομάτων 23
ἐπισυντιθεμένων. οὐ μέντοι δεῖ ποιεῖν αὐτὸ ἐπ᾽ ἄλλων,
εἰ μὴ ἐφ᾽ ὧν δέχεται τὰ ὑποκείμενα αὔξησιν ἢ πληθὺν
ἢ ὑπερβολὴν ἢ πάθος, ἕν τι τούτων ἢ τὰ πλείονα, ἐπεί
τοι τὸ πανταχοῦ κώδωνας ἐξῆφθαι λίαν σοφιστικόν.

Ἀλλὰ μὴν καὶ τοὐναντίον τὰ ἐκ τῶν πληθυντικῶν 24
εἰς τὰ ἑνικὰ ἐπισυναγόμενα ἐνίοτε ὑψηλοφανέστατα.
„ἔπειθ᾽ ἡ Πελοπόννησος ἅπασα διειστήκει," φησί.
„καὶ δὴ Φρυνίχῳ δρᾶμα Μιλήτου ἅλωσιν διδάξαντι εἰς
δάκρυα ἔπεσε τὸ θέητρον." τὸ ἐκ τῶν διῃρημένων εἰς
τὰ ἡνωμένα ἐπισυστρέψαι τὸν ἀριθμὸν σωματοειδέστε-
ρον. 2. αἴτιον δ᾽ ἐπ᾽ ἀμφοῖν τοῦ κόσμου ταὐτὸν οἶμαι·
ὅπου τε γὰρ ἑνικὰ ὑπάρχει τὰ ὀνόματα, τὸ πολλὰ ποιεῖν
αὐτὰ παρὰ δόξαν ἐμπαθοῦς· ὅπου τε πληθυντικά, τὸ εἰς
ἕν τι εὔηχον συγκορυφοῦν τὰ πλείονα διὰ τὴν εἰς τοὐ-
ναντίον μεταμόρφωσιν τῶν πραγμάτων ἐν τῷ παραλόγῳ.

Ὅταν γε μὴν τὰ παρεληλυθότα τοῖς χρόνοις εἰσάγῃς 25
ὡς γινόμενα καὶ παρόντα, οὐ διήγησιν ἔτι τὸν λόγον,
ἀλλ᾽ ἐναγώνιον πρᾶγμα ποιήσεις. „πεπτωκὼς δέ τις,
φησὶν ὁ Ξενοφῶν, ὑπὸ τῷ Κύρου ἵππῳ καὶ πατούμενος
παίει τῇ μαχαίρᾳ εἰς τὴν γαστέρα τὸν ἵππον· ὁ δὲ σφα-
δάζων ἀποσείεται τὸν Κῦρον, ὁ δὲ πίπτει." τοιοῦτος ἐν
τοῖς πλείστοις ὁ Θουκυδίδης.

Ἐναγώνιος δ᾽ ὁμοίως καὶ ἡ τῶν προσώπων ἀντιμετά- 26
θεσις, καὶ πολλάκις ἐν μέσοις τοῖς κινδύνοις ποιοῦσα τὸν
ἀκροατὴν δοκεῖν στρέφεσθαι,

φαίης κ᾽ ἀκμῆτας καὶ ἀτειρέας
ἄντεσθ᾽ ἐν πολέμῳ· ὡς ἐσσυμένως ἐμάχοντο.

καὶ ὁ Ἄρατος,

μὴ κείνῳ ἐνὶ μηνὶ περικλύζοιο θαλάσσῃ.

2. ὧδέ που καὶ ὁ Ἡρόδοτος· „ἀπὸ δὲ Ἐλεφαντίνης πό-
λεως ἄνω πλεύσεαι, καὶ ἔπειτα ἀφίξῃ ἐς πεδίον λεῖον·

26 διεξελθὼν δὲ τοῦτο τὸ χωρίον αὖθις εἰς ἕτερον πλοῖον ἐμβὰς πλεύσεαι δύ' ἡμέρας, ἔπειτα ἥξεις ἐς πόλιν μεγάλην, ᾗ ὄνομα Μερόη.“ ὁρᾷς, ὦ ἑταῖρε, ὡς παραλαβών σου τὴν ψυχὴν διὰ τῶν τόπων ἄγει τὴν ἀκοὴν ὄψιν ποιῶν; πάντα δὲ τὰ τοιαῦτα πρὸς αὐτὰ ἀπερειδόμενα τὰ πρόσωπα ἐπ' αὐτῶν ἵστησι τὸν ἀκροατὴν τῶν ἐνεργουμένων. 3. καὶ ὅταν ὡς οὐ πρὸς ἅπαντας, ἀλλ' ὡς πρὸς μόνον τινὰ λαλῇς,

Τυδείδην δ' οὐκ ἂν γνοίης, ποτέροισι μετείη,

ἐμπαθέστερόν τε αὐτὸν ἅμα καὶ προσεκτικώτερον, καὶ ἀγῶνος ἔμπλεων ἀποτελέσεις, ταῖς εἰς ἑαυτὸν προσφωνήσεσιν ἐξεγειρόμενον.

27 Ἔτι γε μὴν ἔσθ' ὅτε περὶ προσώπου διηγούμενος ὁ συγγραφεὺς ἐξαίφνης παρενεχθεὶς εἰς τὸ αὐτὸ πρόσωπον ἀντιμεθίσταται, καὶ ἔστι τὸ τοιοῦτον εἶδος ἐκβολή τις πάθους.

Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο, μακρὸν ἀΰσας,
νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα.
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἐθέλοντα νοήσω,
αὐτοῦ οἱ θάνατον μητίσσομαι.

οὐκοῦν τὴν μὲν διήγησιν ἅτε πρέπουσαν ὁ ποιητὴς προσῆψεν ἑαυτῷ, τὴν δ' ἀπότομον ἀπειλὴν τῷ θυμῷ τοῦ ἡγεμόνος ἐξαπίνης οὐδὲν προδηλώσας περιέθηκεν· ἐψύχετο γάρ, εἰ παρενετίθει· ἔλεγε δὲ τοῖά τινα καὶ τοῖα ὁ Ἕκτωρ· νυνὶ δ' ἔφθακεν ἄφνω τὸν μεταβαίνοντα ἡ τοῦ λόγου μετάβασις. 2. διὸ καὶ ἡ πρόχρησις τοῦ σχήματος τότε, ἡνίκα ὀξὺς ὁ καιρὸς ὢν διαμέλλειν τῷ γράφοντι μὴ διδῷ, ἀλλ' εὐθὺς ἐπαναγκάζῃ μεταβαίνειν ἐκ προσώπων εἰς πρόσωπα, ὡς καὶ παρὰ τῷ Ἑκαταίῳ· „Κῆϋξ δὲ ταῦτα δεινὰ ποιούμενος αὐτίκα ἐκέλευε τοὺς Ἡρακλείδας ἐπιγόνους ἐκχωρεῖν· οὐ γὰρ ὑμῖν δυνατός εἰμι ἀρήγειν. ὡς μὴ ὦν αὐτοί τε ἀπόλησθε κἀμὲ τρώ-

ητε, ἐς ἄλλον τινὰ δῆμον ἀποίχεσθαι.“ 3. ὁ μὲν γὰρ 27 ¦ημοσθένης κατ' ἄλλον τινὰ τρόπον ἐπὶ τοῦ Ἀριστογεί›νος ἐμπαθὲς τὸ πολυπρόσωπον καὶ ἀγχίστροφον παρέ‹ακεν. „καὶ οὐδεὶς ὑμῶν χολήν,“ φησίν, „οὐδ' ὀρ›ὴν ἔχων εὑρεθήσεται, ἐφ' οἷς ὁ βδελυρὸς οὗτος καὶ ναιδὴς βιάζεται; ὃς ὦ μιαρώτατε ἁπάντων, κεκλειμέης σοι τῆς παρρησίας οὐ κιγκλίσιν, οὐδὲ θύραις, ἃ καὶ :αρανοίξειεν ἄν τις“ ἐν ἀτελεῖ τῷ νῷ ταχὺ διαλλάξας, :αὶ μόνον οὐ μίαν λέξιν διὰ τὸν θυμὸν εἰς δύο διασπά'ας πρόσωπα, „ὃς ὦ μιαρώτατε,“ εἶτα πρὸς τὸν Ἀριστο'είτονα τὸν λόγον ἀποστρέψας καὶ ἀπολιπεῖν δοκῶν, ¦μως διὰ τοῦ πάθους πολὺ πλέον ἐπέστρεψεν, 4. οὐκ ἄλλως ἡ Πηνελόπη,

κῆρυξ, τίπτε δέ σε πρόεσαν μνηστῆρες ἀγαυοί;
εἰπέμεναι δμωῇσιν Ὀδυσσῆος θείοιο,
ἔργων παύσασθαι, σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι;
μὴ μνηστεύσαντες, μηδ' ἄλλοθ' ὁμιλήσαντες,
ὕστατα καὶ πύματα νῦν ἐνθάδε δειπνήσειαν,
οἳ θάμ' ἀγειρόμενοι βίοτον κατακείρετε πολλόν,
κτῆσιν Τηλεμάχοιο δαΐφρονος· οὐδέ τι πατρῶν
ὑμετέρων τῶν πρόσθεν ἀκούετε παῖδες ἐόντες,
οἷος Ὀδυσσεὺς ἔσκε.

Καὶ μέντοι περίφρασις ὡς οὐχ ὑψηλοποιόν, οὐδεὶς 28 ν οἶμαι διστάσειεν. ὡς γὰρ ἐν μουσικῇ διὰ τῶν παραώνων καλουμένων ὁ κύριος φθόγγος ἡδίων ἀποτελεῖαι, οὕτως ἡ περίφρασις πολλάκις συμφθέγγεται τῇ κυ›ολογίᾳ, καὶ εἰς κόσμον ἐπὶ πολὺ συνηχεῖ, καὶ μάλιστ' ' μὴ ἔχῃ φυσῶδές τι καὶ ἄμουσον, 2. ἀλλ' ἡδέως κεκρα›νον. ἱκανὸς δὲ τοῦτο τεκμηριῶσαι καὶ Πλάτων κατὰ ›ν εἰσβολὴν τοῦ Ἐπιταφίου· „ἔργῳ μὲν ἡμῖν οἵδ' ουσι τὰ προσήκοντα σφίσιν αὐτοῖς, ὧν τυχόντες πο›ύονται τὴν εἱμαρμένην πορείαν, προπεμφθέντες κοινῇ

28 μὲν ὑπὸ τῆς πόλεως, ἰδίᾳ δὲ ἕκαστος ὑπὸ τῶν προσηκόντων." οὐκοῦν τὸν θάνατον εἶπεν εἱμαρμένην πορείαν, τὸ δὲ τετυχηκέναι τῶν νομιζομένων, προπομπήν τινα δημοσίαν ὑπὸ τῆς πατρίδος. ἆρα δὴ τούτοις μετρίως ὤγκωσε τὴν νόησιν, ἣν ψιλὴν λαβὼν τῇ λέξει ἐμελοποίησε, καθάπερ ἁρμονίαν τινὰ τὴν ἐκ τῆς περιφράσεως περιχεάμενος εὐμέλειαν; 3. καὶ Ξενοφῶν· „πόνον δὲ τοῦ ζῆν ἡδέως ἡγεμόνα νομίζετε· κάλλιστον δὲ πάντων καὶ πολεμικώτατον κτῆμα εἰς τὰς ψυχὰς συγκεκόμισθε· ἐπαινούμενοι γὰρ μᾶλλον ἢ τοῖς ἄλλοις πᾶσι χαίρετε." ἀντὶ τοῦ πονεῖν θέλετε, „πόνον ἡγεμόνα τοῦ ζῆν ἡδέως ποιεῖσθε" εἰπών, καὶ τἆλλ' ὁμοίως ἐπεκτείνας μεγάλην τινὰ ἔννοιαν τῷ ἐπαίνῳ προσπεριωρίσατο. 4. καὶ τὸ ἀμίμητον ἐκεῖνο τοῦ Ἡροδότου· „τῶν δὲ Σκυθέων τοῖς συλήσασι τὸ ἱερὸν ἐνέβαλεν ἡ θεὸς θήλειαν νοῦσον."

29 Ἐπίκηρον μέντοι τὸ πρᾶγμα, ἡ περίφρασις, τῶν ἄλλων πλέον, εἰ μὴ συμμέτρως τινὶ λαμβάνοιτο· εὐθὺς γὰρ ἀβλεμὲς προσπίπτει, κουφολογίας τε ὄζον καὶ παχύτατον· ὅθεν καὶ τὸν Πλάτωνα, (δεινὸς γὰρ ἀεὶ περὶ σχῆμα κἄν τισιν ἀκαίρως,) ἐν τοῖς νόμοις λέγοντα, ὡς οὔτε ἀργυροῦν δεῖ πλοῦτον οὔτε χρυσοῦν ἐν πόλει ἱδρυμένον ἐᾶν οἰκεῖν, διαχλευάζουσιν, ὡς εἰ πρόβατα, φησίν, ἐκώλυε κεκτῆσθαι, δῆλον ὅτι προβάτειον ἂν καὶ βόειον πλοῦτον ἔλεγεν.

2. Ἀλλὰ γὰρ ἅλις ὑπὲρ τῆς εἰς τὰ ὑψηλὰ τῶν σχημάτων χρήσεως ἐκ παρενθήκης τοσαῦτα πεφιλολογίσθω, Τερεντιανὲ φίλτατε· πάντα γὰρ ταῦτα παθητικωτέρους καὶ συγκεκινημένους ἀποτελεῖ τοὺς λόγους· πάθος δὲ ὕψους μετέχει τοσοῦτον, ὁπόσον ἦθος ἡδονῆς.

30 Ἐπειδὴ μέντοι ἡ τοῦ λόγου νόησις ἥ τε φράσις, τὰ
31 πλείω δὲ ἑκατέρου διέπτυκται, ἴθι δή, ἂν τοῦ φραστικοῦ μέρους ἤ τινα λοιπὰ ἔτι, προσεπιθεασώμεθα. ὅτι μὲν

τοίνυν ἡ τῶν κυρίων καὶ μεγαλοπρεπῶν ὀνομάτων ἐκ- 30 λογὴ θαυμαστῶς ἄγει καὶ κατακηλεῖ τοὺς ἀκούοντας, (καὶ ὡς πᾶσι τοῖς ῥήτορσι καὶ συγγραφεῦσι κατ' ἄκρον ἐπιτήδευμα,) μέγεθος ἅμα κάλλος εὐπίνειαν βάρος ἰσχὺν κράτος, ἔτι δὲ τἆλλα, ἂν ὦσί τινα, τοῖς λόγοις ὥσπερ ἀγάλμασι καλλίστοις, δι' αὐτῆς ἐπανθεῖν παρασκευάζουσα, καὶ οἱονεὶ ψυχήν τινα τοῖς πράγμασι φωνητικὴν ἐντιθεῖσα, μὴ καὶ περιττὸν ᾖ πρὸς εἰδότας διεξιέναι. φῶς γὰρ τῷ ὄντι ἴδιον τοῦ νοῦ τὰ καλὰ ὀνόματα. 2. ὁ μέντοι γε ὄγκος αὐτῶν οὐ πάντη χρειώδης, ἐπεὶ τοῖς μικροῖς πραγματίοις περιτιθέναι μεγάλα καὶ σεμνὰ ὀνόματα ταὐτὸν ἂν φαίνοιτο, ὡς εἴ τις τραγικὸν προσωπεῖον μέγα παιδὶ περιθείη νηπίῳ, πλὴν ἐν μὲν ποιήσει καὶ ἱ . . . .

DESUNT QUATUOR FOLIA.

. . . . πτικώτατον καὶ γόνιμον, τὸ δ' Ἀνακρέοντος· 31 „οὐκέτι Θρηικίης ἐπιστρέφομαι.“ ταύτῃ καὶ τὸ τοῦ Θεοπόμπου, καὶ τὸν ἐπήνετον, διὰ τὸ ἀνάλογον ἔμοιγε σημαντικώτατα ἔχειν δοκεῖ, ὅπερ ὁ Καικίλιος οὐκ οἶδ' ὅπως καταμέμφεται. „δεινὸς ὤν,“ φησίν, „ὁ Φίλιππος ἀναγκοφαγῆσαι πράγματα.“ ἔστιν ἄρ' ὁ ἰδιωτισμὸς ἐνίοτε τοῦ κόσμου παρὰ πολὺ ἐμφανιστικώτερον· ἐπιγινώσκεται γὰρ αὐτόθεν ἐκ τοῦ κοινοῦ βίου, τὸ δὲ σύνηθες ἤδη πιστότερον. οὐκοῦν ἐπὶ τοῦ τὰ αἰσχρὰ καὶ ῥυπαρὰ τλημόνως καὶ μετ' ἡδονῆς ἕνεκα πλεονεξίας καρτεροῦντος τὸ ἀναγκοφαγεῖν τὰ πράγματα ἐναργέστατα παρείληπται. 2. ὧδέ πως ἔχει καὶ τὰ Ἡροδότεια· „ὁ Κλεομένης,“ φησί, „μανεὶς τὰς ἑαυτοῦ σάρκας ξιφιδίῳ κατέτεμεν εἰς λεπτά, ἕως ὅλον καταχορδεύων ἑαυτὸν διέφθειρεν.“ καὶ „ὁ Πύθης ἕως τοῦδε ἐπὶ τῆς νεὼς ἐμάχετο, ἕως ἅπας κατεκρεουργήθη.“ ταῦτα γὰρ ἐγγὺς παραξύει τὸν ἰδιώτην, ἀλλ' οὐκ ἰδιωτεύει τῷ σημαντικῷ.

32 Περὶ δὲ πλήθους καὶ μεταφορῶν ὁ μὲν Καικίλιος ἔοικε συγκατατίθεσθαι τοῖς δύο ἢ τὸ πλεῖστον τρεῖς ἐπὶ ταὐτοῦ νομοθετοῦσι τάττεσθαι. (ὁ γὰρ Δημοσθένης ὅρος καὶ τῶν τοιούτων.) ὁ τῆς χρείας δὲ καιρός, ἔνθα τὰ πάθη χειμάρρου δίκην ἐλαύνεται, καὶ τὴν πολυπλήθειαν αὐτῶν ὡς ἀναγκαίαν ἐνταῦθα συνεφέλκεται. 2. „ἄνθρωποι, φησί, μιαροὶ [καὶ ἀλάστορες] καὶ κόλακες, ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, τὴν ἐλευθερίαν προπεπωκότες πρότερον Φιλίππῳ, νυνὶ δ' Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν, τὴν δ' ἐλευθερίαν καὶ τὸ μηδένα ἔχειν δεσπότην, ἃ τοῖς πρότερον Ἕλλησιν ὅροι τῶν ἀγαθῶν ἦσαν καὶ κανόνες, ἀνατετροφότες.“ ἐνταῦθα τῷ πλήθει τῶν τροπικῶν ὁ κατὰ τῶν προδοτῶν ἐπιπροσθεῖ τοῦ ῥήτορος θυμός. 3. διόπερ ὁ μὲν Ἀριστοτέλης καὶ ὁ Θεόφραστος μειλίγματά φασί τινα τῶν θρασειῶν εἶναι ταῦτα μεταφορῶν, τά, „ὡσπερεὶ φάναι,“ καί, „οἱονεί,“ καί, „εἰ χρὴ τοῦτον εἰπεῖν τὸν τρόπον,“ καί, „εἰ δεῖ παρακινδυνευτικώτερον λέξαι.“ ἡ γὰρ ὑποτίμησις, φασίν, ἰᾶται τὰ τολμηρά. 4. ἐγὼ δὲ καὶ ταῦτα μὲν ἀποδέχομαι, ὅμως δὲ πλήθους καὶ τόλμης μεταφορῶν, (ὅπερ ἔφην κἀπὶ τῶν σχημάτων,) τὰ εὔκαιρα καὶ σφοδρὰ πάθη καὶ τὸ γενναῖον ὕψος εἶναί φημι ἴδιά τινα ἀλεξιφάρμακα, ὅτι τῷ ῥοθίῳ τῆς φορᾶς ταυτὶ πέφυκεν ἅπαντα τἄλλα παρασύρειν καὶ προωθεῖν, μᾶλλον δὲ καὶ ὡς ἀναγκαῖα πάντως εἰσπράττεσθαι τὰ παράβολα, καὶ οὐκ ἐᾷ τὸν ἀκροατὴν σχολάζειν περὶ τὸν τοῦ πλήθους ἔλεγχον διὰ τὸ συνενθουσιᾶν τῷ λέγοντι. 5. ἀλλὰ μὴν ἔν γε ταῖς τοπηγορίαις καὶ διαγραφαῖς οὐκ ἄλλο τι οὕτως κατασημαντικόν, ὡς οἱ συνεχεῖς καὶ ἐπάλληλοι τρόποι. δι' ὧν καὶ παρὰ Ξενοφῶντι ἡ τἀνθρωπίνου σκήνους ἀνατομὴ πομπικῶς, καὶ ἔτι μᾶλλον ἀναζωγραφεῖται θείως παρὰ τῷ Πλάτωνι. τὴν μὲν κεφα-

λὴν αὐτοῦ φησιν ἀκρόπολιν, ἰσθμὸν δὲ μέσον διῳκοδο- 32
μῆσθαι μεταξὺ τοῦ στήθους τὸν αὐχένα, σφονδύλους τε ὑπεστηρῖχθαί φησιν οἷον στρόφιγγας, καὶ τὴν μὲν ἡδονὴν ἀνθρώποις εἶναι κακῶν δέλεαρ, γλῶσσαν δὲ γεύσεως δοκίμιον· ἄναμμα δὲ τῶν φλεβῶν τὴν καρδίαν, καὶ πηγὴν τοῦ περιφερομένου σφοδρῶς αἵματος, εἰς τὴν δορυφορικὴν οἴκησιν κατατεταγμένην· τὰς δὲ διαδρομὰς τῶν πόρων ὀνομάζει στενωπούς· „τῇ δὲ πηδήσει τῆς καρδίας, ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ καὶ τῇ τοῦ θυμοῦ ἐπεγέρσει, ἐπειδὴ διάπυρος ἦν, ἐπικουρίαν μηχανώμενοι,“ φησί, „τὴν τοῦ πλεύμονος ἰδέαν ἐνεφύτευσαν, μαλακὴν καὶ ἄναιμον καὶ σήραγγας ἐντὸς ἔχουσαν οἷον μάλαγμα, ἵν' ὁ θυμὸς ὁπότ' ἐν αὐτῇ ζέσῃ, πηδῶσα εἰς ὑπεῖκον μὴ λυμαίνηται·“ καὶ τὴν μὲν τῶν ἐπιθυμιῶν οἴκησιν προσεῖπεν ὡς γυναικωνῖτιν, τὴν τοῦ θυμοῦ δὲ ὥσπερ ἀνδρωνῖτιν· τόν γε μὴν σπλῆνα τῶν ἐντὸς μαγεῖον, ὅθεν πληρούμενος τῶν ἀποκαθαιρομένων μέγας καὶ ὕπουλος αὔξεται. „μετὰ δὲ ταῦτα σαρξὶ πάντα,“ φησί, „κατεσκίασαν, προβολὴν τῶν ἔξωθεν τὴν σάρκα, οἷον τὰ πιλήματα, προθέμενοι·“ νομὴν δὲ σαρκῶν ἔφη τὸ αἷμα· τῆς δὲ τροφῆς ἕνεκα, φησί, διωχέτευσαν τὸ σῶμα, τέμνοντες ὥσπερ ἐν κήποις ὀχετούς, ὡς ἔκ τινος νάματος ἐπιόντος, ἀραιοῦ ὄντος αὐλῶνος τοῦ σώματος, τὰ τῶν φλεβῶν ῥέοι νάματα· ἡνίκα δὲ ἡ τελευτὴ παραστῇ, λύεσθαί φησι τὰ τῆς ψυχῆς οἱονεὶ νεὼς πείσματα, μεθεῖσθαί τε αὐτὴν ἐλευθέραν. 6. ταῦτα καὶ τὰ παραπλήσια μυρί' ἄττα ἐστὶν ἑξῆς· ἀπόχρη δὲ τὰ δεδηλωμένα, ὡς μεγάλαι τε φύσιν εἰσὶν αἱ τροπικαί, καὶ ὡς ὑψηλοποιὸν αἱ μεταφοραί, καὶ ὅτι οἱ παθητικοὶ καὶ φραστικοὶ κατὰ τὸ πλεῖστον αὐταῖς χαίρουσι τόποι. 7. ὅτι μέντοι καὶ ἡ χρῆσις τῶν τρόπων, ὥσπερ τἆλλα πάντα καλὰ ἐν λόγοις, προαγωγὸν ἀεὶ πρὸς τὸ ἄμετρον, δῆλον ἤδη, κἂν

32 ἐγὼ μὴ λέγω. ἐπὶ γὰρ τούτοις καὶ τὸν Πλάτωνα οὐχ ἥκιστα διασύρουσι, πολλάκις ὥσπερ ὑπὸ βακχείας τινὸς τῶν λόγων, εἰς ἀκράτους καὶ ἀπηνεῖς μεταφορὰς καὶ εἰς ἀλληγορικὸν στόμφον ἐκφερόμενον. „οὐ γὰρ ῥᾴδιον ἐπινοεῖν," φησίν, „ὅτι πόλιν εἶναι δεῖ δίκην κρατῆρος κεκραμένην, οὗ μαινόμενος μὲν οἶνος ἐγκεχυμένος ζεῖ, κολαζόμενος δὲ ὑπὸ νήφοντος ἑτέρου θεοῦ, καλὴν κοινωνίαν λαβὼν ἀγαθὸν πόμα καὶ μέτριον ἀπεργάζεται." νήφοντα γάρ φασι θεὸν τὸ ὕδωρ λέγειν, κόλασιν δὲ τὴν κρᾶσιν, ποιητοῦ τινος τῷ ὄντι οὐχὶ νήφοντός ἐστι. 8. τοῖς τοιούτοις ἐλαττώμασιν ἐπιχειρῶν ὅμως αὐτὸ καὶ ὁ Καικίλιος ἐν τοῖς ὑπὲρ Λυσίου συγγράμμασιν ἀπεθάρρησε τῷ παντὶ Λυσίαν ἀμείνω Πλάτωνος ἀποφήνασθαι, δυσὶ πάθεσι χρησάμενος ἀκρίτοις· φιλῶν γὰρ τὸν Λυσίαν ὡς οὐδ' αὐτὸς αὑτόν, ὅμως μᾶλλον μισεῖ τῷ παντὶ Πλάτωνα ἢ Λυσίαν φιλεῖ. πλὴν οὗτος μὲν ὑπὸ φιλονεικίας οὐδὲ τὰ θέματα ὁμολογούμενα, καθάπερ ᾠήθη *. ὡς γὰρ ἀναμάρτητον καὶ καθαρὸν τὸν ῥήτορα προφέρει πολλαχῇ διημαρτημένου τοῦ Πλάτωνος, τὸ δ' ἦν ἄρα οὐχὶ τοιοῦτον, οὐδὲ ὀλίγου δεῖν.

33 Φέρε δή, λάβωμεν τῷ ὄντι καθαρόν τινα συγγραφέα καὶ ἀνέγκλητον. ἆρ' οὐκ ἄξιόν ἐστι διαπορῆσαι περὶ αὐτοῦ τούτου καθολικῶς, πότερόν ποτε κρεῖττον ἐν ποιήμασι καὶ λόγοις, μέγεθος ἐν ἐνίοις διημαρτημένοις, ἢ τὸ σύμμετρον μὲν ἐν τοῖς κατορθώμασιν, ὑγιὲς δὲ πάντη καὶ ἀδιάπτωτον; καὶ ἔτι νὴ Δία, πότερόν ποτε αἱ πλείους ἀρεταὶ τὸ πρωτεῖον ἐν λόγοις, ἢ αἱ μείζους δικαίως ἂν φέροιντο; ἔστι γὰρ ταῦτ' οἰκεῖα τοῖς περὶ ὕψους σκέμματα, καὶ ἐπικρίσεως ἐξ ἅπαντος δεόμενα. 2. ἐγὼ δ' οἶδα μέν, ὡς αἱ ὑπερμεγέθεις φύσεις ἥκιστα καθαραί· τὸ γὰρ ἐν παντὶ ἀκριβὲς κίνδυνος μικρότητος, ἐν δὲ τοῖς μεγέθεσιν, ὥσπερ ἐν τοῖς ἄγαν πλούτοις, εἶναί τι χρὴ καὶ

:αρολιγωρούμενον; μήποτε δὲ τοῦτο καὶ ἀναγκαῖον ᾖ, 33 ὸ τὰς μὲν ταπεινὰς καὶ μέσας φύσεις διὰ τὸ μηδαμῇ παιακινδυνεύειν μηδὲ ἐφίεσθαι τῶν ἄκρων, ἀναμαρτήτους ἰς ἐπὶ τὸ πολὺ καὶ ἀσφαλεστέρας διαμένειν, τὰ δὲ μεγάλα πισφαλῆ δι' αὐτὸ γίνεσθαι τὸ μέγεθος. 3. ἀλλὰ μὴν οὐδὲ κεῖνο ἀγνοῶ, τὸ δεύτερον, ὅτι φύσει πάντα τὰ ἀνθρώτεια ἀπὸ τοῦ χείρονος ἀεὶ μᾶλλον ἐπιγινώσκεται, καὶ :ῶν μὲν ἁμαρτημάτων ἀνεξάλειπτος ἡ μνήμη παραμένει, :ῶν καλῶν δὲ ταχέως ἀπορρεῖ. 4. παρατεθειμένος δ' οὐκ ὀλίγα καὶ αὐτὸς ἁμαρτήματα καὶ Ὁμήρου καὶ τῶν ἄλλων, ὅσοι μέγιστοι, καὶ ἥκιστα τοῖς πταίσμασιν ἀρεσκόμενος, ὅμως δὲ οὐχ ἁμαρτήματα μᾶλλον αὐτὰ ἑκούσια καλῶν, ἢ παροράματα δι' ἀμέλειαν εἰκῇ που καὶ ὡς ἔτυχεν ὑπὸ μεγαλοφυΐας ἀνεπιστάτως παρενηνεγμένα, οὐδὲν ἧττον οἶμαι τὰς μείζονας ἀρετάς, εἰ καὶ μὴ ἐν πᾶσι διομαλίζοιεν, τὴν τοῦ πρωτείου ψῆφον μᾶλλον ἀεὶ φέρεσθαι, κἂν εἰ μηδενὸς ἑτέρου, τῆς μεγαλοφροσύνης αὐτῆς ἕνεκα· ἐπεὶ τοίγε καὶ ἄπτωτος ὁ Ἀπολλώνιος ἐν τοῖς Ἀργοναύταις ποιητής, κἀν τοῖς βουκολικοῖς πλὴν ὀλίγων τῶν ἔξωθεν ὁ Θεόκριτος ἐπιτυχέστατος, ἆρ' οὖν Ὅμηρος ἂν μᾶλλον, ἢ Ἀπολλώνιος ἐθέλοις γενέσθαι; 5. τί δέ; Ἐρατοσθένης ἐν τῇ Ἠριγόνῃ (διὰ πάντων γὰρ ἀμώμητον τὸ ποιημάτιον) Ἀρχιλόχου πολλὰ καὶ ἀνοικονόμητα παρασύροντος, κἀκείνης τῆς ἐκβολῆς τοῦ δαιμονίου πνεύματος, ἣν ὑπὸ νόμον τάξαι δύσκολον, ἆρα δὴ μείζων ποιητής; τί δ'; ἐν μέλεσι μᾶλλον ἂν εἶναι Βακχυλίδης ἕλοιο Πίνδαρος· καὶ ἐν τραγῳδίᾳ Ἴων ὁ Χῖος, ἢ νὴ Δία Σοφοκλῆς; ἐπειδὴ οἱ μὲν ἀδιάπτωτοι καὶ ἐν τῷ γλαφυρῷ πάντη κεκαλλιγραφημένοι· ὁ δὲ Πίνδαρος καὶ ὁ Σοφοκλῆς ὁτὲ μὲν οἷον πάντα ἐπιφλέγουσι τῇ φορᾷ, σβέννυνται δ' ἀλόγως πολλάκις, καὶ πίπτουσιν ἀτυχέστατα.

33 ἢ οὐδεὶς ἂν εὖ φρονῶν ἑνὸς δράματος, τοῦ Οἰδίποδος, εἰς ταὐτὸ συνθεὶς τὰ Ἴωνος ἀντιτιμήσαιτο ἑξῆς.

34 *Εἰ δ' ἀριθμῷ, μὴ τῷ ἀληθεῖ κρίνοιτο τὰ κατορθώματα, οὕτως ἂν καὶ Ὑπερίδης τῷ παντὶ προέχοι Δημοσθένους. ἔστι γὰρ αὐτοῦ πολυφωνότερος, καὶ πλείους ἀρετὰς ἔχων, καὶ σχεδὸν ὕπακρος ἐν πᾶσιν, ὡς ὁ πένταθλος, ὥστε τῶν μὲν πρωτείων ἐν ἅπασι τῶν ἄλλων ἀγωνιστῶν λείπεσθαι, πρωτεύειν δὲ τῶν ἰδιωτῶν. 2. ὁ μέν γε Ὑπερίδης, πρὸς τῷ πάντα ἔξω γε τῆς συνθέσεως μιμεῖσθαι τὰ Δημοσθένεια κατορθώματα καὶ τὰς Λυσιακὰς ἐκ περιττοῦ περιείληφεν ἀρετάς τε καὶ χάριτας. καὶ γὰρ λαλεύματα ἀφελείας ἔνθα χρή, καὶ οὐ πάντα ἑξῆς καὶ μονοτόνως, ὡς ὁ Δημοσθένης, λέγει· τό τε ἠθικὸν ἔχει μετὰ γλυκύτητος ἡδὺ λιτῶς ἐφηδυνόμενον· ἄφατοί τε περὶ αὐτόν εἰσιν ἀστεϊσμοί, μυκτὴρ πολιτικώτατος, εὐγένεια, τὸ κατὰ τὰς εἰρωνείας εὐπάλαιστρον, σκώμματα οὐκ ἄμουσα, οὐδ' ἀνάγωγα, κατὰ τοὺς Ἀττικοὺς ἐκείνους, ἀλλ' ἐπικείμενα, διασυρμός τε ἐπιδέξιος, καὶ πολὺ τὸ κωμικὸν καὶ μετὰ παιδιᾶς εὐστόχου κέντρον, ἀμίμητον δὲ εἰπεῖν τὸ ἐν πᾶσι τούτοις ἐπαφρόδιτον· οἰκτίσασθαί τε προσφυέστατος, ἔτι δὲ μυθολογῆσαι κεχυμένος, καὶ ἐν ὑγρῷ πνεύματι διεξοδεῦσαι ἔτι εὐκαμπὴς ἄκρος, ὥσπερ ἀμέλει τὰ μὲν περὶ τὴν Λητὼ ποιητικώτερα, τὸν δ' ἐπιτάφιον ἐπιδεικτικῶς, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος, διέθετο. 3. ὁ δὲ Δημοσθένης ἀνηθοποίητος, ἀδιάχυτος, ἥκιστα ὑγρὸς ἢ ἐπιδεικτικός, ἁπάντων ἑξῆς τῶν προειρημένων κατὰ τὸ πλέον ἄμοιρος. ἔνθα μέντοι γελοῖος εἶναι βιάζεται καὶ ἀστεῖος, οὐ γέλωτα κινεῖ μᾶλλον ἢ καταγελᾶται, ὅταν δὲ ἐγγίζειν θέλη τῷ ἐπίχαρις εἶναι, τότε πλέον ἀφίσταται. τό γέ τοι περὶ Φρύνης ἢ Ἀθηνογένους λογίδιον ἐπιχειρήσας γράφειν ἔτι μᾶλλον ἂν Ὑπερίδην συνέστησεν. 4. ἀλλ' ἐπειδήπερ, οἶμαι, τὰ μὲν θατέρου*

αλά, καὶ εἰ πολλά, ὅμως ἀμεγέθη καρδίῃ νήφοντος, 34 ργὰ καὶ τὸν ἀκροατὴν ἠρεμεῖν ἐῶντα, (οὐδεὶς γοῦν Ὑπερίδην ἀναγινώσκων φοβεῖται·) ὁ δὲ ἔνθεν ἑλὼν τοῦ μεγαλοφυεστάτου καὶ ἐπ' ἄκρον ἀρετὰς συντετελεσμένας, ὑψηγορίας τόνον, ἔμψυχα πάθη, περιουσίαν, ἀγχίνοιαν, τάχος, ἔνθα δὴ κύριον, τὴν ἅπασιν ἀπρόσιτον δεινότητα καὶ δύναμιν, ἐπειδὴ ταῦτα, φημί, ὡς θεόπεμπτα δεινὰ δωρήματα, (οὐ γὰρ εἰπεῖν θεμιτὸν ἀνθρώπινα,) ἀθρόα ἐς ἑαυτὸν ἔσπασε, διὰ τοῦτο, οἷς ἔχει καλοῖς ἅπαντας ἀεὶ νικᾷ, καὶ ὑπὲρ ὧν οὐκ ἔχει, καὶ ὡσπερεὶ καταβροντᾷ καὶ καταφέγγει τοὺς ἀπ' αἰῶνος ῥήτορας· καὶ θᾶττον ἄν τις κεραυνοῖς φερομένοις ἀντανοῖξαι τὰ ὄμματα δύναιτο, ἢ ἀντοφθαλμῆσαι τοῖς ἐπαλλήλοις ἐκείνου πάθεσιν.

Ἐπὶ μέντοι τοῦ Πλάτωνος καὶ ἄλλη τίς ἐστιν, ὡς 35 ἔφην, διαφορά· οὐ γὰρ μεγέθει τῶν ἀρετῶν, ἀλλὰ καὶ τῷ πλήθει πολὺ λειπόμενος αὐτοῦ Λυσίας ὅμως πλεῖον ἔτι τοῖς ἁμαρτήμασι περιττεύει, ἢ ταῖς ἀρεταῖς λείπεται. 2. τί ποτ' οὖν εἶδον οἱ ἰσόθεοι ἐκεῖνοι καὶ τῶν μεγίστων ἐπορεξάμενοι τῆς συγγραφῆς, τῆς δ' ἐν ἅπασιν ἀκριβείας ὑπερφρονήσαντες; πρὸς πολλοῖς ἄλλοις ἐκεῖνο, ὅτι ἡ φύσις οὐ ταπεινὸν ἡμᾶς ζῷον οὐδ' ἀγεννὲς ἔκρινε, τὸν ἄνθρωπον, ἀλλ' ὡς εἰς μεγάλην τινὰ πανήγυριν, εἰς τὸν βίον καὶ εἰς τὸν σύμπαντα κόσμον ἐπάγουσα, θεατάς τινας τῶν ὅλων αὐτῆς ἐσομένους καὶ φιλοτιμοτάτους ἀγωνιστάς, εὐθὺς ἄμαχον ἔρωτα ἐνέφυσεν ἡμῶν ταῖς ψυχαῖς παντὸς ἀεὶ τοῦ μεγάλου καὶ ὡς πρὸς ἡμᾶς δαιμονιωτέρου. 3. διόπερ τῇ θεωρίᾳ καὶ διανοίᾳ τῆς ἀνθρωπίνης ἐπιβολῆς οὐδ' ὁ σύμπας κόσμος ἀρκεῖ, ἀλλὰ καὶ τοὺς τοῦ περιέχοντος πολλάκις ὅρους ἐκβαίνουσιν αἱ ἐπίνοιαι, καὶ εἴ τις περιβλέψαιτο ἐν κύκλῳ τὸν βίον, ὅσῳ πλέον ἔχει τὸ περιττὸν ἐν πᾶσι καὶ μέγα καὶ καλόν, τα-

35 χέως εἴσεται, πρὸς ἃ γεγόναμεν. 4. ἔνθεν φυσικῶς πως ἀγόμενοι, μὰ Δί', οὐ τὰ μικρὰ ῥεῖθρα θαυμάζομεν, εἰ καὶ διαυγῆ καὶ χρήσιμα, ἀλλὰ τὸν Νεῖλον καὶ Ἴστρον ἢ Ῥῆνον, πολὺ δ' ἔτι μᾶλλον τὸν Ὠκεανόν· οὐδέ γε τὸ ὑφ' ἡμῶν τουτὶ φλογίον ἀνακαιόμενον, ἐπεὶ καθαρὸν σώζει τὸ φέγγος, ἐκπληττόμεθα τῶν οὐρανίων μᾶλλον, καίτοι πολλάκις ἐπισκοτουμένων, οὐδὲ τῶν τῆς Αἴτνης κρατήρων ἀξιοθαυμαστότερον νομίζομεν, ἧς αἱ ἀναχοαὶ πέτρους τε ἐκ βυθοῦ καὶ ὅλους ὄχθους ἀναφέρουσι, καὶ ποταμοὺς ἐνίοτε τοῦ γένους ἐκείνου καὶ αὐτοῦ μόνου προχέουσι πυρός. 5. ἀλλ' ἐπὶ τῶν τοιούτων ἁπάντων ἐκεῖν' ἂν εἴποιμεν, ὡς εὐπόριστον μὲν ἀνθρώποις τὸ χρειῶδες ἢ καὶ ἀναγκαῖον, θαυμαστὸν δ' ὅμως αἰεὶ τὸ παράδοξον.

36 Οὐκοῦν ἐπί γε τῶν ἐν λόγοις μεγαλοφυῶν, ἐφ' ὧν οὐκέτ' ἔξω τῆς χρείας καὶ ὠφελείας πίπτει τὸ μέγεθος, προσήκει συνθεωρεῖν αὐτόθεν, ὅτι τοῦ ἀναμαρτήτου πολὺ ἀφεστῶτες οἱ τηλικοῦτοι ὅμως πάντες εἰσὶν ἐπάνω τοῦ θνητοῦ· καὶ τὰ μὲν ἄλλα τοὺς χρωμένους ἀνθρώπους ἐλέγχει, τὸ δ' ὕψος ἐγγὺς αἴρει μεγαλοφροσύνης θεοῦ· καὶ τὸ μὲν ἄπταιστον οὐ ψέγεται, τὸ μέγα δὲ καὶ θαυμάζεται. 2. τί χρὴ πρὸς τούτοις ἔτι λέγειν, ὡς ἐκείνων τῶν ἀνδρῶν ἕκαστος ἅπαντα τὰ σφάλματα ἑνὶ ἐξωνεῖται πολλάκις ὕψει καὶ κατορθώματι, καὶ τὸ κυριώτατον, ὡς, εἴ γε ἐκλέξας τὰ Ὁμήρου, τὰ Δημοσθένους, τὰ Πλάτωνος, τῶν ἄλλων ὅσοι δὴ μέγιστοι, παραπτώματα πάντα ὁμόσε συναθροίσειεν, ἐλάχιστον ἄν τι, μᾶλλον δ' οὐδὲ πολλοστημόριον ἂν εὑρεθείη τῶν ἐκείνοις τοῖς ἥρωσι πάντη κατορθουμένων. διὰ ταῦθ' ὁ πᾶς αὐτοῖς αἰὼν καὶ βίος, οὐ δυνάμενος ὑπὸ τοῦ φθόνου παρανοίας ἁλῶναι, φέρων ἀπέδωκε τὰ νικητήρια, καὶ ἄχρι νῦν ἀναφαίρετα φυλάττει, καὶ ἔοικε τηρήσειν,

ἔστ᾽ αν ὕδωρ τε ῥέῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ. 36 . πρὸς μέντοι γε τὸν γράφοντα, ὡς ὁ Κολοσσὸς ὁ ἡμαρτημένος οὐ κρείττων, ἢ ὁ Πολυκλείτου Δορυφόρος, :αράκειται πρὸς πολλοῖς εἰπεῖν, ὅτι ἐπὶ μὲν τέχνης θαυ:άζεται τὸ ἀκριβέστατον, ἐπὶ δὲ τῶν φυσικῶν ἔργων τὸ :έγεθος· φύσει δὲ λογικὸν ὁ ἄνθρωπος, κἀπὶ μὲν :νδριάντων ζητεῖται τὸ ὅμοιον ἀνθρώπῳ, ἐπὶ δὲ τοῦ ιόγου τὸ ὑπεραῖρον, ὡς ἔφην, τὰ ἀνθρώπινα. 4. προσήκει δ᾽ ὅμως, (ἀνακάμπτει γὰρ ἐπὶ τὴν ἀρχὴν ἡμῖν τοῦ ὑπομνήματος ἡ παραίνεσις,) ἐπειδὴ τὸ μὲν ἀδιάπτωτον ὡς ἐπὶ τὸ πολὺ τέχνης ἐστὶ κατόρθωμα, τὸ δ᾽ ἐν ὑπεροχῇ, πλὴν οὐχ ὁμότονον, μεγαλοφυΐας, βοήθημα τῇ φύσει πάντῃ πορίζεσθαι τὴν τέχνην· ἡ γὰρ ἀλληλουχία τούτων ἴσως γένοιτ᾽ ἂν τὸ τέλειον.

Τοσαῦτα ἦν ἀναγκαῖον ὑπὲρ τῶν προτεθέντων ἐπικρῖναι σκεμμάτων· χαιρέτω δ᾽ ἕκαστος οἷς ἥδεται.

Ταῖς δὲ μεταφοραῖς γειτνιῶσιν (ἐπανιτέον γὰρ) αἱ 37 παραβολαὶ καὶ εἰκόνες, ἐκείνῃ μόνον παραλλάττουσαι....

DESUNT DUO FOLIA.

....στοι καὶ αἱ τοιαῦται· „εἰ μὴ τὸν ἐγκέφαλον ἐν 38 ταῖς πτέρναις καταπεπατημένον φορεῖτε.“ διόπερ εἰδέναι χρὴ τὸ μέχρι ποῦ παροριστέον ἕκαστον· τὸ γὰρ ἐνίοτε περαιτέρω προεκπίπτειν ἀναιρεῖ τὴν ὑπερβολήν, καὶ τὰ τοιαῦτα ὑπερτεινόμενα χαλᾶται, ἔσθ᾽ ὅτε δὲ καὶ εἰς ὑπεναντιώσεις ἀντιπεριΐσταται. 2. ὁ γοῦν Ἰσοκράτης, οὐκ οἶδ᾽ ὅπως, παιδὸς πρᾶγμα ἔπαθεν, διὰ τὴν τοῦ πάντα αὐξητικῶς ἐθέλειν λέγειν φιλοτιμίαν. ἔστι μὲν γὰρ ὑπόθεσις αὐτῷ τοῦ Πανηγυρικοῦ λόγου, ὡς ἡ Ἀθηναίων πόλις ταῖς εἰς τοὺς Ἕλληνας εὐεργεσίαις ὑπερβάλλει τὴν Λακεδαιμονίων, ὁ δ᾽ εὐθὺς ἐν τῇ εἰσβολῇ ταῦτα τίθησιν· „ἔπειθ᾽ οἱ λόγοι τοσαύτην ἔχουσι δύνα-

38 μιν, ὥσθ' οἷόν τ' εἶναι καὶ τὰ μεγάλα ταπεινὰ ποιῆσαι, καὶ τοῖς μικροῖς περιθεῖναι μέγεθος, καὶ τὰ παλαιὰ καινῶς εἰπεῖν, καὶ περὶ τῶν νεωστὶ γεγενημένων ἀρχαίως διελθεῖν.“ οὐκοῦν, φησί τις, Ἰσόκρατες, οὕτως μέλλεις καὶ τὰ περὶ Λακεδαιμονίων καὶ Ἀθηναίων ἐναλλάττειν; σχεδὸν γὰρ τὸ τῶν λόγων ἐγκώμιον ἀπιστίας τῆς καθ' αὑτοῦ τοῖς ἀκούουσι παράγγελμα καὶ προοίμιον ἐξέθηκε. 3. μήποτ' οὖν ἄρισται τῶν ὑπερβολῶν (ὡς καὶ ἐπὶ τῶν σχημάτων προείπομεν) αἱ αὐτὸ τοῦτο διαλανθάνουσαι, ὅτι εἰσὶν ὑπερβολαί. γίνεται δὲ τὸ τοιόνδε, ἐπειδὰν ὑπὸ ἐκπαθείας μεγέθει τινὶ συνεκφωνῶνται περιστάσεως, ὅπερ ὁ Θουκυδίδης ἐπὶ τῶν ἐν Σικελίᾳ φθειρομένων ποιεῖ. „οἵ τε γὰρ Συρακούσιοι, φησίν, ἐπικαταβάντες τοὺς ἐν τῷ ποταμῷ μάλιστα ἔσφαζον, καὶ τὸ ὕδωρ εὐθὺς διέφθαρτο· ἀλλ' οὐδὲν ἧσσον ἐπίνετο ὁμοῦ τῷ πηλῷ ἡματωμένον, καὶ τοῖς πολλοῖς ἔτι ἦν περιμάχητον.“ αἷμα καὶ πηλὸν πινόμενα ὅμως εἶναι περιμάχητα ἔτι, ποιεῖ πιστὸν ἡ τοῦ πάθους ὑπεροχὴ καὶ περίστασις. 4. καὶ τὸ Ἡροδότειον ἐπὶ τῶν ἐν Θερμοπύλαις ὅμοιον. „ἐν τούτῳ,“ φησίν, „ἀλεξομένους μαχαίρῃσιν, ὅσοις αὐτῶν ἔτι ἐτύγχανον περιοῦσαι, καὶ χερσὶ καὶ στόμασι, κατέχωσαν οἱ βάρβαροι.“ ἐνταῦθ', οἷόν ἐστι τὸ καὶ στόμασι μάχεσθαι πρὸς ὡπλισμένους, καὶ ὁποῖόν τι τὸ κατακεχῶσθαι βέλεσιν, ἐρεῖς, πλὴν ὅμως ἔχει πίστιν· οὐ γὰρ τὸ πρᾶγμα ἕνεκα τῆς ὑπερβολῆς παραλαμβάνεσθαι δοκεῖ, ἡ ὑπερβολὴ δ' εὐλόγως γεννᾶσθαι πρὸς τοῦ πράγματος. 5. ἔστι γάρ, ὡς οὐ διαλείπω λέγων, παντὸς τολμήματος λεκτικοῦ λύσις καὶ πανάκειά τις τὰ ἐγγὺς ἐκστάσεως ἔργα καὶ πάθη· ὅθεν καὶ τὰ κωμικὰ καίτοιγ' εἰς ἀπιστίαν ἐκπίπτοντα πιθανὰ διὰ τὸ γελοῖον

ἀγρὸν ἔσχ' ἐλάττω γῆν ἔχοντ' ἐπιστολῆς

καὶ γὰρ ὁ γέλως πάθος ἐν ἡδονῇ. 6. αἱ δ' ὑπερβολαὶ

καθάπερ ἐπὶ τὸ μεῖζον, οὕτως καὶ ἐπὶ τοὔλαττον, ἐπειδὴ 38 κοινὸν ἀμφοῖν ἡ ἐπίτασις· καί πως ὁ διασυρμὸς ταπεινότητός ἐστιν αὔξησις.

Ἡ πέμπτη μοῖρα τῶν συντελουσῶν εἰς τὸ ὕψος, ὧν 39 γε] ἐν ἀρχῇ προὐθέμεθα, ἔθ' ἡμῖν λείπεται, κράτιστε, ἡ διὰ τῶν λόγων αὐτὴ ποιὰ σύνθεσις. ὑπὲρ ἧς ἐν δυσὶν ἀποχρώντως ἀποδεδωκότες συντάγμασιν, ὅσα γε τῆς θεωρίας ἦν ἡμῖν ἐφικτά, τοσοῦτον ἐξ ἀνάγκης προσθείημεν ἂν εἰς τὴν παροῦσαν ὑπόθεσιν, ὡς οὐ μόνον ἐστὶ πειθοῦς καὶ ἡδονῆς ἡ ἁρμονία φυσικὸν ἀνθρώποις, ἀλλὰ καὶ μεγαληγορίας καὶ πάθους θαυμαστόν τι ὄργανον. 2. οὐ γὰρ αὐλὸς μὲν ἐντίθησί τινα πάθη τοῖς ἀκροωμένοις, καὶ οἷον ἔκφρονας καὶ κορυβαντιασμοῦ πλήρεις ἀποτελεῖ, καὶ βάσιν ἐνδούς τινα ῥυθμοῦ πρὸς ταύτην ἀναγκάζει βαίνειν ἐν ῥυθμῷ καὶ συνεξομοιοῦσθαι τῷ μέλει τὸν ἀκροατήν, κἂν ἄμουσος ᾖ παντάπασι, καὶ νὴ Δία, φθόγγοι κιθάρας, οὐδὲν ἁπλῶς σημαίνοντες, ταῖς τῶν ἤχων μεταβολαῖς καὶ τῇ πρὸς ἀλλήλους κρούσει καὶ μίξει, τῆς συμφωνίας θαυμαστὸν ἐπάγουσι πολλάκις, ὡς ἐπίστασαι, θέλγητρον, 3. (καίτοι ταῦτα εἴδωλα καὶ μιμήματα νόθα ἐστὶ πειθοῦς, οὐχὶ τῆς ἀνθρωπείας φύσεως, ὡς ἔφην, ἐνεργήματα γνήσια) οὐκ οἰόμεθα δ' ἄρα, τὴν σύνθεσιν, ἁρμονίαν τινὰ οὖσαν λόγων ἀνθρώποις ἐμφύτων, καὶ τῆς ψυχῆς αὐτῆς, οὐχὶ τῆς ἀκοῆς μόνης ἐφαπτομένων, ποικίλας κινοῦσαν ἰδέας ὀνομάτων νοήσεων πραγμάτων κάλλους εὐμελείας, πάντων ἡμῖν ἐντρόφων καὶ συγγενῶν, καὶ ἅμα τῇ μίξει καὶ πολυμορφίᾳ τῶν ἑαυτῆς φθόγγων τὸ παρεστὸς τῷ λέγοντι πάθος εἰς τὰς ψυχὰς τῶν πέλας παρεισάγουσαν, καὶ εἰς μετουσίαν αὐτοῦ τοὺς ἀκούοντας ἀεὶ καθιστᾶσαν, τῇ τε τῶν λέξεων ἐποικοδομήσει τὰ μεγέθη συναρμόζουσαν, δι' αὐτῶν τούτων κηλεῖν τε ὁμοῦ, καὶ πρὸς ὄγκον τε καὶ ἀξίωμα καὶ

39 ὕψος, καὶ πᾶν, ὃ ἐν αὐτῇ περιλαμβάνει, ἡμᾶς ἑκάστοτε συνδιατιθέναι, παντοίως ἡμῶν τῆς διανοίας ἐπικρατοῦσαν; ἀλλ' ἔοικε μανίᾳ τὸ περὶ τῶν οὕτως ὁμολογουμένων διαπορεῖν· ἀποχρῶσα γὰρ ἡ πεῖρα πίστις. 4. ὑψηλόν γε τοῦτο δοκεῖ νόημα, καὶ ἔστι τῷ ὄντι θαυμάσιον, ὃ τῷ ψηφίσματι ὁ Δημοσθένης ἐπιφέρει· „τοῦτο τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα κίνδυνον παρελθεῖν ἐποίησεν, ὥσπερ νέφος·“ ἀλλ' αὐτῆς τῆς διανοίας οὐκ ἔλαττον τῇ ἁρμονίᾳ πεφώνηται· ὅλον τε γὰρ ἐπὶ τῶν δακτυλικῶν εἴρηται ῥυθμῶν· εὐγενέστατοι δ' οὗτοι καὶ μεγεθοποιοί· (διὸ καὶ τὸ ἡρῷον, ὧν ἴσμεν κάλλιστον, μέτρον συνιστᾶσι·) τό τε*, ἐπεὶ τοίγε ἐκ τῆς ἰδίας αὐτὸ χώρας μετάθες, ὅποι δὴ ἐθέλεις, „τοῦτο τὸ ψήφισμα, ὥσπερ νέφος, ἐποίησε τὸν τότε κίνδυνον παρελθεῖν,“ ἢ νὴ Δία μίαν ἀπόκοψον συλλαβὴν μόνον, „ἐποίησε παρελθεῖν ὡς νέφος,“ καὶ εἴσῃ πόσον ἡ ἁρμονία τῷ ὕψει συνηχεῖ. αὐτὸ γὰρ τὸ „ὥσπερ νέφος“ ἐπὶ μακροῦ τοῦ πρώτου ῥυθμοῦ βέβηκε, τέτρασι καταμετρουμένου χρόνοις· ἐξαιρεθείσης δὲ τῆς μιᾶς συλλαβῆς, „ὡς νέφος“ εὐθὺς ἀκρωτηριάζει τῇ συγκοπῇ τὸ μέγεθος. ὡς ἔμπαλιν, ἐὰν ἐπεκτείνῃς, „παρελθεῖν ἐποίησεν, ὡσπερεὶ νέφος,“ τὸ αὐτὸ σημαίνει, οὐ τὸ αὐτὸ δὲ ἔτι προσπίπτει· ὅτι τῷ μήκει τῶν ἄκρων χρόνων συνεκλύεται καὶ διαχαλᾶται τὸ ὕψος τὸ ἀπότομον.

40 Ἐν δὲ τοῖς μάλιστα μεγεθοποιεῖ τὰ λεγόμενα, καθάπερ τὰ σώματα, ἡ τῶν μελῶν ἐπισύνθεσις, ὧν ἓν μὲν οὐδὲν τμηθὲν ἀφ' ἑτέρου καθ' ἑαυτὸ ἀξιόλογον ἔχει, πάντα δὲ μετ' ἀλλήλων ἐκπληροῖ τέλειον σύστημα. οὕτως τὰ μεγάλα, σκεδασθέντα μὲν ἀπ' ἀλλήλων ἄλλο ἄλλῃ, ἅμα ἑαυτοῖς συνδιαφορεῖ καὶ τὸ ὕψος, σωματοποιούμενα δὲ τῇ κοινωνίᾳ καὶ ἔτι δεσμῷ τῆς ἁρμονίας περικλειόμενα αὐτῷ τῷ κύκλῳ φωνήεντα γίνεται· καὶ

χεδὸν ἐν ταῖς περιόδοις ἔρανός ἐστι πλήθους τὰ μεγέ- 40 'η. 2. ἀλλὰ μὴν ὅτι γε πολλοὶ καὶ συγγραφέων καὶ :οιητῶν οὐκ ὄντες ὑψηλοὶ φύσει, μήποτε δὲ καὶ ἀμεγέ- 'εις, ὅμως κοινοῖς καὶ δημώδεσι τοῖς ὀνόμασι καὶ οὐδὲν ταγομένοις περιττὸν ὡς τὰ πολλὰ συγχρώμενοι, διὰ ιόνου τοῦ συνθεῖναι καὶ ἁρμόσαι ταῦτα [δ'] ὅμως ὄγκον :αὶ διάστημα καὶ τὸ μὴ ταπεινοὶ δοκεῖν εἶναι περιεβά- λοντο, καθάπερ ἄλλοι τε πολλοὶ καὶ Φίλιστος, Ἀριστο- ράνης ἔν τισιν, ἐν τοῖς πλείστοις Εὐριπίδης, ἱκανῶς ἡμῖν δεδήλωται. 3. μετά γέ τοι τὴν τεκνοκτονίαν Ἡρα- κλῆς φησι,

γέμω κακῶν δὴ κοὐκέτ' ἔσθ' ὅποι τεθῇ.

σφόδρα δημῶδες τὸ λεγόμενον, ἀλλὰ γέγονεν ὑψηλὸν τῇ πλάσει ἀναλογοῦν, εἰ δ' ἄλλως αὐτὸ συναρμόσεις, φανήσεταί σοι, διότι τῆς συνθέσεως ποιητὴς ὁ Εὐριπί- δης μᾶλλόν ἐστιν ἢ τοῦ νοῦ. 4. ἐπὶ δὲ τῆς συρομένης ὑπὸ τοῦ ταύρου Δίρκης,

εἰ δέ που
τύχοι πέριξ ἑλίξας, εἷλχ' ὁμοῦ λαβὼν
γυναῖκα πέτραν δρῦν μεταλλάσσων ἀεί,

ἔστι μὲν γενναῖον καὶ τὸ λῆμμα, ἁδρότερον δὲ γέγονε :ῷ τὴν ἁρμονίαν μὴ κατεσπεῦσθαι, μηδ' οἷον ἐν ἀπο- :υλίσματι φέρεσθαι, ἀλλὰ στηριγμούς τε ἔχειν πρὸς ἄλληλα τὰ ὀνόματα καὶ ἐξερείσματα τῶν χρόνων πρὸς ἑδραῖον διαβεβηκότα μέγεθος.

Μικροποιοῦν δ' οὐδὲν οὕτως ἐν τοῖς ὑψηλοῖς, ὡς 41 υθμὸς κεκλασμένος λόγῳ καὶ σεσοβημένος, οἷον δὴ υρρίχιοι καὶ τροχαῖοι καὶ διχόρειοι, τέλεον εἰς ὀρχη- στικὸν συνεκπίπτοντες· εὐθὺς γὰρ πάντα φαίνεται τὰ κατάρυθμα κομψὰ καὶ μικροχαρῆ καὶ ἀπαθέστατα διὰ ῆς ὁμοειδίας ἐπιπολάζοντα· 2. καὶ ἔτι τούτων τὸ χεί- ιστον, ὅτι, ὥσπερ τὰ ᾠδάρια τοὺς ἀκροατὰς ἀπὸ τοῦ

41 πράγματος ἀφέλκει καὶ ἐφ' αὐτὰ βιάζεται, οὕτως καὶ τὰ κατερρυθμισμένα τῶν λεγομένων οὐ τὸ τοῦ λόγου πάθος ἐνδίδωσι τοῖς ἀκούουσι, τὸ δὲ τοῦ ῥυθμοῦ, ὡς ἐνίοτε προειδότας τὰς ὀφειλομένας καταλήξεις, αὐτοὺς ὑποκρούειν τοῖς λέγουσι, καὶ φθάνοντας ὡς ἐν χορῷ τινι προαποδιδόναι τὴν βάσιν. 3. ὁμοίως δὲ ἀμεγέθη καὶ τὰ λίαν συγκείμενα, καὶ εἰς μικρὰ καὶ βραχυσύλλαβα συγκεκομμένα, καὶ ὡσανεὶ γόμφοις τισὶν ἐπαλλήλοις κατ' ἐγκοπὰς καὶ σκληρότητας ἐπισυνδεδεμένα.

42 Ἔτι γε μὴν ὕψους μειωτικὸν καὶ ἡ ἄγαν τῆς φράσεως συγκοπή· πηροῖ γὰρ τὸ μέγεθος, ὅταν εἰς λίαν συνάγηται βραχύ· ἀκουέσθω δὲ νῦν μὴ τὰ δεόντως συνεστραμμένα, ἀλλ' ὅσα ἄντικρυς μικρὰ καὶ κατακεκερματισμένα· συγκοπὴ μὲν γὰρ κολούει τὸν νοῦν, συντομία δ' ἐπ' εὐθύ, δῆλον δ' ὡς ἔμπαλιν τὰ ἐκτάδην ἀπόψυχα· τὰ γὰρ ἄκαιρον μῆκος ἀνακαλούμενα.

43 Δεινὴ δ' αἰσχῦναι τὰ μεγέθη καὶ ἡ μικρότης τῶν ὀνομάτων. παρὰ γοῦν τῷ Ἡροδότῳ κατὰ μὲν τὰ λήμματα δαιμονίως ὁ χειμὼν πέφρασται, τινὰ δὲ νὴ Δία περιέχει τῆς ὕλης ἀδοξότερα, καὶ τοῦτο μὲν ἴσως „ζεσάσης δὲ τῆς θαλάσσης·“ ὡς τὸ ζεσάσης πολὺ τὸ ὕψος περισπᾷ διὰ τὸ κακόστομον· ἄλλο, „ἄνεμος,“ φησίν, „ἐκοπίασε·“ καὶ τοὺς περὶ τὸ ναυάγιον δρασσομένους ἐξεδέχετο „τέλος ἀχάριστον.“ ἄσεμνον γὰρ τὸ κοπιάσαι ἰδιωτικόν· τὸ δ' ἀχάριστον τηλικούτου πάθους ἀνοίκειον. 2. ὁμοίως καὶ ὁ Θεόπομπος ὑπερφυῶς σκευάσας τὴν τοῦ Πέρσου κατάβασιν ἐπ' Αἴγυπτον, ὀνοματίοις τισὶ τὰ ὅλα διέβαλεν. „ποία γὰρ πόλις ἢ ποῖον ἔθνος τῶν κατὰ τὴν Ἀσίαν οὐκ ἐπρεσβεύετο πρὸς βασιλέα; τί δὲ τῶν ἐκ τῆς γῆς γεννωμένων ἢ τῶν κατὰ τέχνην ἐπιτελουμένων καλῶν ἢ τιμίων οὐκ ἐκομίσθη δῶρον ὡς αὐτόν; οὐ πολλαὶ μὲν καὶ πολυτελεῖς στρωμναὶ καὶ χλανίδες, (τὰ μὲν

ἱλουργῆ, τὰ δὲ ποικιλτά, τὰ δὲ λευκά,) πολλαὶ δὲ σκη- 43
ναὶ χρυσαῖ, κατεσκευασμέναι πᾶσι τοῖς χρησίμοις, πολλαὶ δὲ καὶ ξυστίδες καὶ κλῖναι πολυτελεῖς; ἔτι δὲ καὶ κοῖλος ἄργυρος καὶ χρυσὸς ἀπειργασμένος καὶ ἐκπώματα καὶ κρατῆρες, ὧν τοὺς μὲν λιθοκολλήτους, τοὺς δ' ἄλλους ἀκριβῶς καὶ πολυτελῶς εἶδες ἂν ἐκπεπονημένους. πρὸς δὲ τούτοις ἀναρίθμητοι μὲν ὅπλων μυριάδες τῶν μὲν Ἑλληνικῶν, τῶν δὲ βαρβαρικῶν, ὑπερβάλλοντα δὲ τὸ πλῆθος ὑποζύγια, καὶ πρὸς κατακοπὴν ἱερεῖα εἰς ταὐτά· καὶ πολλοὶ μὲν ἀρτυμάτων μέδιμνοι, πολλοὶ δ' οἱ θύλακοι, καὶ σάκκοι, καὶ χάρται βιβλίων, καὶ τῶν ἄλλων ἁπάντων χρησίμων· τοσαῦτα δὲ χρέα τεταριχευμένα παντοδαπῶν ἱερείων, ὡς σωροὺς αὐτῶν γενέσθαι τηλικούτους, ὥστε τοὺς προσιόντας πόρρωθεν ὑπολαμβάνειν ὄχθους εἶναι καὶ λόφους ἀντωθουμένους·" ἐκ τῶν ὑψηλοτέρων εἰς τὰ ταπεινότερα ἀποδιδράσκει, 3. δέον ποιήσασθαι τὴν αὔξησιν ἔμπαλιν· ἀλλὰ τῇ θαυμαστῇ τῆς ὅλης παρασκευῆς ἀγγελίᾳ παραμίξας τοὺς θυλάκους καὶ τὰ ἀρτύματα καὶ τὰ σακκία μαγειρείου τινὰ φαντασίαν ἐποίησεν. ὥσπερ γὰρ εἴ τις, ἐπ' αὐτῶν ἐκείνων τῶν προκοσμημάτων, μεταξὺ τῶν χρυσίων καὶ λιθοκολλήτων κρατήρων καὶ ἀργύρου κοίλου σκηνῶν τε ὁλοχρύσων καὶ ἐκπωμάτων, φέρων μέσα ἔθηκε θυλάκια καὶ σακκία, ἀπρεπὲς ἦν τῇ προσόψει τὸ ἔργον· οὕτω καὶ τῆς ἑρμηνείας τὰ τοιαῦτα ὀνόματα αἴσχη καὶ οἱονεὶ στίγματα καθίσταται παρὰ καιρὸν ἐγκατατταττόμενα. 4. παρέκειτο δ' ὡς ὁλοσχερῶς ἐπελθεῖν καὶ οὓς ὄχθους λέγει συμβεβλῆσθαι, καὶ περὶ τῆς ἄλλης παρασκευῆς οὕτως ἁμάξας, εἰπεῖν καμήλους καὶ πλῆθος ὑποζυγίων, φορταγωγούντων πάντα τὰ πρὸς τρυφὴν καὶ ἀπόλαυσιν τραπεζῶν χορηγήματα, ἢ σωροὺς ὀνομάσαι παντοίων σπερμάτων, καὶ τῶν ἅπερ διαφέρει πρὸς ὀψοποιΐας καὶ

43 ἡδυπαθείας ἢ εἴπερ πάντα ὡς ἐβούλετο αὐτάρκη οὕτως θεῖναι, καὶ ὅσα τραπεζοκόμων εἰπεῖν καὶ ὀψοποιῶν ἡδύσματα. 5. οὐ γὰρ δεῖ καταντᾶν ἐν τοῖς ὕψεσιν εἰς τὰ ῥυπαρὰ καὶ ἐξυβρισμένα, ἂν μὴ σφόδρα ὑπό τινος ἀνάγκης συνδιωκώμεθα, ἀλλὰ τῶν πραγμάτων πρέποι ἂν καὶ τὰς φωνὰς ἔχειν ἀξίας, καὶ μιμεῖσθαι τὴν δημιουργήσασαν φύσιν τὸν ἄνθρωπον, ἥτις ἐν ἡμῖν τὰ μέρη τὰ ἀπόρρητα οὐκ ἔθηκεν ἐν προσώπῳ, οὐδὲ τὰ τοῦ παντὸς ὄγκου περιηθήματα, ἀπεκρύψατο δὲ ὡς ἐνῆν, καὶ κατὰ τὸν Ξενοφῶντα τοὺς τούτων ὅτι πορρωτάτω ὀχετοὺς ἀπέστρεψεν, οὐδαμῇ καταισχύνασα τὸ τοῦ ὅλου ζώου κάλλος.

6. Ἀλλὰ γὰρ οὐκ ἐπ' εἴδους ἐπείγει τὰ μικροποιὰ διαριθμεῖν· προϋποδεδειγμένων γὰρ τῶν ὅσα εὐγενεῖς καὶ ὑψηλοὺς ἐργάζεται τοὺς λόγους, δῆλον ὡς τὰ ἐναντία τούτων ταπεινοὺς ποιήσει κατὰ τὸ πλεῖστον καὶ ἀσχήμονας.

44 Ἐκεῖνο μέντοι λοιπὸν ἕνεκα τῆς σῆς χρηστομαθείας οὐκ ὀκνήσομεν ἐπιπροσθεῖναι [διασαφῆσαι], Τερεντιανὲ φίλτατε, ὅπερ ἐζήτησέ τις τῶν φιλοσόφων προσέναγχος, „θαῦμά μ' ἔχει," λέγων, „ὡς ἀμέλει καὶ ἑτέρους πολλούς, πῶς ποτε κατὰ τὸν ἡμέτερον αἰῶνα πιθαναὶ μὲν ἐπ' ἄκρον καὶ πολιτικαί, δριμεῖαί τε καὶ ἐντρεχεῖς, καὶ μάλιστα πρὸς ἡδονὰς λόγων εὔφοροι, ὑψηλαὶ δὲ λίαν καὶ ὑπερμεγέθεις, πλὴν εἰ μή τι σπάνιον, οὐκέτι γίνονται φύσεις. τοσαύτη λόγων κοσμική τις ἐπέχει τὸν βίον ἀφορία. 2. ἤ, νὴ Δί'" ἔφη, „πιστευτέον ἐκείνῳ τῷ θρυλλουμένῳ, ὡς ἡ δημοκρατία τῶν μεγάλων ἀγαθὴ τιθηνός, ᾗ μόνη σχεδὸν καὶ συνήκμασαν οἱ περὶ λόγους δεινοὶ καὶ συναπέθανον; θρέψαι τε γάρ φησιν ἱκανὴ τὰ φρονήματα τῶν μεγαλοφρόνων ἡ ἐλευθερία καὶ ἐπελπίσαι, καὶ ἅμα διελθεῖν τὸ πρόθυμον τῆς πρὸς ἀλλήλους ἔριδος καὶ τῆς περὶ τὰ πρωτεῖα φιλοτιμίας. 3. ἔτι γε μὴν διὰ τὰ προκείμενα ἐν ταῖς πολιτείαις ἔπαθλα ἑκάστοτε τὰ ψυχικὰ προτερήματα τῶν ῥητόρων μελετώμενα ἀκονᾶται, καὶ οἷον ἐκτρίβεται, καὶ τοῖς πράγμασι κατὰ τὸ εἰκὸς ἐλεύθερα συνεκλάμπει. οἱ δὲ νῦν ἐοίκαμεν, ἔφη,

παιδομαθεῖς εἶναι δουλείας δικαίας, τοῖς αὐτῆς ἔθεσι 44
καὶ ἐπιτηδεύμασιν ἐξ ἁπαλῶν ἔτι φρονημάτων μόνον οὐκ ἐνεσπαργανωμένοι καὶ ἄγευστοι καλλίστου καὶ γονιμωτάτου λόγων νάματος, (τὴν ἐλευθερίαν ἔφη λέγω·) διόπερ οὐδὲν ὅτι μὴ κόλακες ἐκβαίνομεν μεγαλοφυεῖς. 4. διὰ τοῦτο τὰς μὲν ἄλλας ἕξεις καὶ εἰς οἰκέτας πίπτειν ἔφασκεν, δοῦλον δὲ μηδένα γίνεσθαι ῥήτορα· εὐθὺς γὰρ ἀναζεῖ τὸ ἀπαρρησίαστον, καὶ οἷον ἔμφρουρον ὑπὸ συνηθείας ἀεὶ κεκονδυλισμένον· 5. Ἥμισυ γάρ τ' ἀρετῆς, κατὰ τὸν Ὅμηρον, ἀποαίνυται δούλιον ημαρ. ὥσπερ οὖν, (εἴ γε φησὶ τοῦτο πιστόν ἐστιν) ἀκούω, τὰ γλωττόκομα, ἐν οἷς οἱ Πυγμαῖοι, καλούμενοι δὲ νᾶνοι τρέφονται, οὐ μόνον κωλύει τῶν ἐγκεκλεισμένων τὰς αὐξήσεις, ἀλλὰ καὶ συνάροι διὰ τὸν περικείμενον τοῖς σώμασι δεσμόν· οὕτως ἅπασαν δουλείαν, κἂν ᾖ δικαιοτάτη, ψυχῆς γλωττόκομον καὶ κοινὸν δή τις ἀπεφήνατο δεσμωτήριον.“ 6. ἐγὼ μέντοι γε ὑπολαμβάνων· Ῥάδιον, ἔφην, ὦ βέλτιστε, καὶ ἴδιον ἀνθρώπου τὸ καταμέμφεσθαι τὰ ἀεὶ παρόντα· ὅρα δέ, μή πο τῆς οἰκουμένης εἰρήνη διαφθείρει τὰς μεγάλας φύσεις, πολὺ δὲ μᾶλλον ὁ κατέχων ἡμῶν τὰς ἐπιθυμίας ἀπεριόριστος οὑτοσὶ πόλεμος, καὶ νὴ Δία πρὸς τούτῳ τὰ φρουροῦντα τὸν νῦν βίον καὶ κατ' ἄκρας ἄγοντα καὶ φέροντα ταυτὶ πάθη. ἡ γὰρ φιλοχρηματία, πρὸς ἣν ἅπαντες ἀπλήστως ἤδη νοσοῦμεν, καὶ ἡ φιληδονία δουλαγωγοῦσι, μᾶλλον δέ, ὡς ἂν εἴποι τις, καταβυθίζουσιν αὐτάνδρους ἤδη τοὺς βίους· φιλαργυρία μὲν νόσημα μικροποιόν, φιληδονία δ' ἀγεννέστατον. 7. οὐ δὴ ἔχω λογιζόμενος εὑρεῖν, ὡς οἷόν τε, πλοῦτον ἀόριστον ἐκτιμήσαντας, τὸ δ' ἀληθέστερον εἰπεῖν, ἐκθειάσαντας, τὰ συμφυῆ τούτῳ κακὰ εἰς τὰς ψυχὰς ἡμῶν ἐπεισιόντα μὴ παραδέχεσθαι. ἀκολουθεῖ γὰρ τῷ ἀμέτρῳ πλούτῳ καὶ ἀκολάστῳ συνημμένη καὶ ἴσα, φασί, βαίνουσα πολυτέλεια, καὶ ἅμα ἀνοίγοντος ἐκείνου τῶν πόλεων καὶ οἴκων τὰς εἰσόδους, εἰς ἃς ἐμβαίνει, καὶ συνοικίζεται. χρονίσαντα δὲ ταῦτα ἐν τοῖς βίοις νεοττοποιεῖται, κατὰ τοὺς σοφούς, καὶ ταχέως γενόμενα περὶ τεκνοποιΐαν, ἀλαζόνειάν τε γεννῶσι καὶ

44 τύφον καὶ τρυφὴν οὐ νόθα ἑαυτῶν γεννήματα, ἀλλὰ καὶ πάνυ γνήσια. ἐὰν δὲ καὶ τούτους τις τοῦ πλούτου τοὺς ἐκγόνους εἰς ἡλικίαν ἐλθεῖν ἐάσῃ, ταχέως δεσπότας ταῖς ψυχαῖς ἐντίκτουσιν ἀπαραιτήτους, ὕβριν καὶ παρανομίαν καὶ ἀναισχυντίαν. 8. ταῦτα γὰρ οὕτως ἀνάγκη γίνεσθαι, καὶ μηκέτι τοὺς ἀνθρώπους ἀναβλέπειν, μηδ' ἕτερα φήμης εἶναί τινα λόγον, ἀλλὰ τοιούτων ἐν κύκλῳ τελεσιουργεῖσθαι κατ' ὀλίγον τὴν τῶν βίων διαφθοράν, φθίνειν δὲ καὶ καταμαραίνεσθαι τὰ ψυχικὰ μεγέθη, καὶ ἄζηλα γίνεσθαι, ἡνίκα τὰ θνητὰ ἑαυτῶν μέρη κἀνόητα ἐκθαυμάζοιεν, παρέντες αὔξειν τἀθάνατα. 9. οὐ γὰρ ἐπὶ κρίσει μέν τις δεκασθεὶς οὐκ ἂν ἐπὶ τῶν δικαίων καὶ καλῶν ἐλεύθερος καὶ ὑγιὴς ἂν κριτὴς γένοιτο· ἀνάγκη γὰρ τῷ δωροδόκῳ τὰ οἰκεῖα μὲν φαίνεσθαι καλὰ καὶ δίκαια·* ὅπου δὲ ἡμῶν ἑκάστου τοὺς ὅλους ἤδη βίους δεκασμοὶ βραβεύουσι καὶ ἀλλοτρίων θῆραι θανάτων καὶ ἐνέδραι διαθηκῶν, τὸ δ' ἐκ τοῦ παντὸς κερδαίνειν ὠνούμεθα τῆς ψυχῆς, ἕκαστος πρὸς τῆς* ἠνδραποδισμένοι, ἆρα δὴ ἐν τῇ τοσαύτῃ λοιμικῇ τοῦ βίου διαφθορᾷ δοκοῦμεν ἔτι ἐλεύθερόν τινα κριτὴν τῶν μεγάλων ἢ διηκόντων πρὸς τὸν αἰῶνα κἀδέκαστον ἀπολελεῖφθαι, καὶ μὴ καταρχαιρεσιάζεσθαι πρὸς τῆς τοῦ πλεονεκτεῖν ἐπιθυμίας; 10. ἀλλὰ μήποτε τοιούτοις οἷοί περ ἐσμὲν ἡμεῖς, ἄμεινον ἄρχεσθαι ἢ ἐλευθέροις εἶναι· ἐπεὶ τοίγε ἀφεθεῖσαι τὸ σύνολον, ὡς ἐξ εἱρκτῆς ἄφετοι, κατὰ τῶν πλησίον αἱ πλεονεξίαι κἂν ἐπικαύσειαν τοῖς κακοῖς τὴν οἰκουμένην. 11. ὅλως δὲ δαπανῶν ἔφην εἶναι τῶν νῦν γεννωμένων φύσεων τὴν ῥαθυμίαν, ᾗ πλὴν ὀλίγων πάντες ἐγκαταβιοῦμεν, οὐκ ἄλλως πονοῦντες ἢ ἀναλαμβάνοντες, εἰ μὴ ἐπαίνου καὶ ἡδονῆς ἕνεκα, ἀλλὰ μὴ τῆς ζήλου καὶ τιμῆς ἀξίας ποτὲ ὠφελείας. 12. κράτιστον εἰκῇ ταῦτ' ἐᾶν, ἐπὶ δὲ τὰ συνεχῆ χωρεῖν· ἦν δὲ ταῦτα τὰ πάθη, περὶ ὧν ἐν ἰδίῳ προηγουμένως ὑπεσχόμεθα γράψειν ὑπομνήματι, τήν τε τοῦ ἄλλου λόγου καὶ αὐτοῦ τοῦ ὕψους μοῖραν ἐπεχόντων, ὡς ἡμῖν δοκεῖ . . . .

V.

ΛΟΓΓΙΝΟΥ

ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ.

ΛΟΓΓΙΝΟΥ
ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ.

(710) Ald. 552 Walz.

. . . . καὶ ἡ τῶν πιθανῶν ἰδέα καὶ προσαγωγὸς τοῦ δικαστοῦ. οὐ γὰρ μικρόν ἐστιν εἰπεῖν, ἀδελφός εἰμι, πατήρ εἰμι καὶ υἱός εἰμι· ταῦτα γὰρ πρός τι, καὶ γείτων καὶ ἐχθρὸς ἦν, καὶ οὐχ ὅμοιος, καὶ κρείττων ἦν, καὶ ἀδυνατώτερος καὶ νεώτερος καὶ εὐνούστερος καὶ τραχύτερος, ἢ καὶ πρεσβύτερος, καὶ προσφιλέστερος, καὶ πλουσιώτερός τι εἰπεῖν, καὶ κακουργότερος, καὶ τἆλλα ἐκ τούτων εὔδηλα, πολλὰ δ' ἂν εἴη.

Ἔτι τοίνυν καὶ τὸ καὶ χωρία καὶ πραγμάτων ὑποδοχάς. γίνονται δὲ κἀν τούτοις τὰ δίκαια, καὶ παρὰ τὰ χωρία τὸ ἄδικον· οὐκ ἐχρῆν ἐνταῦθα ἀποκτεῖναι, καὶ ἑτέρωθι δεινὸν τὸ πραχθὲν καὶ ἐν τούτῳ τῷ χωρίῳ γενόμενον· οἷον ἐν ἐκκλησίᾳ, ἐν τῷ ἱερῷ, κατὰ τὴν ἐμὴν οἰκίαν· ἔστι δὲ ὅτε καὶ τὸ ἐν ἐρημίᾳ δεινότερον, καὶ τὸ ἐν ὄρει χαλεπώτερον. Ἀθήνησιν, ἐν Λακεδαίμονι, παρὰ βαρβάροις, ἐν νηΐ, ἂν τύχῃ, ἐπ' ἄλλου χωρίου. καὶ λοιπὸν εἰδείης ἂν ἀπὸ τῶν τόπων ἐννοίας παρατίθεσθαι δικαίας εἰς τὸ προκείμενον καὶ ψυχαγωγούσας.

Ὁ χρόνος δὲ διαιρούμενος οὐδὲ ἀριθμῆσαι ῥᾴδιον ὅσα σοι συντελεῖ· τὸ γὰρ κατὰ χρόνον πότερα νῦν οὐκ ἐχρῆν, ἀλλὰ πέρυσι καὶ προπέρυσιν, ὅτε ἔδωκεν ὁ νόμος, γράφεσθαι, καὶ μετὰ τοῦτο ἔξεστι. χρόνον δὲ ὁρίζω καὶ τὴν ἑορτήν, Διονύσια, Παναθήναια, πόλεμον, εἰρήνην, ἡλικίαν νεωτέρου καὶ πρεσβυτέρου, συμπόσιον, νύκτα

σκοτεινήν, ἐπισέληνον, χειμῶνα, ἑτέραν ὥραν· καὶ ὁ καιρὸς ἐν χρόνου μοίρᾳ, καὶ τὸ πρότερον καὶ τὸ νῦν καὶ τὸ μέλλον.

553 Ἀλλὰ καὶ τὸ ἔχειν οὐ σμικρόν ἐστιν ἐν τούτοις, ὅτι ξίφος εἶχεν, ὑποδήματα εἶχε, χρυσίον, ἐσθῆτα, ἀσπίδα, δόρυ, πάντα ὅσα σκεύη κέκληται.

(711) Τὸ δὲ κεῖσθαι σχῆμα μὲν δηλοῖ, ῥᾴδιον δὲ καὶ ἀπὸ τούτου συλλέγειν ἀφορμὰς τῶν λόγων· δευρὶ τὴν χεῖρα, ἀλλ' οὐ δευρὶ μετήνεγκεν, οὕτως ἥσθητο, οὕτως ἐνεώρα μοι, ὀρθὸς ἦν, [καὶ] προσεκεκύφει τῇ γῇ· πλάγιοι ἦσαν καὶ τὰ γυμνὰ ἐδείκνυσαν, ὥστε βάλλεσθαι· πλαγίους τοὺς ἵππους εἶχον, ὥστε μὴ ἀμύνεσθαι· ἀπέστραπτο, οὐκ ἄρα προσέσχεν· κατὰ νώτου με εἶχεν· ὕπτιος ἦν, πῶς οὖν ἑώρα; ταῦτα οὖν λογιζόμενος καὶ τὰ ὅμοια τούτοις δόξεις τι λέγειν περὶ τοῦ πράγματος καὶ πίστεις παρέχεσθαι τῆς ἀληθείας.

Τὸ δὲ ποιεῖν αἴτιόν ἐστιν· ἄνευ γὰρ αἰτίας οὐδὲν ἄν ποτε γένοιτο· διαιροῦμεν δὲ τὰς αἰτίας, ἑκών, ἐξ ἀνάγκης, δι' αἰσχροκέρδειαν, δι' ἀηδίαν, τῇ χειρὶ ἐποίησε, τοῖν ποδοῖν, τῷ ὀφθαλμῷ, τῇ κεφαλῇ, ξίφει, δόρατι, βέλει, κακίᾳ, ἁπλότητι, τῷ αὐτομάτῳ.

Τὸ δὲ πάσχειν τοῦτο πολλαχῇ διαιροῦμεν, ὅτι πέπονθας εἰς τὸ σῶμα, εἰς τὴν ψυχήν, εἰς τὰ ἐκτός, εἰς δόξαν, εἰς χρήματα, εἰς πάντα. παθεῖν οὐκ ἐδύνατο, ἔστιν οἷον παθεῖν, ἔστιν οἷον μὴ παθεῖν, καὶ γὰρ ἀπαθῆ τινά ἐστι. λάμβανε οὖν τὰ ἐναντία κἂν τῷ πάσχειν εἰς ἀφορμὰς λόγων τῶν πρὸς ζήτησιν συντεινόντων.

554 Ἑτέρα διαίρεσις ἥδε λόγους ἐνδίδωσιν ἡ κατὰ τὰς αἰσθήσεις γινομένη· καὶ γὰρ ἀπὸ τούτων μέθοδος εὑρέσεως γίνεται, καὶ πραγματεύου τὰς πίστεις λαμβάνειν ἀναλογιζόμενος, ὧν εἶδες ὁμοίων ἢ ἀνομοίων τῷ ζητουμένῳ, καὶ προσεικάζων τὰς δόξας ἀναλόγως ὧν ἤκουσας·

τὰ γὰρ παραδείγματα καὶ τὰ ἐνθυμήματα ἐξ ὧν ἠκούσαμεν ἔρχεται, ἢ ὧν ἐπάθομεν ἢ [ὧν] ἐποιήσαμεν ἁπτόμενοι γευόμενοι πᾶσαν αἴσθησιν αἰσθανόμενοι.

Πρὸς τούτοις ἕτερον εἶδος διαιρέσεως τόδε ἀνυστικώτατον εἰς εὕρεσιν, τὰ συμβεβηκότα καὶ τὰ συνυπάρχοντα τοῖς προσώποις τε καὶ πράγμασι διαβλέπειν, τύχας, τέχνας, ἡλικίας, γένη, πλούτους, τρόπους, ἤθη, δόξας, ἀδοξίας, πράξεις, ἀργίας, καὶ ὅσα ἄλλα πρὸς τούτοις ὑπάρχει ἑκάστῳ· ἔτι τῶν πραγμάτων τρόπους, κοινωνίας, ἐρημίας, καταμονὰς σὺν ἑτέροις, τίνι ὅμοια, τίνι ἀνόμοια, τίνι τὰ αὐτὰ τίνα ὄντα, ἐν τίσιν ὄντα, πόθεν ἀρχόμενα, παυόμενα, τίνας ἔχοντα τὰς αἰτίας, τίνας ἀνάγκας, φανερὰς καὶ ἀφανεῖς [αἰτίας], καὶ ὅσα ἂν αὐτὸς εὕροις. πάντα μέντοι εἰς ταῦτα ἀνενεχθήσεται· ὑπαρχέτω δὲ καὶ τούτοις ἥ τε τῶν τελικῶν κεφαλαίων θέσις ἐπὶ τῷ ζητήματι, καὶ τὸ ἐφαρμόζειν τὰ τελικὰ καὶ γενικὰ καὶ τυπώδη τοῖς εἰδικωτάτοις καὶ ἐμπεριεχομένοις τοῖς ἀμφισβητουμένοις πράγμασι. ταῦτα γὰρ πρὸς ἄλληλα διαιρούμενα τὰ γένη καὶ εἴδη τῶν ζητημάτων, καὶ τὰ ἐν ὀργάνων μοίρᾳ καθεστηκότα, καὶ ὀργάνων αἱ καλούμεναι πίστεις καὶ τόποι πίστεων καὶ ἀφορμαὶ πολλὴν ἀφθονίαν ἐγείρουσι λόγων.

Ἐπειδὴ δὲ εἴρηται καὶ περὶ τούτων ἀποχρώντως τε καὶ μετρίως, μνημονευτέον ἐστὶ τῶν ἐπιλόγων, ὧν ἡ μὲν δύναμις καὶ τὸ ἔργον ἀναμνῆσαι τὰ εἰρημένα ταῖς ἐπανόδοις, αὐξῆσαί τε τὸ ὁμολογηθὲν εἴτε κρεῖττον εἴτε 555
καὶ] χεῖρον τοῖς μερισμοῖς καὶ τῇ παραθέσει τῶν ὁμοίων καὶ τῶν ἐναντίων· ὅταν γὰρ ἀποδειχθῇ τι πρᾶγμα, οὕτω τὸ πρᾶγμα αὔξεται. χρηστέον δὲ τοῖς ἐπιλόγοις ὥσπερ καὶ τοῖς προοιμίοις πολλαχῇ· καὶ γὰρ ἐν τοῖς καθ' ἕκαστον ἀποδεικνυμένοις τὸ εἶδος αὐτῶν χρήσιμον, καὶ πρὸς τῷ τέλει τοῦ λόγου δραστήριον καὶ καταπρακτικόν,

τόν τε δικαστὴν παροξύνει δοῦναι ψῆφον ἣν βούλει ἢ τοὐναντίον ὡς ὁ φεύγων παραιτεῖται. αὔξει δὲ μάλι ἡ αἰτία καὶ τὸ τέλος, ἐὰν ἐξετάσῃς τὰ συμβαίνοντα ἐξ ἑ στου καὶ τὰς ἀρχὰς τῶν πραγμάτων· αὐτὸ γὰρ ἕκασ κατὰ μόνας μικρόν, ἕτερον δὲ ἐξ ἑτέρου δεικνύων, ἀποβαίνειν πέφυκεν, αὐξήσεις καὶ τὰ μὴ γενόμενα, νέσθαι δὲ ὅμως δυνάμενα τῷ πράγματι προστιθείς. λον δὲ ὅτι καὶ καθαιρεῖται τοῦ πράγματος τὸ μέγεθος (712) ἡ ἀξία τῷ ἐναντίῳ, ὅταν ἐλέγχῃς τὴν αὔξησιν τοῦ κα γοροῦντος καὶ τοὺς λόγους καὶ τὰ παλαίσματα τῆς τέχ ἀφαιρῶν μὲν αὐτοῦ τὰ μὴ γενόμενα, μόνα δὲ τηρῶν πεπραγμένα, καὶ ταῦτα ἐλαττῶν τοῖς σμικροτέροις ἀπ καζε καὶ δείκνυε, ὅτι οὕτως ἂν πᾶν παντὶ ὅμοιον γένο καὶ τὸ σμικρότατον τῷ μεγίστῳ, εἴ τις τὰ μὴ συμβά διεξίοι, καὶ λογίζοιτο ὡς γεγονότα, καὶ τῶν αὐτῶν τι μάτων καὶ κολάσεων πάντα δεήσεται· τοῦτο δὲ τῶν ἀ κωτάτων, μίαν τιμωρίαν εἶναι πᾶσι τοῖς ἀδικήμ τοιαῦτα πρὸς τὴν αὔξησιν λεκτέον, καὶ διὰ τούτων πρᾶγμα σμικρότατον ποιεῖν ἐπιχειρητέον, ἐξ ὧν τὴν γὴν τῶν δικαζόντων τιθασσεύοντες ἐκλύσομεν. αἱ
556 ἀφορμαὶ αἱ τῶν πίστεων τοῖς ἐπιλόγοις ἐκ τῆς αὐ διαιρέσεως ἧς διῃρήκαμεν, (καὶ ὅτι μὲν) μέγα ἐστὶ μικρὸν καὶ φαῦλον τὸ πρᾶγμα τοῦτο κατασκευάζειν τοῖς ἐπιλόγοις εἰώθαμεν, τὸ δὲ εἰ γεγένηται ἢ μή, δεῖ ἑτέρων ἀποδείξεων καὶ τῆς πρώτης ψήφου τὸ τοιοῦ καὶ τοῦ πρώτου λόγου.

ΠΕΡΙ ΟΙΚΟΝΟΜΙΑΣ.

Περὶ δὲ τῆς οἰκονομίας καὶ διοικήσεως προοιμίων διηγήσεων καὶ πίστεων καὶ ἐπιλόγων ἀναγκαῖον προ πεῖν τοσοῦτον, ὅτι τοῖς μὲν προοιμίοις πλείοσιν ἐν τ μεγάλοις πράγμασι καὶ διαβεβλημένοις χρηστέον· ἐὰν

ὑπὲρ μικρῶν καὶ φαύλων ὁ λόγος ᾖ, μικρὸν ἔστω τὸ προοίμιον. χρηστέον δὲ τοῖς προοιμίοις καὶ πρὸ τῶν παραδόξων ἐπιχειρημάτων, καὶ πρὸ παντὸς τοῦ μέλλοντος δόξειν οὕτω πως ἔχειν, κἂν ταῖς ἀρχαῖς κἂν ταῖς τελευταῖς τῶν κατασκευαζομένων, ὡς ἂν ἀφορίζῃς καὶ διαρθροῖς τὰ εἰρημένα, καὶ τὸν λόγον ἀναλαμβάνῃς μερίζων ταῖς τῶν προοιμίων ἐμβολαῖς τὰ ζητούμενα· πιθανώτατον γὰρ τοῦτο καὶ ῥητορικώτατον τὸ γένος τῶν λόγων ὃ κέκληται προοίμιον, ἡ παρασκευὴ καὶ θεραπεία τῶν ἀκροωμένων. ὅτῳ δὲ ἂν λόγῳ μὴ προσῇ ταῦτα, στέρεται τῆς πιθανότητος ἀναισθησίαν ἐνδεικνύμενος τοῦ λέγοντος καὶ πολλὴν ἀμαθίαν, εἰ μήτε ὧν πάσχουσιν οἱ ἀκούοντες μήτε ὧν αὐτὸς λέγει πραγμάτων κριτὴς γίνεται δι' ὧν αἱ τῶν προοιμίων ἔννοιαι παρίστανται πραϋνόντων, ἐπαγγελλομένων ἐπαγωγήν, συγγνώμην ἡμῖν αἰτουμένων, προτυπουμένων τὰ μέλλοντα καὶ προκαθισταμένων τὴν ἀκρόασιν ἐξ ὧν ἂν ὑπείπωμεν.

Ἀλλὰ καὶ περὶ διηγήσεως λεκτέον, ὅτι καὶ διὰ πλειόνων καὶ ἐλαχίστων εἴποις ἂν τὴν δήλωσιν τῶν πραγμάτων 557, ἂν μὲν ᾖ πολλὰ πράγματα, διὰ πολλῶν, ἂν δὲ ὀλίγα, δι' ἐλαχίστων. ἐπεκδιδάξεις γὰρ εἰς προτάσεις ἄγων καὶ πολλὰς διηγήσεις τὰς ἐπὶ μέρους κατ' εἶδος ὀνομάζων ἐν τοῖς προοιμίοις ὃ μέλλεις ἀποδεικνύειν καὶ διηγεῖσθαι· εἰ γὰρ πάντα ἅμα ἀθρόως ἐρεῖς, ταράξεις τε καὶ ταραχθήσῃ.

Ἐν δὲ τοῖς κεφαλαίοις τοῖς τῶν πίστεων καὶ τοῖς εἴδεσι τούτων πρῶτα θήσεις καὶ τελευταῖα τὰ πάντων κράτιστα, καὶ ἐξελέγξεις τὰ τῶν ἀντιδίκων, τὰ σαθρὰ καὶ ἀσθενῆ τῶν εἰρημένων ὑπ' ἐκείνων προτάττων, καὶ ὅσα ῥᾳδίως λῦσαι δυνήσῃ, προτενεῖς δὲ οὐχ ὁμοίως ἐκείνοις, ἀλλ' οἷόν τε μάλιστα εὐεπιχείρητον εἶναί σοι· εἰ γὰρ ἀπὸ τῶν ἰσχυροτάτων ἄρχοιο τῶν ἐχθρῶν ὄντων ἀλύτων, ἢ

τὰ σμικρότατα σαυτοῦ προτάττοις, διαβεβλήσῃ πρὸς τοὺς ἀκούοντας, νήφοντος τοῦ δικαστοῦ καταρχὰς καὶ μέγιστα, καὶ σαφῶς ἀκοῦσαι θέλοντος.

Ἡ δὲ φύσις τῶν ἐπιλόγων ἀντιστρόφως τοῖς προοιμίοις ἔχουσα εὑρίσκεται. τὰ γὰρ αὐτὰ καὶ προοιμιαζομένοις πολλάκις καὶ προτρέπουσι τοὺς δικαστὰς πρέπει κατὰ τὸ σχῆμα τῶν ἐπιλόγων· διενήνοχε δὲ ὅμως τῷ μέτρῳ. πλείω γὰρ ὡς τὸ πολὺ ἐπὶ τῶν ἐπιλόγων ἐγχωρεῖ πρὸς τοὺς δικαστὰς εἰπεῖν ἢ διὰ τῆς ἀρχῆς καὶ τῆς παρασκευῆς. καὶ καταρχὰς μὲν ἐπαγγελίαν ἔχει καὶ μερισμὸν τῶν κεφαλαίων τὸ προοίμιον· καὶ τὴν μὲν ἐπαγγελίαν ἔχει τῆς ἀποδείξεως, τὸν δὲ μερισμὸν εὐμαθείας ἕνεκα· τῷ δὲ ἐπιλόγῳ τοιοῦτον μὲν οὐδέν, αὔξησις δὲ καὶ ἀνά-
(713) μνησις τῶν ἤδη λεχθέντων καὶ τῆς ὑποθέσεως τῆς ἐκ τῶν προοιμίων συντετελεσμένης.

ΠΕΡΙ ΛΕΞΕΩΣ.

558 Οὐκ ἐλάχιστον δὲ μέρος τῆς μεθόδου τῆς κατὰ τὴν ῥητορικὴν τέχνην τὸ τῆς λέξεώς ἐστι· τὰ γὰρ ἐνθυμήματα καὶ πάντα τὰ μέρη τοῦ λόγου φαίνεται τοιαῦτα τοῖς ἀκούουσιν, ὁποῖά ποτ' ἂν εἴη τὰ τῶν λέξεων. φῶς γὰρ ὥσπερ τῶν νοημάτων τε καὶ ἐπιχειρημάτων ὁ τοιοῦτος λόγος, ἀποσαφῶν τοῖς δικασταῖς τὴν πιθανότητα τῆς πίστεως· οὐ τοίνυν ἀμελητέον αὐτῶν, ἀλλ' ὡς ἔνι μάλιστα φυλακτέον παραδείγμασι χρωμένους τοῖς ἄριστα τῶν ῥητόρων τούτῳ τῷ μέρει χρησαμένοις, καὶ περικαλλῶς τε καὶ ποικίλως τὴν ἐξαγγελίαν ἠσκημένοις· πλέον γὰρ οὐδ' ὁτιοῦν ἔσται τῆς ἀγχινοίας καὶ τῆς ὀξύτητος τῆς ἐπὶ τῇ κρίσει καὶ διαιρέσει καὶ περισκέψει τῆς γνώμης καὶ τῶν καθ' ἕκαστον λογισμῶν, εἰ μὴ συνθεῖναι τῇ βελτίστῃ λέξει τὰ νοήματα, καὶ ῥυθμοῖς χρήσῃ πρεπωδεστάτοις ἐκλέξει τε καὶ θέσει τῶν ὀνομάτων καὶ [πλήθει] ῥη-

ιάτων. πολλὰ γὰρ τὰ κηλοῦντα τὸν ἀκροατὴν ἄνευ τῆς
ιανοίας καὶ τῆς πραγματικῆς κατασκευῆς καὶ τῆς ἠθι-
ιῆς πιθανότητος· τὸ γὰρ μουσικὸν καὶ εὔτακτον τῆς ἑρ-
ιηνεύσεως ἔμφυτον ἅπασι καὶ τοῖς ἀγελαίοις ζῴοις, οὔτι
'ε πολιτικῷ τε καὶ λογικῷ καὶ τάξεως αἴσθησιν εἰληφότι.
ἰ τοίνυν τὸ μουσικόν τε καὶ ἐναρμόνιον καὶ ῥυθμικὸν 559
ὑμμετρόν τε καὶ ξυμμελὲς ἐξεργάσαιο καὶ διαπονήσαις
ἱς τὸ ἀκριβέστατον, τῶν μὲν ἀφαιρῶν μέρη, τοῖς δὲ
ροσάπτων, ἐν καιρῷ καὶ χρείᾳ καὶ καλλονῇ διαμετρῶν
ὸ δέον, ἔσται σοι πιθανώτατος ὁ λόγος καὶ ῥητορικώτα-
ος, οἷα τε ἡ παρ' Ὁμήρῳ ποίησις μὴ παρὰ φαῦλον ἡγη-
αμένῳ μηδὲ ἐν εὐτελεῖ, [ἀναγνωστέον ἐν εὐτελεῖ· ἑκά-
ερον γὰρ αὐτῶν ἔχει λόγον εὐπρεπῆ·] τὸ τοιοῦτον, καὶ
αρ' Ἀρχιλόχῳ τῷ Παρίῳ. καὶ γὰρ οὗτος ἤσκηται· ἔτι
ὲ καὶ τὸ τῶν τραγῳδοποιῶν φῦλον καὶ τὸ τῶν κωμῳ-
ῶν, μελοποιῶν τε καὶ τῶν τοιούτων, τό τε τῶν σοφι-
τῶν, ὅπου μηδὲ τοῖς φιλοσοφοῦσιν ὑπερεώραται καὶ
ιαρημέληται· τῷ μὲν γὰρ Πλάτωνι καὶ τῷ Ξενοφῶντι
Αἰσχίνῃ τε καὶ Ἀντισθένει περιττῶς διαπεπόνηται καὶ
ικανῶς ἠκρίβωται. τῶν δὲ ῥητόρων τῷ κορυφαίῳ ταύτην
ἶναι συμβέβηκε τὴν ἀρετήν, καὶ παρὰ τοῦτο κρατεῖν ἂν
οκοίη τῶν ἑτέρων τῶν ἐκ ταὐτοῦ γένους.

Τὸ δὲ ἔργον αὐτῆς σαφῶς τε καὶ καθαρῶς διελθεῖν
νωρίμως τε καὶ γνωστῶς τοῖς ἀκούουσι, καὶ παρὰ τοῦτο
ηδὲν ἐλλιπεῖν τῆς σεμνότητος, ἀλλὰ δοκεῖν μὲν κατὰ τὰ
ντὰ τοῖς πολλοῖς συντιθέναι τὰ μόρια καὶ τὰ σημαίνον-
α τὰ πράγματα τῆς διανοίας σύμβολα, συγκεκρᾶσθαι δὲ
ῷ γνωστῷ καὶ τὸ ξένον, ἔτι δὲ τὸ καινόν τε καὶ περι-
αλλὲς τῆς ἀφηγήσεως· δεῖ γὰρ δύο τούτους ποιήσασθαι 560
κοπούς, τὴν δήλωσιν τοῦ πράγματος καὶ τὸ μεθ' ἡδο-
ῆς δηλοῦν. οὐ γὰρ ψυχαγωγήσεις μὴ γοητεύων μετά
ινος χάριτος καὶ ἡδονῆς μεταβολῇ τε καὶ ποικιλίᾳ τῶν

ὀνομάτων· εἰ δὲ ὑπερβαίνοις ἀκαίρως ἀπαρτῶν τὸν λόγον μιᾶς λέξεως καὶ μετατιθεὶς τὴν ἀκολουθίαν, πρὸς ὀργὴν ἥξεις καὶ πρὸς ἀχθηδόνα, καὶ ἀμφίβολον τὴν λέξιν καὶ μεγάλας ἐλλείψεις ἔχουσαν, κἂν ὑπὲρ τὸν καιρὸν ἡ περίοδος περιγράφηται, καὶ τοὺς ὅρους μείζονας τοῦ μέτρου λαμβάνειν. πεφύλαξο δὲ τοῖς λίαν ἀρχαίοις καὶ ξένοις τῶν ὀνομάτων καταμιαίνειν τὸ σῶμα τῆς λέξεως καὶ τὴν ὑφὴν τῆς παρασκευῆς. οὐκ ἀχρεῖον δὲ οὐδὲ τῶν Ἰσοκράτους παραγγελμάτων ἐντρέπεσθαι, μὴ τραχύνειν τὸν λόγον τῇ παραθέσει καὶ συμπλοκῇ τῶν καλουμένων φωνηέντων, ἃ τὴν κρᾶσιν οὐκ ἀνέχεται καὶ τὸν λόγον
561 οὐχ ὁμοίως συνυφαίνειν ἔοικεν, οὔτε λείως τε καὶ ἀπταίστως εἰς τὴν ἀκοὴν παρίησιν, ἀλλ᾽ ἐπιλαμβάνεται τοῦ πνεύμονος καὶ ἐπίσχει τὸ πνεῦμα τῆς φωνῆς. τῆς δ᾽ εὐρυθμίας τὸ γνώρισμα δῆλον τῷ συνειθισμένῳ τὸ τῶν εὐρύθμων καὶ ἀποτετορνευμένων καὶ στρογγύλων ἀποδέχεσθαι λόγων, καὶ τετριμμένῳ τὰ ὦτα πρὸς τὴν σύνθεσιν τῶν τε σεμνῶν καὶ ἀρχαίων λόγων, ὧν κατέλεξα
(714) τοὺς εὑρετὰς καὶ πρώτους φήναντας τὰ παραδείγματα τῆς καλλιλογίας. ἴδοις δ᾽ ἂν αὐτοὺς προσέχων τὴν γνώμην παρὰ μέρη διῃρημένους τὴν κατὰ τὴν εὐφωνίαν ἐπιμέλειαν. ἢ γὰρ προσέθεσάν τι μόριον τῷ κοινῷ καὶ ἁπλῶς καὶ ἀργῶς λεγομένῳ καὶ κατὰ τοὺς πολλοὺς καὶ ἰδιώτας [τῷ δημοσιεύοντι λόγῳ καὶ παρὰ πᾶσι λεγομένῳ]· τὸ γὰρ *παίζεις* παντὸς εἰπεῖν καὶ τοῦ προστυχόντος, *παίζεις* δὲ ἔχων τινὰ ἴδιον τύπον φωνῆς καὶ διαλέκτου παρίστησι· πολλὰ δέ ἐστι τῶν προστιθεμένων ἐκ περιουσίας, καὶ πάντα σχεδὸν τὰ μέρη τοῦ λόγου μέχρι καὶ γραμμάτων· ἐπιβάλλουσι δὲ καὶ δύο μέρη πολλάκις καὶ πλείονα. καὶ περὶ τούτων τηρητέον ἐστί σοι καὶ φυλακτέον τῆς φωνῆς τὸν τύπον· σαυτοῦ γὰρ οὐ θήσεις οὐδὲ εἰσοίσεις ἴδιον νόμον, ὧν δεῖ προσνέμειν· οὐ γὰρ

ἐφ' ἡμῖν ὁ νόμος τῶν λόγων, ἀλλ' ἡμεῖς ἐπὶ τῷ νόμῳ. ἢ κατὰ ἀφαίρεσιν ἐν ἀρχῇ τε καὶ ἐπιμελείᾳ ἐπιβάλλεται. καὶ 562
ποικίλον τι καὶ περιττῶς ἔχον φαίνεται, καθάπερ ὅταν λέγω, καὶ χαλκοῦν μὲν ἔστησαν τόνδε, καὶ σίτησιν ἔδοσαν, καὶ τῆς γῆς τεμόντες, καὶ τὰ πρὸς ἡμᾶς οὕτως [ἔχουσι]. λείπειν δ' ἀξιοῦσι προθέσεις, συνδέσμους, ἅπαντα τὰ μέρη, καὶ σύνδυο τῶν μερῶν τοῦ λόγου.

Τὸ δ' αὖ τῆς ἀλληγορίας κοσμεῖ τὸν λόγον ἐν τῷ μεταβάλλειν τοὔνομα καὶ δι' ἑτέρου καινοτέρου τὸ αὐτὸ σημαίνειν· τὸ γὰρ πεπατημένον καὶ πεπλυμένον καὶ μυριόλεκτον πρὸς κόρον ἄγει, καθάπερ τῶν σιτίων καὶ ὅσα πρὸς τὴν ὄψιν ἢ τὴν ἄλλην αἴσθησιν τὰ κοινὰ καὶ τὰ συνήθη καταφρονεῖται, καὶ τῆς αἰσθήσεως, καὶ τοῦ κατὰ τὴν αἴσθησιν πνεύματος οὐκ ἐπιστρέφει τὴν ἀντίληψιν. δεῖ δὲ ἐκ τῆς ἀκοῆς τὸν δικαστὴν λίχνοις τε καὶ ἡδείαις ὥσπερ καρυκείαις καὶ ὀψοποιΐαις, σκευασίαις τε καὶ προαγωγαῖς ἐπισπᾶσθαι καὶ προσάγεσθαι, ποιεῖσθαι δὲ τοῦτο χρὴ τοῖς θεραπευτικοῖς τε καὶ κολακευτικοῖς ὀνόμασι· ταῦτα γάρ ἐστι τῆς πειθοῦς φάρμακα, θήρατρα χαρίτων καὶ μουσικῆς τῆς ἐπὶ τὸ πείθειν ἠσκημένης. οὐ γὰρ ὅμοιον, οὐδὲ κατὰ μικρὸν [ἀνόμοιον] τὸ ἀηδὲς „ἀγλευκὲς“ εἰπεῖν, „ἀτερπές“ τε καὶ „οὐκ ἐν χάριτι,“ καὶ τὸ καλὸν „περικαλλὲς“ εἰπεῖν, καὶ τὸ λίαν „μάλα 563
ἀνυτικῶς,“ [ὡς] καὶ „κομιδῇ“ ποτε· καὶ ἀντὶ τοῦ καλῶς „ὑπέρευγε·“ τό τε ἄτοπον „ὑπερφυές,“ καὶ τὸ δεινὸν „σχέτλιον,“ καὶ τὸ ὅπου „ἵνα“ καὶ „ᾗ, ὡς ᾗ [διεβαίνομεν] πρὸς τὸ τῆς Ἀγρίας διαβαίνομεν,“ τό τε παραιτήσασθαι „παρέσθαι,“ καὶ „ἀντιβολῆσαι“ δὲ τὸ δεηθῆναι, καὶ τὸ ἐκλῶς „ἐν βραχεῖ“ καὶ „ἀμηγέπη“ τὸ μετρίως.

Πιστέων δ' ἐστὶ τῶν κομιδῇ ξένων καὶ τὴν γνῶσιν ἐν αὐτοῖς οὐκ ἐχόντων, οὐ μὴν ἐκείνων γε τῶν περὶ τὴν πτῶσιν κεκαινοτομημένων, ἢ τὰς ἐγκλίσεις τῶν ῥημά-

των, ἢ τὰς διαθέσεις ἢ τὰς μεταλλάξεις τὰς περ
χρόνους, ἢ τὰ πνεύματα καὶ τοὺς τόνους. τοι
λεκτέον „ἀφείλετό με,“ καὶ „χάριν τὴν σήν.“ καὶ
μάζω σοῦ“ καὶ „καταφρονῶ σε“ καὶ „ἐθάρρει τού
καὶ „οὐδέν σε δεῖ τοῦ ἐπιτηδεύματος.“ καὶ „ὅτι ἡ τ
„αὐτὴ καὶ εἴσεισι.“ καὶ „εἶεν, μακάριοι ἐκεῖνοι
„ὡς εἰδεῖεν οἱ θεοί.“ καὶ ἀνύσας ἱκανῶς, καὶ ἀφ
τοῦ πνεύματος ἐνδόντας· καὶ ψεύδοντ' ἀλλ' οὐ τοσ
561 πνεύματος, οἷον ἥκιστα, καὶ τὰ τοιαῦτα ὅσα καὶ ἐν
οἷα „ταὐτόν, κατ' ἀρχάς, ἔμπαλιν.“ οἱ δὲ χρόν
οὗτοι διαφέρουσι, Θεμιστοκλέα καὶ ψιμύθιον κι
μυθα. τί δ', οὐχὶ καὶ οἱ τόνοι; καὶ ὡσαύτως κι
οἰκείαν δευτέραν ἀπὸ τοῦ τέλους· καὶ παραλείπω
τί γάρ με δεῖ πάντα λέγειν δείγματος ὅσον δεό
ὃ δ' ἴσως ἀναγκαῖον· ἐκλέλειπται γὰρ τὸ παράδει
περὶ τοὺς ἀριθμοὺς οἷον „καὶ οὔπω εἶχον διὰ πά
καταστρώματα.“ καὶ „εἰπέ μοι· ταῦτα δ' ἂν λέ
καὶ „αἱ ἅμαξαι, ἵνα ἀντὶ τείχους ᾖ,“ καὶ „τὴν Φι
ρώμην διεξιέναι, ὅτι μοι δοκεῖ πάνθ' ὅσα ἂν εἴ
ὑπὲρ τούτων,“ καὶ ἐπὶ θάτερα τὰ γνωριμώτατα
δὲ ὁ δῆμος.“ πολιτεύω δὲ καὶ ἐπολίτευον καὶ μετα
καὶ διενόουν, καὶ ποιοῦμαι καὶ προωρώμην καὶ ἱ
(715) μαι καὶ ὁρῶμαι παρὰ τὸ κοινὸν εἴρηται πασχόντ
περ οὐχὶ ποιούντων. ἔτι δὲ καὶ πρὸς τούτοις ἡ μετ
τῶν λεγομένων, ὅταν τῆς συνήθους χώρας ἐκπέ
τῇ πεπατημένῃ κόσμον περιάπτῃ, ὡς ἐὰν λέγωμεν
δὲν δι' ἄλλο.“ καὶ „τούτου περὶ ἑνός“ καὶ „το
565 τῷ νεῷ,“ καὶ „ἄλλο τι ἤ,“ καὶ „τάχα ἴσως,“ καὶ „
τοίνυν δεκάτη.“ πολλὰ δὲ καὶ ἄλλα εὑρήματα, δεί
δὲ εἵνεκα ταυτὶ παρεθέμην· ἄκαιρον γὰρ εἰ πάντ
ται καὶ περὶ πάντων ἐπέξειμι μηδὲν παριείς. ἡ γ
βολὴ τοῦ λόγου γένοιτ' ἂν ἀσύμμετρος πολλῶν ἐπ

τοῦτο τὸ μέρος καὶ συγγραμμάτων πλειόνων εἰ ἐθελήσειας δοθῆναι δυναμένων. ἀλλ' ἐμοὶ προκείμενόν ἐστι καὶ σκοπός τις οὗτος καὶ κανών, ὑπόμνημα ποιῆσαι τῆς τέχνης, ὡς ἔνι μάλιστα ἐν βραχυτάτοις, τοῖς συγγεγονόσι καὶ πολλάκις καὶ συνεχῶς περὶ αὐτῶν ἀκηκοόσι, καὶ τοῖς βιβλίοις οὐκ ἀνασκήτως οὐδ' [ἂν] ἀμελετήτως τηρεῖν ἔχουσιν, ὧν τὴν μέθοδον ἐν τύποις κατετάξαμεν· εἰ δέ τις καὶ μὴ πλησιάσας μηδὲ τῶν πλειόνων ἀκούσας ὑπ' εὐφυΐας τε καὶ συνέσεως, δεξιότητός τε τῆς γνώμης εἰς ἐπίσκεψιν ἥξει κατὰ τὰ προειρημένα τῆς τέχνης, δύναιτ' ἂν ἀφ' αὐτοῦ τὸ ἀκόλουθον περαίνειν, καθάπερ ἐμβὰς ἴχνεσί τισι καί πως ὁδοῦ λαμβανόμενος.

Τὸ κόμμα δὲ περιόδου μέρος ἂν εἴη τὸ ἐλάχιστον. οἷον „πολλάκις ἐθαύμασα, τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην, ὡς ἄξιος εἴη θανάτου τῇ πόλει·" τῶν γὰρ κώλων τὰ μὲν βραχύτερα τούτου, 566
τὰ δὲ μείζω ὑπάρχει ὄντα. ὥσπερ ἀμέλει καὶ τῶν περιόδων αἱ μὲν μείζους, αἱ δὲ ἐλάττους, καὶ τῶν περικοπῶν ὡσαύτως. τοῦ γὰρ λόγου μέγεθος λαμβάνοντος καὶ τὰ μέρη τοῦ λόγου συνεπαύξεται. ἔστιν οὖν τὸ μὲν κόμμα ἐκ δυοῖν λέξεων ἢ τριῶν, τὸ δὲ κῶλον διπλάσιον ἢ κατὰ τοῦτο, καθάπερ διττῶν ἄρθρων μετέχον. ὠνόμασται γὰρ ἐκ μεταφορᾶς τῶν ἐν τοῖς ζῴοις κώλων· ἡ δὲ περικοπὴ ἐκ δύο κώλων καὶ τριῶν ἐστι κατὰ λόγον τῶν εἰρημένων μερῶν καὶ αὐτὴ συντιθεμένη· ὥσπερ γὰρ τῶν ποδῶν οἱ μὲν ἁπλοῖ τυγχάνουσιν ὄντες, οἱ δὲ διπλοῖ συντιθέμενοι ἐκ τούτων, οὕτω καὶ τῶν κομμάτων καὶ τῶν κώλων καὶ τῶν περικοπῶν τὰ μὲν μῆκος ἔχει σύνθετον, τὰ δὲ ἐπιτετμημένον. μικρᾶς μὲν περιόδου [κῶλα] μικραὶ καὶ περικοπαί, μεγάλης δὲ μεγάλαι.

Ἡ δὲ περίοδος ἐνθύμημά πώς ἐστιν ἀπηγγελμένον, ῥυθμοῖς εὐτάκτοις κώλοις τε καὶ περικοπαῖς, κατ' ἀλλή-

λας συμμέτροις. καὶ αὐτὴ δὲ ἡ περίοδος κέκληται ἐκ μεταφορᾶς ἤτοι τῶν ἀγώνων τῆς περιόδου, οἳ τῷ ἱκνουμένῳ χρόνῳ ἐπιτελούμενοι τὸ ἴσον ἀεὶ ἀφεστᾶσιν ἀλλήλων, ἢ ἀπὸ τῶν χορευόντων περὶ τοὺς βωμοὺς καὶ τὴν περίμετρον τοῦ βωμοῦ καὶ τὸν κύκλον περιλαμβανόντων ἀπὸ σημείου ἐπὶ τὸ αὐτὸ σημεῖον καθισταμένων, ἕως ἂν πληρώσαντες τύχωσι τοῦ κύκλου τὴν χορείαν. τῶν δὲ περιόδων καὶ τὰς ἀσυμμέτρους τοῖς μέρεσι
567 περιόδους ὁμοίως καλεῖν εἰώθαμεν, τῆς κατὰ τὸ ἐνθύμημα διανοίας ἐκτετελεσμένης· ὅσα δὲ σχήματα τῶν ἐννοιῶν ὠνόμασται, οἷον προδιόρθωσις, ἐπιδιόρθωσις, ἀποσιώπησις, παράλειψις, εἰρωνεία, ἠθοποιΐα, ἅπαντα ταῦτα οὔ μοι δοκεῖ δικαίως σχήματα καλεῖσθαι, ἀλλ' ἔννοιαι καὶ ἐνθυμήματα καὶ λογισμοὶ τοῦ πιθανοῦ χάριν καὶ πίστεων εἴδη· τὰ μὲν γὰρ προοιμίων ἔχει δύναμιν, προδιόρθωσίς τε καὶ ἐπιδιόρθωσις, ἡ δὲ παράλειψις τὸ ἀξιόπιστον ἐνδείκνυται, καὶ μέρη ἂν εἴη τῆς παθητικῆς τε καὶ ἠθικῆς ἀποδείξεως τῇ τῆς ὑποκρίσεως ἀρετῇ πρέποντα, ὅθεν ἤδη καὶ περὶ ταύτης λεκτέον, οἷόν τέ ἐστι καὶ τίς ἡ δύναμις αὐτῆς.

ΠΕΡΙ ΥΠΟΚΡΙΣΕΩΣ.

Ὑπόκρισίς ἐστι μίμησις τῶν κατ' ἀλήθειαν ἑκάστῳ παρισταμένων ἠθῶν καὶ παθῶν καὶ διάθεσις σώματός τε καὶ τόνου φωνῆς πρόσφορος τοῖς ὑποκειμένοις πράγμασι. δύναται δὲ μέγιστον εἰς πίστιν, καὶ τὸν ἀκροατὴν ἄγειν ἐπίσταται λαμβάνουσα ταῖς ἐπιβουλαῖς τε καὶ
(716) γοητείαις, παραγωγαῖς τε καὶ παρακρούσεσιν. ἡ μὲν γὰρ πίστις τε καὶ ἀπόδειξις [καὶ] μετ' ἀνάγκης ἄγει, ἡ δ' ὑπόκρισις ἀπάτῃ δελεάζουσα καθέλκει τὴν γνώμην τοῦ κριτοῦ πρὸς τὸ δοκοῦν τῷ λέγοντι, διόπερ εἰκότως ὁ Δημοσθένης αὐτὴν ἔντιμον ἦγε, καὶ πολλὰ κατὰ τῆς

μεως ταύτης εἴρηκεν ἐγκώμια, τρὶς μὲν περὶ αὐτῆς 568 ηθείς, τριπλᾶ δὲ αὐτῇ δοὺς τὰ νικητήρια καὶ ποιή- ρώτην τε καὶ δευτέραν καὶ τρίτην. εἰ γὰρ στερή- λόγος τὰ ἄλλα πάντα ἔχων πλεονεκτήματα καὶ τὸ πείθειν ἱκανῶς συγκεκροτημένος ταῖς ἀποδεί- ιαὶ σαφῶς τε καὶ καθαρῶς τῇ λέξει διακείμενος, τοῦ τὴν ὑπόκρισιν πλάσματος, οὐκ ἂν ἔχοι πρακτικῶς τῶν δικαστῶν. φαίνεται γὰρ ἀμυδρός τε καὶ ἀσθε- ιαὶ ἀχάριστος, ἀτερπής τε καὶ ἀγλευκής, καὶ τὸν τὴν ἐνοχλῶν, ἐλαύνων μᾶλλον ἢ καὶ τὴν ψῆφον καλῶν. ἄσκει δὲ αὐτὸ θεώμενος τοὺς ἐν τοῖς ἀλη- ς πράγμασιν ὁτιοῦν λέγοντας καὶ μετὰ τοῦ πάσχειν μένους καὶ διατεινομένους ἐν τῷ διαλέγεσθαι, ἢ χντίον ἀνιεμένους καὶ πραϋνομένους καὶ πράξεως ως μεταλαμβάνοντας. διαπλάττει γὰρ αὐτοὺς καὶ ατός πως μετέχειν ποιεῖ καὶ τόνου φωνῆς αὐτὰ τὰ ματα. πεπονθὼς γὰρ οὗτος αὐτὸς αὐτῷ κατὰ τὴν ειαν οὕτω τῷ τέχνην συνισταμένῳ καὶ βουλομένῳ ον μαθεῖν ὑποκρίνεται. δυνήσῃ δὲ καὶ παρὰ τῶν ραγῳδίας ὑποκριτῶν καὶ κωμῳδίας τῶν ἀρίστων, ὅσον ποιεῖ τὴν εὔνοιαν ἢ τὴν ἀηδίαν ἑκάτερον ν τό τε ἐν ὑποκρίσει καὶ ἄνευ ταύτης, καταμανθά- ὡς δὲ ἐν τύποις περιλαβεῖν, θυμουμένῳ μὲν ἐπί- ν ποιεῖσθαι τὸν λόγον συμφέρει καὶ πρέπει, καὶ ρωνὴν ὀξεῖαν ἔχειν καὶ τὸ φθέγμα ἁπλούστερον, σταμένῳ δὲ τὰς ἀρχὰς πρᾷον τὸ φθέγμα ποιητέον πιεικές, ἐπὶ τὸν ὄχλον δέ πως καὶ δεητικὸν καὶ τον οἷον παρακαλοῦντος καὶ ἐν χρείᾳ καθεστηκότος ὐλαβείας ἢ αἰδοῦς μετέχοντος. αἱ δὲ πίστεις τοῦ ματος τὸν ῥυθμὸν ὑπαλλαττέτωσαν, καὶ τὸ τῶν μημάτων εἶδος ἐπιστρεφῆ ποιείτω τὸν λόγον, καὶ ζῆμα τοῦ σώματος μετὰ τῆς χειρὸς σύντονον καὶ 569

δριμὺ [βλέπειν ἄμεινον καὶ] βλέποντα πρὸς τοὺς δικαστάς, καὶ συναποκλινόμενον αὐτὸν ταῖς τῆς πειθοῦς μεταβολαῖς. εἰ δέ τι ἀποδείξαις, καὶ καιρὸν ἄγοντα μάθοις τὸν δικαστὴν τοῖς ἐλέγχοις καὶ παραδεδεγμένον τὴν πιθανότητα τῆς ἀποδείξεως, σχετλιάζειν ἡ φύσις παρακαλεῖ καὶ καταπλήττειν τὸν ἀντίδικον τῷ πεπλασμένῳ τούτῳ φθέγματι, οἰκείῳ τῶν εὑρηκότων ὄντι τὴν ἀλήθειαν. ἐπικλάζειν γοῦν φιλοῦσι καὶ θέλγουσι καὶ αἱ κύνες τῇ τῶν ἰχνῶν εὑρέσει καὶ περιχαρείᾳ δηλοῦσιν ἔχειν ἐγγὺς τὸ πάλαι ζητούμενον· ἐπαίρεται δὲ καὶ μικρὸς παῖς οὗ γλίχεται τυχών. ταῦτα δὲ μὴ παρέργως βούλου θεωρεῖν, ἀλλὰ συλλέγειν εἰς τὸν ἑαυτοῦ λόγον, ἴδιον εἶδος πίστεων δι' ἀπάτης εὐαγώγου πεπορισμένον ἀσυλλογίστῳ πάθει τοῦ πρὸς ταῦτα πειρωμένου. οἰκτιζόμενον δὲ δεῖ μεταξὺ λόγου τε καὶ ᾠδῆς τὸν ἦχον ποιήσασθαι, οὔτε γὰρ διαλεγόμενός ἐστιν· ἀναπείθει γὰρ οἶκτος ἐξᾴδειν, ὅθεν ἀρχαὶ μουσικῆς χαρμονή τε καὶ λύπη, τοῦ φθέγματος ἐπεγειρομένου πρὸς τὴν μεταβολὴν τῆς λέξεως· οὔτε δὴ* ἔοικεν, ἀλλὰ πίπτει μεταξὺ τούτων. δρόμος δὲ οὐ πρέπων ἐν τῷ τοιούτῳ μέρει, πλὴν εἰ τοὺς ἐπιλόγους δεήσειεν οὐ κατ' οἶκτον, ἀλλὰ κατὰ τὸ θυμοειδὲς διατίθεσθαι.

Ταῦτα ἱκανῶς ἐχέτω, τὰ δ' ἄλλα ἐκ τούτων ὁ μαθὼν λήψεται, καὶ οὐκ ἂν ὅ γε εὐφυὴς ἀπόρως ἔχοι τῶν τούτοις ἑπομένων, ποιητικός τε ὢν καὶ ἐξεργαστικὸς καὶ ἀπὸ βραχείας ἀφορμῆς ἐπὶ πολὺ τείνων τὴν διάνοιαν, καὶ ἐφ' ὅσον προσήκει τῷ μέλλοντι τελέῳ γενέσθαι ῥήτορι.

(717) ΠΕΡΙ ΜΝΗΜΗΣ.

570 Μνήμης δὲ ὅτι οὐδέν ἐστι σπουδαιότερον ἀνθρώποις
31 ὡς ἔπος εἰπεῖν, τίς ἂν ἀντιλέξειε νοῦν ἔχων; οἱ δὲ καὶ τὴν λήθην ἐπαινοῦσιν, ὡς Εὐριπίδης :

ὦ πότνια λήθη τῶν κακῶν,

ὀνομάζων· ἐγὼ δὲ λήθην μὲν καὶ ἔξοδον μνήμης ἤ τι ἢ οὐδὲν ἐπωφελεῖν κρίνω, τὰ δὲ μέγιστα καὶ κυριώτατα βλάπτειν τοῦ βίου καὶ παραιρεῖσθαι καὶ στερεῖν τῆς εὐδαιμονίας· τὸ γὰρ εὐμισητότατον τῶν ἁμαρτημάτων τε καὶ ἀδικημάτων, τὴν ἀχαριστίαν, ἐπιλειπούσης τῆς τοῦ μνημονεύειν δυνάμεως συμβαίνουσαν εὑρήσομεν· ὁ δὲ μεμνημένος τὴν χάριν οὔτε ἄδικος οὔτε ἀχάριστος· νόμων γε μὴν ἐπιλαθομένους καὶ τῶν σωφρονιζόντων ἡμᾶς δογμάτων, ἀναγκαῖόν ἐστι φαύλους τε καὶ μοχθηροὺς καὶ ἀναιδεῖς γενέσθαι, πᾶσά τε ἄνοια καὶ ψυχῆς ἀμαθία διὰ λήθην ἐμπίπτει. ὁ δὲ ἄκρως μνημονευτικός τε καὶ μνήμων διαφερόντως σοφός· ὅθεν καὶ τοῦτο ὀρθῶς ἐστιν εἰρημένον, οὐ μνημονεύω μὴ λίαν ἡ μὲν τοῦ σοφοῦ, καὶ σοφὸς ὁ πολλὰ εἰδὼς φύσει. τῶν δὲ τῆς ψυχῆς ἀρετῶν, εὐμαθείας, ἀγχινοίας, συνέσεως, μνήμης, μεγαλοπρεπείας, εὐεπείας, τὸ ζηλοῦν δύνασθαι καὶ ἀκριβῶς ἀπομιμεῖσθαι καὶ ἀπομάττεσθαι τοὺς τύπους τῶν λόγων, οὓς ἄν τις ἐπιδείξειε καὶ θαυμάσειε, καὶ τὸ τοῖς διδασκάλοις παραπλησίως τε καὶ ὅτι ἐγγυτάτω λέγειν, ταῦτα ξύμπαντα μιᾶς ἔχεται φύσεώς τε καὶ 571 δεινότητος καὶ πλεονεξίας τῆς [ἐκ] τοῦ μνημονεύειν ἑτοίμως ἔχειν. ἡ γὰρ κρᾶσις τῆς ψυχῆς σύμμετρος οὖσα καὶ δικαία κατὰ τὴν ἁρμονίαν τῶν δυνάμεων, καὶ οἷον κηρὸς εἰργασμένος εὔπλαστος μὲν καὶ εὐάγωγος καὶ μὴ σκληρὸς μηδ' ἀντίτυπος μηδὲ ἀτέραμνος, μηδὲ αὖ μαλακός τε καὶ διαρρέων, ὡς συγχεῖσθαι τοὺς τύπους καὶ ἐξιτήλους γίνεσθαι συμπιπτόντων τῶν χαρακτήρων καὶ τῶν γραμμάτων, ἀναλαμβάνει καθάπερ ἐκμαγεῖον καὶ διατυποῦται ῥᾳδίως ὑπὸ τῶν φαντασμάτων τορνευόμενός τε καὶ γραφόμενος, ἐναργέσιν ὥσπερ καὶ κοίλοις γράμμασι καὶ νεοχαράκτοις σημείοις τῆς ἐπιστήμης.

πάντα γὰρ πᾶσιν εἰκάζων ὁ ἀγχίνους καὶ ταχέως ἐπιβάλλων διὰ τῆς ζητήσεως ἀπεμνημόνευσε καὶ ἔμαθεν ἐξευρεῖν τῆς ἀπορίας τὴν μηχανὴν καὶ συνεῖδε τὸ δέον. διόπερ μοι δοκεῖ καὶ ὁ Πλάτων τὰς μαθήσεις ἀναμνήσεις λέγειν. οὐδὲν γὰρ ἄλλο ἢ ὥσπερ ἀναμιμνησκόμενοι περὶ ὧν δοκοῦμεν μὴ μεμαθηκέναι μηδὲ ἐγνωκέναι καταλαμβάνομεν τὸ ζητούμενον· πῶς δ' ἂν ἠβούλετό τις ζητεῖν, ἅτε συνειδὼς αὑτῷ μὴ μαθών, εἰ μὴ προσεδόκα μνήμῃ τινὶ ταῦτα ἀνευρήσειν. ἡ δὲ εὕρεσις ἄρα τοῦτό ἐστι; πάρας ἀνάμνησις, καὶ ἀφ' ὧν ἔπαθέ τις καὶ ᾔσθετο συλλογισμὸς καὶ ὁμοίου καὶ ἀναλόγου ἢ μείζονος ἢ μικροτέρου παράθεσις. ἃ γὰρ αἱ αἰσθήσεις προὔλαβον καὶ ἡ 572 ψυχὴ παρὰ τῶν αἰσθήσεων ἔλαβε, ταῦτα μεμυκότα κεῖται καὶ ἠρεμοῦντα καὶ σχολάζοντα τοῖς νωθροῖς καὶ λήθης γέμουσιν, ὥσπερ ἐν διφθέραις εὐρῶτος ἢ πηλοῦ μεμιασμέναις καὶ ἐπαληλιμμέναις, τοῖς δὲ εὐφυεστέροις καὶ γονιμωτέροις καὶ αὐτῷ τούτῳ γνωμονικωτέροις, καθάπερ ἐν χαλκοῖς γραμματείοις σηπεδόνος κεχωρισμένοις καὶ διὰ χρόνον γιγνομένης ἐπηρείας, εἰς τὴν σωτηρίαν τῶν τύπων ἀμίαντα καὶ ἄχραντα διὰ τέλους σώζεται. μνήμη μὲν γάρ ἐστι σωτηρία φαντασιῶν, καὶ αἰσθήσεως παρελθούσης παρουσία, καὶ κτῆσίς πρὸς τὸ πρόχειρον τῆς χρήσεως. ἡ δὲ ἀνάμνησις ἐπιβολὴ φαντασίας παρελθούσης, ὡς παροιχομένης. ἔστι δέ τι καὶ μεταξὺ τοῦ εἰδέναι τε καὶ μή, ὃ δεῖται ὑπομνήσεως. καὶ ἔστιν ὑπόμνησις ὡς ἐξιούσης τῆς ἐπιστήμης ἀνανέωσις καὶ ἀνάληψις, ὧν προείμεθα λήθης χάριν. καὶ τῶν μὲν γνῶσις, τῶν δὲ ἀνάληψις εἰς τὸ ὁλόκληρον τῆς ἐπιστήμης. ὁ δὲ ἐπιλανθανόμενος τῶν ἐσκεμμένων ἰδιώτης ἄχρηστος, καὶ πάντα κληθεὶς δικαιότερον ἢ ῥήτωρ· ὅπου γε καὶ Δημοσθένην τῆς μνήμης ἐπιλειπούσης ἐκλελοίπει καὶ ἡ δύναμις τῶν λόγων, καὶ συνόλως ἡ τέχνη

νήμης ἐκπλαγείσης ὑπὸ τοῦ δέους πᾶσα τέχνη (718) [φησὶν] ὁ Θουκυδίδης· φόβος γὰρ μνήμην ϊει, λέγει που, καὶ ὀρθῶς λέγει. γένοιο δ' ν διαίτης τρόπῳ σώφρονι καὶ φύσεως εὐτυχίᾳ ἐπιπνοίᾳ καὶ φιλομαθίᾳ ἰδίᾳ καὶ φιλονεικίᾳ 573 ἧσθαι θέλειν. κινδυνεύει τε πᾶς φιλομαθής, πη τῆς μνήμης, [μελέτη] διὰ τέχνης πόθου οῦ καὶ φροντίδος ἐξεργάζεσθαι τὸ μνημονεύειν· γὰρ ἀρχὴ φροντίδος. μέριμνα δὲ καὶ φροντὶς η τοῦ πόθου τὴν καταβολὴν καὶ τῆς ἐπιθυμίας ιν ἐρρωμένην οὖσαν, ὃ δὴ ἔρως κέκληται, ῆς μνημοσύνης τὴν οὐσίαν. αἰσθανομένη γὰρ ῦ καλοῦ μαθήματός τε καὶ θεάματος, ἢ τοῦ- οῦ χείρονός τε καὶ χαλεπωτέρου, προσέσχε τὸν ὶ δεινὴν ἔλαβεν ὠδῖνα τοῦ πράγματος, ὥστε ιένειν μέχρι παντὸς ἐθέλειν. ἐξ ὧν ἡ φροντὶς αι, σφύζοντος καὶ σφαδάζοντος καὶ πηδῶντος οῦ τῆς φαντασίας μέρους. ὁ δὲ ῥάθυμος ἀμ- αὶ νωθρὸς καὶ βραδύς, μόλις τε ᾔσθετο τοῦ , καὶ μετὰ τὴν αἴσθησιν ἐγκατέλιπεν, εἰ μή τις γείρειεν θεῶν, ἢ ἑαυτὸν τοσοῦτον εὔφλεκτον θητον ἐξεργάσαιτο καὶ τρίβοι τοὺς τύπους ταῖς ήσεως καὶ μελέτης καὶ μερίμνης ἐπιβολαῖς. τὸ ίκις ἐθέλειν ἀκούειν καὶ λέγειν ὧν ἤκουσεν ἢ δι' ἑτέρας ἡστινοσοῦν αἰσθήσεως, τοῦτο ἀπερ- ὸ μεμνῆσθαι κινουμένης ἀεὶ καὶ βάθος λαμβα- ὰ τῆς κινήσεως τῆς ἐναπομορχθείσης φαντα- ὴν τῆς ψυχῆς ὑποδοχήν. ὡς γὰρ τὰ τρίμματα τῶν κοιλαίνεται καὶ βάθος ἴσχει ταῖς πολλαῖς έσι καὶ καταγινομέναις τῶν τροχῶν ἐπιβολαῖς, κατὰ τὴν ψυχήν τι συμβαίνει. τὸ δ' εἰς ἅπαξ 574 ν καὶ μέχρι τινὸς καὶ ἕως τούτου λίαν ἐπιπο-

λαίους ποιεῖ τοὺς τύπους. οὕτω μὲν οὖν μνήμης περιέσῃ, καὶ εἰ μὴ τύχοις φύσει μετειληφώς.

Ἤδη δὲ καὶ Σιμωνίδης καὶ πλείους μετ' ἐκεῖνον μνήμης [γνώμης] ὁδοὺς προὐδίδαξαν, εἰδώλων παράθεσιν καὶ τόπων εἰσηγούμενοι πρὸς τὸ μνημονεύειν ἔχειν ὀνομάτων τε καὶ ῥημάτων· τὸ δέ ἐστιν οὐδὲν ἕτερον ἢ τῶν ὁμοίων πρὸς τὸ δοκοῦν καινὸν παραθεώρησις καὶ συζυγία πρὸς ἄλλο. τὸ γὰρ γνώριμον τοῦ γνωστοῦ τύπος τις καὶ ἴχνος καὶ λαβαὶ καὶ ἀφορμαί, καὶ τοῦτον τὸν τρόπον καὶ τὰς τῶν βαρβάρων φωνὰς συλλαβεῖν ἐστιν ἀντιτιθέντα τῷ γνωρίμῳ τὸ ἀντ' αὐτοῦ, καὶ τοὺς τύπους τῶν πραγμάτων καταβλέποντα. ὁ δὲ τόπος τῆς μνήμης [εἰς] ἀφορμὴν ἔδωκεν, ὅτι μηδὲν ἄνευ τόπου, καὶ τὸ μέρος τοῦ λείποντος καὶ ὅλου. ὥσπερ γὰρ οἱ τὸ ἴχνος ἀνευρόντες κύνες καὶ τὴν χώραν τῶν ἰχνῶν κατὰ πόδας διώκουσι τὸ θηρίον, καὶ μόνον οὐκ ἔχειν ὑπολαμβάνουσιν, οὕτω δὴ καὶ τῷ σπουδάζοντι μνημονεύειν καὶ σώζειν τὰ μαθήματα θέλοντι τὰ μέρη τῶν μαθημάτων ἐστὶ θεωρητέον καὶ τὰ συμβεβηκότα αὐτοῖς, ἵν' ὅπου τύχοι προσβαλὼν ἐκεῖθεν αὐτῷ τὸ μνημονεύειν ὑπάρξαι. τοιγαροῦν καὶ τὰ μέτρα μᾶλλον μεμνήμεθα τῶν ἄνευ μέτρου πεποιημένων, ὅτι δὴ τὸ τοῦ ῥυθμοῦ καὶ τῆς εὐταξίας ἀνάλογον μνημονεύοντες καὶ τὰ καθ' ἕκαστα τῶν ῥημάτων ἀνιχνεύομεν κατὰ πόδας ζητοῦντες τὸ λεῖπον ἐξ ὧν προειλήφαμεν. τὸ δὲ μέγιστον ἐν τούτοις, μελετᾶν ἀεὶ καὶ ἀπιστεῖν ὡς εἰδότι καὶ φοβεῖσθαι μὴ διαρρυέν σε τὸ μά-
575 θημα οἰχήσεται. τὸ γὰρ ποιοῦν ἐπιλήσμονας ὑπόληψίς ἐστι τοῦ δοκεῖν εἰδέναι τὸ ἅπαξ ὀφθὲν ἢ λεχθὲν ἢ ἀκουσθέν, καὶ τὸ προσδοκᾶν ὅτι καὶ εἰς νέωτα καὶ μετὰ χρόνον μοι παραμενεῖ, μή τι γε δὴ τρίτην ὕστερον ἡμέραν ἢ τετάρτην ἢ πέμπτην. ἔχει δὲ οὐχ οὕτως· ἀλλ' οἴχεται καὶ κατὰ μικρὸν διαφθείρεται καὶ δαπανᾶται μὴ μελε-

τώμενον. δεινὴ δὲ πρόφασις λήθης καὶ τὸ γεγράφθαι πού σοι τὰ μαθήματα καὶ ἐπὶ σχολῆς ἔχειν, ἐντυχόντα γνῶναι, καὶ ἀναλαβεῖν τὸ ἐκβεβλημένον. δεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἡγεῖσθαι μηδὲν ἐκείνων γεγράφθαι, μηδ' (719) ἐπίσρι καθεστηκέναι διαναγνόντι καὶ ἐπιλεξαμένῳ μαθεῖν οἷον μηδὲ εἰδέναι γράμματα, τό γε ἐπὶ μνήμῃ, καὶ οὕτως ἔσῃ φροντιστὴς περὶ τὰ ἐγνωσμένα, καὶ μελετηρότατος εἰς μαθήματα. ἀμέλει τίς ἂν ἐπιλάθοιτο τοῦ ὀνόματος τῆς μητρὸς ἢ τοῦ πατρὸς ἢ τῆς πατρίδος ἢ τοῦ σφετέρου; [ἆ] δῆλον ὅτι δι' οὐδὲν ἄλλο, ἢ ὅτι ἡ μελέτη τούτων ἀέναος γίνεται καὶ καθημερινή τε καὶ διὰ τέλους. τίς δέ ἐστιν ὅστις ἐρωμένης ἢ παιδικῶν ἐξελάθετο, καὶ ὧν οὗτοι λέγουσιν ἢ πράττουσι; κἂν ληροῦντες τύχωσι, καὶ ὁτιοῦν φλυαροῦντες εἴπωσι, τοῦτο φροντίδι βεβαιωσάμενος περιφέρει καὶ μελέτῃ μακρᾷ τῷ πρὸς ἐκείνοις εἶναι τὴν γνώμην καὶ μετ' ἐκείνων διαιτᾶσθαι. διὸ καὶ σοφούς τε καὶ ποιητικοὺς ὡς εἰκὸς ἀποτελεῖ ἡ μνήμη ὑποτρεφομένη. ἅμα τε γὰρ ἔσπασέ τι τῆς ἐπιθυμίας, καὶ ἐγέννησε τὸ μνημονεύειν ποθῶν ἀπερχόμενον 576 τὸ φανὲν κεχαρισμένον, καὶ σοφώτερος αὐτοῦ γεγενημένος καὶ ποιεῖν εἰς τὰ παιδικὰ ὀρέγεται καὶ γλίχεται τοῦ καλοῦ, καθάπερ τέως μελετηρὸς ὤν, νυνὶ δὲ πτερωθεὶς ὑπὸ μνημοσύνης, κἂν εἰ τύχοι ζωγραφικὸς ὢν ἢ πλαστικός, εἴδωλον ὁμοιότατον ἐκ τῆς μνήμης τῆς περὶ τῶν παιδικῶν συμπλάσεται καὶ διατυπώσει. νυστάζειν γὰρ αὐτὸν οὐκ ἐᾷ καὶ παριέναι τὰ μέρη τοῦ κάλλους ὁ πόθος ἐγκείμενος, οὐδὲ ἀμελῶς θεωρεῖν. οὐδὲ φιλάργυρος τῶν δραχμῶν ἐπιλήσεται τούτων ὧν ἀπέθηκεν εἰς τὸ ταμιεῖον φέρων, διὰ φροντίδος ἔχων ἃ διηρίθμησε καὶ συνήθροισε. φροντίζων δὴ καὶ σὺ περὶ ταῦτα ἃ μανθάνεις, εἰ βούλει μαθεῖν, καὶ μεθ' ἡμέραν καὶ νύκτωρ, οὐκ ἐπιλήσῃ τὸ σύνολον, ἀλλ' ἕξεις ἐπὶ τὴν χρείαν ἑτοι-

μα [ὑπόγυον], αὐτὰ καὶ πρὸ ὀλίγου τεθεραπε περὶ αὐτῶν διειλεγμένος. ἐὰν δὲ ἀνῇς, οἰχήσε ρόεντα γοῦν οἱ ποιηταὶ τὰ ἔπη καὶ τὰ ῥήματα ὅτι τοῖς οὐκ ἀπρὶξ ἐχομένοις ἀναστάντα πέτετε τεται δὲ καὶ ὁ κατατετρῆσθαι δοκῶν πίθος, Ἅιδου κόσκινον, ὅτι μηδὲν στέγειν δυνάμεθα τὴν ψυχὴν εἰσιόντων, ἀλλ' ἀπορρυτόν ἐστιν ὥσπερ ἀπορρέοντός τινος ἀεὶ δεῖ τὸ ἐπεισρέ Ἀντιφῶν τε ἐν ταῖς ῥητορικαῖς τέχναις τὸ μὲν τ τα ἔφη καὶ ὑπάρχοντα καὶ παρακείμενα αἰσ κατὰ φύσιν εἶναι ἡμῖν, παρὰ φύσιν δὲ τὸ φ αὐτῶν ἐκποδὼν γενομένων ἐναργῆ τὸν τύπο ἐπειδὴ παρὰ φύσιν ἐστὶν τὸ μνημονεύειν, ἡ φρ
577 ἡ ἄσκησις κράτιστον. ἀκροώμενος οὖν τῶν τε ματιζόντων ἤτοι τὰ ἐσκεμμένα ἢ τοὺς αὐτοσχε γους καὶ τῶν ἀναγνωσμάτων, πρῶτον μὲν τὴν λεγομένου περιλάμβανε, τοῦτο δέ ἐστιν ἡ περι ἐννοίας καὶ ὁ κύκλος καὶ τὸ ἄρθρον τὸ περιγρ ἀφορίζον τὰ μέρη τῶν μερῶν, οἷον εἰ μὲν προοι τίς ὁ λόγος τε καὶ ἡ ὑπόθεσις τῆς προοιμιακῆς σεως, τοῦ α', τοῦ β', τοῦ γ', τῶν ἄλλων ἐφεξῆ διὰ τί εἴληπται λάμβανε. δεσμὸς γάρ ἐστι τῇ σοι καὶ φυλακτήριον [καὶ] τὸ τοιοῦτον εἶδος λα γὰρ διὰ τί τὸ κῦρος τῆς ἐπιστήμης καὶ τέχνης. γε μὴν καὶ περὶ τῆς διηγήσεως δηλώσεως οὔ ἄνωθεν ἐξαρχῆς εἴτε καὶ πόθεν ἤρξατο καὶ τίν καὶ ταῦτα ἐπίκρινε. ὅταν δὲ ἅπτηται τῶν πίστε μένων τε καὶ ἀναγκαίων διάκρισιν ποιοῦ, κεφάλαιον τὸ ἰδικώτατόν ἐστιν αὐτῶν, καὶ πρ πων λέγει καὶ πραγματεύεται. τὰ γὰρ καθ' ἕκα ἐπιχειρημάτων ἐκ τούτων σοι παραστήσεται δέω λέγειν ὅτι καὶ αὐτὰ τὰ ῥήματα· ὅταν δ' ἐ

ιλὸν καὶ καίριον καὶ περιττὸν καὶ συνέσεως ἀξίας ἐχό-ινον, διότι τοιοῦτόν ἐστιν οὐκ ἀχρεῖον λαβεῖν εἰς ἀπο-ιημόνευσιν. ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τῶν ἐπιλόγων· γὰρ αὔξει τὸ πρᾶγμα ἢ [μὴ] ταῖς ἐπανόδοις συστρέψας βραχεῖ διδάσκειν οἴεται δεῖν τὰ διὰ πολλῶν ἠνυσμέ-ι. μαρτύριον δὲ πρὸς τοῖς εἰρημένοις οὐκ ἐλάχιστόν τι τῆς μνήμης τὸ ἔργον ἡμέτερον εἶναι καὶ ἐφ' ἡμῖν (720) ι τοὺς διαλυομένους, ὅταν καὶ ἀπαλλαττώμεθα ἀπ' 578 λλήλων παραπέμποντες ἢ προπεμπόμενοι, κελεύειν λλήλων μεμνῆσθαι ἀπελθόντας· τοῦτο γὰρ σημαίνει ῥῆμα, ὅτι εἰ βουληθείημεν μὴ ἀμελεῖν τοῦ μεριμνᾶν, ιὶ ἄποθεν ἀλλήλων μνημονεύοιμεν ἄν. τὰ δὲ ἐγκλήματα ιὶ τὸ ἐπιτιμᾶν τοῖς μὴ μεμνημένοις οὐ σαφῶς εἰς τοῦτο ρει τὸ δέον ἐπιμέλειαν ἔχειν μνημοσύνης καὶ τοῦ ἄπο-ιν ὄντος; ὅσα γοῦν οὐκ ἐφ' ἡμῖν, ταῦτα οὐκ ἂν εἴη καιον ἐπιτιμᾶν, οὐκ ἀμορφίαν, οὐ πήρωσιν, οὐδὲν ἰν ἄλλων ὅσαπερ οὐκ ἐφ' ἡμῖν.]

[ΠΕΡΙ ΤΩΝ ΤΕΛΙΚΩΝ.

Ὅτι τὰ τελικὰ καλούμενα κεφάλαια, περὶ ὧν ἡ σκέ-ς, σύμπασιν ἐν τοῖς τρισὶν εἴδεσι τῶν λόγων ζητεῖσθαι ναται. αἱ μὲν γὰρ συμβουλαὶ διττῶς διανέμονται καὶ ύτης τῆς τιμῆς τυγχάνουσι· καὶ φέρε εἴπωμεν συμ-υλίαν. κατατρέχοντος τοῦ Φιλίππου συνεχῶς τὴν ρρόνησον γράφει Δημοσθένης διορύξαι τὸν ἰσθμὸν τῆς· λέξεις γὰρ οὕτω. παράνομα ταῦτ' ἐστιν, ὦ ημόσθενες, ἃ γράφεις· καινὰ γὰρ καὶ ἄτοπα καὶ πα-: τὸν τῆς φύσεως νόμον καὶ μὴ δόξαντα τοῖς προ-νοις μηδὲ τῷ θεῷ Διΐ, καὶ γὰρ ἂν ἔθηκε νῆσον, εἴ-ρ ἠβούλετο. ἀλλ' εἰ καὶ παράνομα, συμφέροντα μέν-ι πρακτέα· τὰ γὰρ καινὰ ἐὰν σώζῃ τὴν Χερρόνησον,

πῶς οὐκ ἀναγκαῖα; τὰ δ' ἀναγκαῖα πῶς ἐν Χερ(
καὶ τὴν ὑπὲρ αὐτῶν δαπάνην ὑποστῆναι; οὐ β(
579 ἐν ᾧ τὸ πρέπον κατασκευάσεις· ἢ καὶ ἑτέρῳ τρόπ
θεῖν οἷόν τέ ἐστιν αὐτοῖς, ὅτι χαλεπὸν πορίσασθ
ναμιν, οὐδὲ δυνατὸν τὴν ἐκείνῳ παραταξαμέν
οὔτε ῥᾴδιον, οὔτε εὔπορον, οὔτε δυνατὸν ὅλως δι
τὴν Χερρόνησον· δεῖ γὰρ ἀμυθήτων χρημάτων, κ
δαπανᾶν εἰς τοὺς προαγωνιζομένους καὶ εἴργοντ
Φιλίππου δύναμιν ἀπὸ τῶν ἐργαζομένων καὶ τα
σκαπτόντων, καὶ εἰς αὐτοὺς τοὺς ὀρύττοντας καὶ
λεύοντας τὸ χωρίον, οὐκ ὀλίγους οὐδ' εὐαριθμήτ
δὲ χρόνος ὅσος; εἰ δὲ καὶ πέτρᾳ ἐπιτύχοιεν δυσ
γάστῳ καὶ ἀντιτύπῳ; εἰ δὲ χαλεπήνειεν καὶ τὸ
νιον, ὡς βίαιόν τι ποιούντων ἡμῶν καὶ ἀθέμιτο
παρὰ τοὺς νόμους τῶν θεῶν; ἐν ᾧ ὅτι πανταχόθε
ἀσύμφορον, οὔτε ὁλόκληρον ἐργῶδες τὸ ἐγχείρημα
καὶ ὀλίγα ἀρκέσει χρήματα· κἂν εἰ πολλὰ εἰσάπα
λώσωμεν, τὸν δὲ ἅπαντα ἐν ἀσφαλεῖ τὰς πόλεις
καὶ ὀχυρῷ, ἐν ᾧ ὅτι ἐν θαλάττῃ πάντων ἀνθ(
ἀμείνους ἐσμέν, καὶ ὅσα ἐν ταῖς νήσοις ἔχομεν, ὁ
ταῦτα καὶ ἀχείρωτα ἄλλοις. καρπωσόμεθα οὖν κα
ρόνησον, ὡς Λῆμνον, ὡς Σκῦρον.]

ΑΝΩΝΥΜΟΥ
ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ.

Καλὴ μὲν ἡ τοῦ Ταρσέως Ἑρμογένους ῥητορική. ῶς γὰρ οὔ; συνεκτικωτάτη γάρ ἐστι πάντων τῶν τῆς χνης μερῶν. ἀλλ᾽ οὐδὲν ἐλάττων ταύτης καὶ ἡ τοῦ ιτικωτάτου Λογγίνου. οὗτος γὰρ καὶ εὐμαθέστερός τι τοῖς ἀναγινώσκουσιν, εὐθὺς ἀπὸ προοιμίου ἀρχό- νος καὶ τὰς ἀρετὰς ἑκάστης τῶν τῆς τέχνης μεθόδων λας ἅπασι καθιστῶν. ἔργον γοῦν, φησὶν ἐκεῖνος, οοιμίου [ἐπιείκεια], εὔνοια πρόσεξις εὐμάθεια· διη- σεως δὲ δηλῶσαι τὸ πρᾶγμα, καὶ πίστεως πεῖσαι διότι ὕτό ἐστιν· ἐπιλόγου δὲ αὐξῆσαι καὶ ἀναμνῆσαι καὶ οτρέψαι τὸν ἀκροατὴν τὴν ψῆφον ἐπενεγκεῖν ἣν βου- μεθα. καὶ εἶδος μέν φησιν ὁ ἀνὴρ εἶναι τὰ κεφάλαια, θάπερ ἀγαλμάτων ἢ τινῶν ἀνδριάντων τύπους, πρὸς ράδειγμα δὲ τοὺς ὑπὲρ αὐτῶν λόγους, ὄργανα δὲ τὰ ότα, μέρη δὲ τῶν εἰκότων σημεῖα, τεκμήρια, βάσανοι, ρτυρες, νόμοι, ψηφίσματα, συνθῆκαι, κηρύγματα ὶ τὰ τοιαῦτα· πάντα μὲν γὰρ τῷ γένει εἰκότα, κατ᾽ ος δὲ καὶ στοιχεῖον, ὥσπερ εἴρηται. καὶ σημεῖα μέν σιν ὀνομαζέσθω τὰ τῶν παροιχομένων ἀποδεικτικά, δὲ τῶν μελλόντων εἰκότα, τὰ δ᾽ ἀμφιλόγως ἔχοντα ιμήρια. τὸ δὲ ἐνθύμημα συλλογισμὸν λέγει τοῦ ῥήτο- ς, ἀτελῆ μέντοι καὶ τῶν συμπερασμάτων καὶ τῶν προ- σεων ἐνίοτε ἐπιδεῆ· καὶ γίνεται ἢ δεικτικὸν ἢ ἐλεγκτι- ν ἢ γνωμικὸν ἢ παραδειγματικόν· ἂν δὲ προσλάβῃ τὸ ράδειγμα, τέλεον ἐπιχείρημα γέγονεν. ἔστι γὰρ τοῦτο

ἐξειργασμένος ἐνθύμημα, τὸ πανταχόθεν ἐκτετι νον, καὶ δύο τὰ καθόλου μέρη τῆς κατασκευῆς, ἐνί καὶ παράδειγμα. καί ἐστι παράδειγμα ὅμοιον ὁμοι ρος, γνώριμον ἀγνοουμένου, τὸ δ' ἐνθύμημα ι τῶν παραδειγμάτων. ἃ γὰρ ἐν πολλοῖς ἔσπαρται δείγμασι, συστρέψας ὁ λόγος λέγει δι' ἐνθυμη διόπερ ἐξήγησίς ἐστιν ὥσπερ τῶν ἐνθυμημάτων ἡ τῶν παραδειγμάτων. ἀνυτικώτατον δέ, φησίν, ρεσιν τὸ διαβλέπειν τὰ συνυπάρχοντα τοῖς προ καὶ πράγμασι, τύχας, τέχνας, ἡλικίας, γένη, πλ τρόπους, καὶ ὅσα τοιαῦτα. ὑπαρχέτω δέ, φηι τούτων ἡ τῶν τελικῶν κεφαλαίων θέσις ἐπὶ τῷ ζη καὶ τὸ ἐφαρμόζειν τὰ τελικὰ καὶ γενικὰ καὶ τυπώ ἰδικωτάτοις. τῶν δὲ ἐπιλόγων, φησίν, ἡ δύναμ μνῆσαι τὰ εἰρημένα ταῖς ἐπανόδοις, αὐξῆσαί τε λογηθέν, εἴτε κρεῖττον, εἴτε χεῖρον τοῖς μερισμ τῇ παραθέσει τῶν ὁμοίων καὶ τῶν ἐναντίων. κι φύσις τῶν ἐπιλόγων ἀντιστρόφως τοῖς προοιμίοι σα εὑρίσκεται· τὰ γὰρ αὐτὰ καὶ προοιμιαζομένῳ κις καὶ προτρέποντι τοὺς δικαστὰς πρέπει κατὰ ι μα τῶν ἐπιλόγων. καὶ ὅτι τὸ μὲν προοίμιον μι ἔχει τῶν κεφαλαίων, ἐπαγγελίαν δὲ τῆς ἀποδείξεο ἐπίλογος αὐξήσεις καὶ ἀναμνήσεις τῶν ἤδη λεχθέ προσθῆκαι δὲ καὶ ἀφαιρέσεις ῥυθμίζουσι πολλά λόγον. ἡ δὲ ἀλληγορία καὶ νεάζειν τοῦτον ποιεῖ· πεπατημένον καὶ πεπλυμένον καὶ μυριόλεκτο κόρον ἄγει. καὶ αἱ καινοτομίαι δὲ τῶν συντάξε τῶν ἐγκλίσεων καὶ τῶν διαθέσεων καὶ αἱ περὶ τοι νους μεταλλάξεις κατασείουσι τὰ τοῦ ἀκροατο τοιγαροῦν λεκτέον, ἀμφὶ σοῦ λέγομεν, καὶ χάριν ι θαυμάζω σοῦ, καὶ καταφρονῶ σε, καὶ θάρρει τι καὶ ὡς εἰδεῖεν θεοί, καὶ ἀνύσασιν ἄν, καὶ τὰ τι

ια ἐλάχιστον δὲ μέρος τῆς μεθόδου τῆς κατὰ τὴν τέχνην τῆς λέξεως. φῶς γὰρ ὥσπερ τῶν νοημάτων καὶ τῶν ιχειρημάτων ἡ καλλιλογία. πλέον γὰρ οὐδὲν τῆς ἀγνοίας καὶ τῆς ὀξύτητος τῆς ἐπὶ τῇ κρίσει καὶ διαιρέσει ιὶ περισκέψει τῆς γνώμης καὶ τῶν καθ᾽ ἕκαστα λογιιῶν, εἰ μὴ συντείναις τῇ βελτίστῃ λέξει τὰ νοήματα. ἡ δὲ ρίοδος ἐνθύμημά πως ἐστὶν ἀπηγγελμένον ῥυθμοῖς τάκτοις, κώλοις τε καὶ περικοπαῖς πρὸς ἀλλήλας συμτροις. προδιόρθωσις δὲ καὶ ἀποσιώπησις καὶ παράιψις καὶ εἰρωνεία ἐνθυμήματά εἰσι καὶ λογισμοὶ τοῦ θανοῦ χάριν καὶ πίστεως εἴδη, καὶ μέρη ἂν εἶεν ς παθητικῆς καὶ ἠθικῆς ἀποδείξεως τῇ τῆς ὑποίσεως ἀρετῇ πρέποντα. ἔστι δὲ ἡ ὑπόκρισις τὸ κάλτον τῶν ἐν τῇ τέχνῃ. οὐ γὰρ μετ᾽ ἀνάγκης ἄγει, ἡ πίστις καὶ ἡ ἀπόδειξις, ἀλλ᾽ ἀπάτῃ δελεάζει καὶ θέλκει τὴν γνώμην τοῦ κριτοῦ πρὸς τὸ δοκοῦν τῷ γοντι. θεράπευε δέ, φησί, τὸν λόγον καὶ διάπλεκε ινίαις ὥσπερ καὶ ἀνθέων χροιαῖς καὶ βαφῆς ποικίλης ἰεσι. καὶ τὸ μὲν ἀποτετορνευμένον καὶ στρογγύλον ἲς ἐν τοῖς δικαστηρίοις ἀπόνεμε πίστεσι, τῷ δέ γε συμυλευτικῷ σεμνοτέραν δίδου τὴν λέξιν· τόν γε μὴν τὰ θέατρα φανησόμενον λόγον καὶ χειρωσόμενον ὺς θεατάς, οὐ χεῖρον δι᾽ ἀκριβείας συγκεῖσθαι καὶ λλεσιν εἰρῆσθαι· σωφροσύνης δέ σοι κἀνταῦθα δεῖ ὶ τῆς φιλοκάλου εὐτελείας. τὸ γὰρ ὑπερβάλλον εἰς των χάριν κολακεία καὶ τὸ σεμνόν, εἰ μετέχοι μετρίας ονῆς, ἀκόρεστόν ἐστι. αὔξεται δέ, φησίν, ἡ ὑποκειυη ὑπόθεσις ἀγαθοῦ καὶ κακοῦ δύο τρόποις, μερισμῷ ταραβολῇ. πολιτικῶς δέ ἐστι λέγειν τὸ πεποικίλθαι ν λόγον ἐνθυμήμασι πιθανοῖς, καὶ ὡς μάλιστα ἀποκτικοῖς. εἰς ἑκάτερα δέ, φησίν, ἐπιχειρεῖν δυνάμεθα, τε δόξας ἐναντίας περὶ τῶν αὐτῶν ἐσχήκαμεν, καὶ ὅτι

παρέοικε τὰ ἀγαθὰ τοῖς κακοῖς. καὶ τὰ μὲν εἰκότα ἰ φησίν, εἰσὶν ἔνδοξοι περὶ τῶν ὡς ἐπὶ πολὺ γινομ ἀφ' ὧν τὰ ἐνθυμήματα καὶ τὰς ἀποδείξεις καὶ τὸ στεις καὶ τοὺς συλλογισμοὺς ποιούμεθα τῶν ζητ νων κεφαλαίων. σημεῖον δέ ἐστι πρᾶγμα ἢ πάθος βεβηκός, ἀφ' οὗ τὸ ζητούμενον τεκμαιρόμεθα γεγο ἢ μή. ἐπὶ τούτοις ὁ ῥήτωρ ἑπτὰ τίθησιν ἄνδρας ἀ στους διὰ πάσης ἀρετῆς, ὁπόσοι τὴν φράσιν ἡμῖν κοσμοῦσι· δύο μὲν τῶν Σωκρατικῶν φιλοσόφων Α νην καὶ Πλάτωνα, δύο δὲ τῶν ἱστορίαν συνθέντων, δοτον καὶ Θουκυδίδην, τρεῖς δὲ τῶν ὀνομαζομένω τόρων, Ἰσοκράτην καὶ Λυσίαν καὶ Δημοσθένην τοὺς μὲν πέντε ἀναμαρτήτους ἐν πᾶσι τοῖς εἴδε λόγου τίθεται. Θουκυδίδου δὲ αἰτιᾶται τὸ κατ βασμένον καὶ περιειργασμένον, Πλάτωνος δὲ ἀτ τῆς τῶν ἰδεῶν κράσεως καὶ τὸν ποιητικώτερον τῆς πεζῆς διαλέκτου· τοῦτο μόνον οὐ κατ' ἐμὴν μην λέγων, ἀλλ' οὖν οὕτω τῷ ῥήτορι εἴρηται.

ΕΚ ΤΩΝ ΛΟΓΓΙΝΟΥ.

Ὅτι χρὴ πεφεισμένως χρῆσθαι ταῖς τροπαῖς καὶ τέχνης, μὴ παραλείπειν δὲ παντελῶς· οὕτως πρὸς ἰ χρήσιμον [ὂν] τὸ τοιοῦτον εἶδος. καὶ γὰρ καὶ Λυ- ιῦτως πεποίηκεν.

Ὅτι ὁ Ἀριστοτέλης τοὺς πάντα μεταφέροντας αἰ- τα γράφειν ἔλεγεν. διὸ λέγει Λογγῖνος σπανίως σθαι καὶ τούτῳ τῷ εἴδει.

Ὅτι τροπὴ ἐκ τοῦ πανούργου καὶ ἐξάλλαξις οὐδε- ν ἐν τοῖς ἀρχαίοις, ἀλλὰ καὶ τὰ τοῦ νοῦ σχήματα ιοτε εἰς τοὺς δικανικοὺς λόγους παρεισῆλθεν· ἡ ν γὰρ αὐτοῖς σπουδὴ περὶ τὴν λέξιν καὶ τὸν ταύ- ισμον ἦν καὶ τὴν συνθήκην καὶ ἁρμονίαν.

Ὅτι δεῖ σκέπτεσθαι τὴν δύναμιν τῶν κεφαλαίων, ἡν τῶν ἀντιθέσεων διαφοράν, καὶ μήτε ἀπὸ τῶν ιῶν ἄρχεσθαι μήτε τελευτᾶν εἰς ταῦτα, ἀλλὰ μιμεῖ- τὴν ἐν τοῖς πολέμοις τακτικὴν εἰς μέσον τοὺς χεί- λοχίζουσαν. τοῦτο δὲ καὶ ἐπὶ συνουσίαις ἄριστον, ἱνον ἐν συγγραφῇ. πρὸς γὰρ τὰ ἀσθενῆ ῥᾳδίως ἐγουσιν, ὥσπερ οἱ εἰς τοὺς ψιλοὺς τῶν πολεμίων όντες, ἀλλ' οὐκ εἰς τοὺς ὁπλίτας.

Ὅτι Δημοσθένης δεινότατος ὢν ἐν ταῖς ἀντιθέσε- ὐκ ἀεὶ τῇ τέχνῃ ἐμμένει, ἀλλ' αὐτὸς γίνεται τέχνη ικις. ὡσαύτως καὶ Ἀριστείδης.

Ὅτι τὸ παραγράφεσθαι ἐπὶ τῶν λαμπρῶν προσώ-

πων ἄτοπόν φησι· καθαιρετικὸν γάρ ἐστιν ἀξιώμα καὶ ὑποψίαν ἐμποιεῖ.

7. Ὅτι χρὴ ἐν ταῖς συνθήκαις τῶν κώλων εὐπ εἶναι τὴν λέξιν καὶ τὴν συνθήκην οὐκ ἀνάρμοστον. ἂν παίωνας εἶναι καὶ ἡρῴους τοὺς πλείστους, ἐξ εὔογκος ἡ ἑρμηνεία γίνεται καὶ σεμνή· παραδείγματ τὰ Πλάτωνος καὶ Δημοσθένους· οὗτοι γὰρ ἄριστοι γ μονες τῶν τοιούτων.

8. Ὅτι ἐν τοῖς ἀδόξοις καὶ φέρουσιν αἰσχύνην ἀπολογουμένῳ κάλλιστος ὁ δι' εἰκασίας τρόπος, οἱ πορνείας κατηγορηθεὶς μὴ παρὰ ἕκαστον πειρῶ ἀπο γεῖσθαι καὶ λύειν· εὐτελὲς γὰρ καὶ καθαιροῦν τὸ ἀξίω κἂν τὰ μάλιστα πολλοὺς ἔχῃς ἐλέγχους τοῦ συκοφαν ματος. παράδειγμα τῆς μεθόδου ταύτης τοιόνδε ἐ βλασφημηθεὶς γάρ τις ὑπό τινος, ὡς ἐπὶ τοῖς αἰσχίστ συνεγένετο βασιλεῖ, δι' εἰκασίας ἀπελογήσατο· κἀκ νος πρὸς τὰ βελτίω προὔτρεπε συνών, καὶ αὐτὸς ο ἡπτόμην τῶν μοχθηρῶν ἐπιτηδευμάτων. ἐφυλάξατο ἐ ταῦθα τὸ ἄδοξον τῆς ἀπολογίας.

9. Ὅτι ὁ πρῶτος ἄριστα πρὸς τὴν πεζὴν λέξιν τ Ὁμηρικὸν ὄγκον μετενεγκὼν Πλάτων ἐστίν.

10. Ὅτι πολλάκις ἐνδείᾳ φύσεως καὶ οἱ ἐπιστήμον κατὰ τὴν ἐργασίαν ἀποτυγχάνουσιν.

11. Ὅτι Θεόφραστος ἓξ τρόπους αὐξήσεως παραδέ δωκεν· τὰ μὲν γὰρ ἐκ τῶν πραγμάτων λέγει ἔχειν τὴ αὔξησιν, τὰ δὲ ἐκ τῶν ἀποβαινόντων, τὰ δὲ ἐξ ἀντιπαρα βολῆς καὶ κρίσεως, τὰ δὲ ἐκ τῶν καιρῶν καὶ τοῦ πάθου φαίνεται μεγάλα. οἱ δὲ νέοι ῥήτορες καὶ ἐκ τῆς αἰτία φασὶν ἔχειν τὸ μέγεθος μεγάλην ῥοπήν.

12. Ὅτι τὴν πλεονάσασαν περὶ τὴν Ἀσίαν ἐκλυ ἀνεκτήσατο Ἀριστείδης· συνεχῶς γάρ ἐστι καὶ ῥέων πιθανός.

13. Ὅτι ἠθικὸς λόγος γίνεται κατὰ διάνοιαν, ὅταν χρηστὴν ἔχῃ προαίρεσιν καὶ πρὸς τὰ βελτίω ῥέπουσαν.

14. Ὅτι ἄριστοι λόγοι καὶ μιμήσεως ἄξιοι οἱ μὴ ἔχοντες ἑνὸς χαρακτῆρα, ἀλλὰ διαφόρων.

15. Ὅτι τὰ κεφάλαια τῆς δημηγορίας τέτταρα λέγει εἶναι, ὅσαπερ καὶ καθάπαξ εἴωθεν ἐμπίπτειν εἰς τὰς συμβουλάς, τὸ δίκαιον τὸ συμφέρον τὸ δυνατὸν τὸ ἔνδοξον, ταῦτα δ' ἄριστα τὸν Θουκυδίδην φησὶ φυλάξαι.

16. Ὅτι αἱ γνωμολογίαι ἄρισται ἐπὶ τῇ κατασκευῇ. οὐ δεῖ δὲ κατακόρως ταύταις κεχρῆσθαι.

17. Ὅτι τὸν κατὰ Μειδίου λόγον ἐπιφορικόν φησιν εἶναι, εἰλῆφθαι δὲ ἐκ τῆς ποιότητος τοῦ προσώπου.

18. Ὅτι τέχνης ἐστὶ μᾶλλον τὸ ποῖα δεῖ προτάττειν, καὶ ποῖα ἐπιζευγνύειν.

19. Ὅτι ὑπόστασιν καλοῦσιν τὸ ἔμφασιν ἔχον καὶ πάθους τινὸς ἐνδεικτικόν, καθάπερ τὸ Δημοσθενικόν· „οὕτως ὠργίσθη καὶ παρωξύνθη". καὶ ἄλλως· „ὅσῳ πλείοσιν οὗτος ἠνόχληκεν".

20. Ὅτι δεῖ τὰ προοίμια ἐν μὲν τοῖς συμβουλευτικοῖς ἐκ τῶν κεφαλαίων, ἐν δὲ τοῖς δικανικοῖς ἐκ τῶν ὑπολήψεων, ἐν δὲ τοῖς πανηγυρικοῖς ἐκ τῆς ὅλης σχέσεως τοῦ λόγου λαμβάνειν.

21. Ὅτι χρὴ τὸν παραμυθούμενον μὴ μετὰ σοφιστικῆς τρανότητος, ἀλλὰ μετὰ συμπεπονθυίας λέγειν ἁπλότητος· οὐ γὰρ ῥητορικῶς ἀλλὰ θεραπευτικῶς ἔξεστι λέγειν.

22. Ὅτι πραγματικὴ σύνταξίς ἐστιν ἡ πρὸς τὸ σημαινόμενον τὴν ἀναφορὰν ἔχουσα, ἀλλ' οὐ πρὸς τοὺς χαρακτῆρας τῶν ὀνομάτων ἤγουν τῶν λέξεων, ὡς τὸ „ἀπέβαινοντο ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν". καὶ τὸ „ὑμεῖς δ' ὁ δῆμος". καὶ „ἅπασα ἡ Ἑλλὰς ἐσιδηροφόρουν".

23. Ὅτι ἐπὶ δεινῷ λόγῳ οὐ χρὴ τοῖς γυμνοῖς χρῆσθαι τῶν ὀνομάτων, ἀλλὰ τοῖς δι' ἐμφάσεως τὸ βούλημα σημαίνουσιν.

24. Ὅτι ῥητορικῆς ἔργον τὰ μὲν σμικρὰ μεγάλως λέγειν, τὰ δὲ μεγάλα σμικρῶς, καὶ τὰ μὲν καινὰ παλαιῶς, τὰ δὲ παλαιὰ καινῶς.

VI.

ΑΨΙΝΟΥ

ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ.

ΑΨΙΝΟΥ ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ.

(682) Ald. 467 Walz.

ΠΕΡΙ ΠΡΟΟΙΜΙΩΝ.

Εἴρηται μέν τινα καὶ τοῖς πρὸ ἡμῶν περὶ προοιμίου, ἰ τέ ἐστι προοίμιον, ὅτι ἀρχὴ τοῦ σύμπαντος λόγου, καὶ ·όθεν λαμβάνεται προοίμιον, ὅτι ἐκ προσώπου ἢ ἐκ ·ράγματος ἢ ἐξ ἀμφοῖν· ὁ δέ τοι θεῖος Βασιλικὸς κά- εῖνο προσέθηκεν, ὅτι δυοῖν θάτερον, ἢ ἐξ ἐννοίας τῶν κουόντων ἀντιπιπτούσης ἡμῖν, ἢ ἐξ ὑποκειμένου λαμ- άνομεν τὸ προοίμιον. ἐγὼ δὲ καὶ ταῦτα ἐπαινέσαιμ' ἂν αὶ ἀποδεξαίμην· ἴσως δ' ἄν τι καὶ αὐτὸς συνεισενεγκεῖν ς εἰς κοινὸν ἔρανον δυνηθείην, οὐκ ἀχρεῖον οὐδ' ἀνω- ελές, ἀλλὰ δι' οὗ καὶ ἑτοιμότερον καὶ καιριώτερον λη- όμεθα προοίμιον. πῶς οὖν ληψόμεθα ῥᾳδίως; ἐὰν τὰ ιογενῆ διέλωμεν· ὁμογενῆ δὲ λέγω, ὅσα κατά τι συμ- εβηκὸς ὅμοιά ἐστιν ἀλλήλοις, οἷον ἢ κατὰ περίστασιν ἢ ατὰ τὴν ἔκβασιν ἢ κατὰ τὰς ποιότητας τῶν προσώπων 468 κατὰ τρόπους ἢ κατ' ἄλλο τι· ἐν τούτοις οὖν εὑρόντες ννοιαν τὴν κατὰ πάντων τῶν ὁμογενῶν ἁρμόττουσαν ὕτως ἂν τὴν ἐφ' ἑκάστου ἁρμόττουσαν εἰσόμεθα.

Ἔστι τοίνυν πρῶτον ἐκεῖνο θεώρημα ἐξ ἐπαίνου τῶν κουόντων. πότε οὖν αὐτῷ χρηστέον ἐπὶ ποίων ὁμογε- ῶν προβλημάτων, ἐν οἷς ἂν πείσαντές τι τοὺς ἀκούον- ας ἕτερον δεύτερον εἰσηγησόμεθα· ἐν τούτοις γὰρ ἁρ- όσει ἐπαινέσαι τοὺς ἀκούοντας ἐφ' οἷς ἤδη ἐπείσθησαν· ρῶτον μὲν ἄξιον ὑμᾶς ἐπαινέσαι, ὦ ἄνδρες, ἀνθ' ὧν

τοῖς τὰ βέλτιστα λέγουσιν ἡμῖν τὸν νοῦν προσέσχετε ἀρτίως, καὶ τῶν τἀναντία λεγόντων καὶ ἐξαπατώντων ὑπερείδετε· καὶ ἔπειτα δὲ τὰ ἀκόλουθα τούτοις προσθήσειν δοκῶμεν, οἷον ὡς ἐπ' ἐκείνων τῶν προβλημάτων· ὁ Περικλῆς πείσας εἴσω τειχῶν μένειν, μετὰ ταῦτα πείθει αὐτοὺς δηῶσαι καὶ τὴν Ἀττικήν.

Ἄλλο. Ὁ Θεμιστοκλῆς πείσας ἐκλείπειν τὴν πόλιν γράφει αὐτοὺς καὶ ἐμπρῆσαι τὸ ἄστυ.

Ἄλλο. Κατέσκαψάν τινες πόλιν. οἱ διαφυγόντες ἔκριναν τοὺς κατασκάψαντας ἐπὶ τῶν Ἑλλήνων, καὶ ἐνίκησαν, εἶτα περὶ τῆς τιμωρίας ὄντος τοῦ λόγου ἀξιοῦσιν αὐτοὺς τὰ ἴσα πάσχειν.

Ἄλλο. Ὁ Αἰσχίνης ἀνελὼν τὸν Τίμαρχον γράφει ἀναιρεῖν τὸν τριηραρχικὸν νόμον. καὶ γὰρ οὗτος ὁρᾷς ὅτι ἤδη πέπεικε τοὺς δικαστὰς καταψηφίσασθαι τοῦ Τιμάρχου, καὶ ἐπὶ τούτῳ ἐπαινέσει.

Ἄλλο. Ὁ Ὑπερίδης γράψας ἔπεισε μόνῳ χρῆσθαι συμβούλῳ Δημοσθένει, ἐν Ἐλατείᾳ ὄντος Φιλίππου, εἶτα γράφει καὶ φρουρὰν αὐτῷ διδόναι.

469 Ταῦτα γὰρ καὶ ἄλλα μυρία τοιαῦτα προβλήματα ὁμογενῆ τῷ προειρημένῳ θεωρήματι ὑποπίπτει. σὸν δ' ἔργον ἐκ τούτων καὶ τὰ ὁμογενῆ αὐτοῖς ἐπισκοπεῖν.

Ἄλλο. Ἐπαινεσόμεθα δὲ καὶ τότε τοὺς ἀκούοντας, ὅταν πεποιηκότες μὲν ὦσι πρᾶξίν τινα καλήν, γράφωμεν δὲ καὶ ἄλλην αὐτῇ προσθεῖναι· οἷον μετὰ τὰ Μηδικὰ
(683) ἀξιοῖ τις ἐπὶ τοὺς μηδίσαντας στρατεύειν. ἐνταῦθα γὰρ προγέγονε μὲν καλὴ πρᾶξις, ἡ νίκη καὶ ὁ πόλεμος ὁ κατὰ τῶν βαρβάρων· ἕτερον δὲ εἰσηγῇ· ἁρμόττοι ἂν οὖν λέγειν ἄξια μὲν εἶναι ἐπαίνου παντὸς καὶ ἀποδοχῆς τὰ προγεγενημένα, ὡς καὶ ἐπ' ἐκείνου τοῦ προβλήματος· ὁ Ἑρμοκράτης ἀξιοῖ μετὰ τὴν νίκην ἐπ' Ἀθήνας πλεῖν· καὶ πάλιν ἐπ' ἐκείνου. ἔδοξε τοῖς Ἕλλησι καταλῦσαι τὸν

Πελοποννησιακὸν πόλεμον· γράφει τις καὶ τὰ τρόπαια ἀναιρεῖν· ταῦτα γὰρ καὶ ὅσα τοιαῦτα προβλήματα ὁμογενῆ μυρία τῷ προειρημένῳ θεωρήματι ὑποπίπτει τῷ ἀπὸ ἐπαίνου.

Ἔτι γε μὴν καὶ τὸ ἐξ ἀκολούθου ἄλλο θεώρημα. ἐν τοῖς ἐξ ἀκολούθου ζητήμασι δεύτερον ἐκεῖνο γένοιτ' ἂν προοίμιον· πέπεισθε μὲν οὖν ἤδη σχεδὸν περὶ ὧν ἥκω συμβουλεύσων· οἱ γὰρ τὰ μικρῷ πρόσθεν εἰρημένα προσειμένοι καὶ καλῶς ἔχειν κεκρικότες, ἀκόλουθα τούτοις ὄντα οἷς καὶ νῦν ἐρῶν ἀνέστην, δῆλον ὡς οὐδὲ περὶ τούτων ἑτέρως γνώσεσθε. τρίτον δὲ ἐκεῖνο πολλάκις· οὐκ ἀγνοῶ μὲν οὖν ἔγωγε, ὦ Ἀθηναῖοι, τοῦτ' ὅτι δυσχερῆ τισιν ὑμῶν φανεῖται τὰ λεχθησόμενα, ἐγὼ δέ, εἰ μηδεμίαν ἑώρων ὑποῦσαν ἀνάγκην, οὐκ ἄν ποτε πρὸς τοῦτο 470 τῆς γνώμης ἐτραπόμην· ἐπειδὴ δὲ πολλὰ τὰ συναναγκάζοντα ὁρῶ, ἡγοῦμαι ῥᾳδίως πείσεσθαι τοὺς ἀκροωμένους ὑμᾶς, εἰ τούτων πύθοισθε μᾶλλον.

Ὁπόταν δὲ εἰσηγησάμενός τινα γνώμην διαμάρτῃς, εἶτα ἄλλην εἰσηγεῖσθαι μέλλῃς, ἁρμόσει σοι ἐσχηματισμένως τὸ ἐκ βαρύτητος θεώρημα, οἷον εἰ λέγοις· ἀλλ' εἰ καὶ περὶ τῶν προτέρων οὐχ ἱκανῶς τισιν ὑμῶν ἔδοξα ἑωρακέναι τὸ βέλτιστον, ὅμως οὐκ ἐπὶ τούτοις ἀθυμήσας εἱλόμην σιωπᾶν, ἀλλ' ἃ νομίζω βέλτιστα, εἰς μέσον θήσω. οἷον ὡς ἐπ' ἐκείνου τοῦ ζητήματος· βουλευομένοις τοῖς Ἀθηναίοις ἀποδόσθαι τὰς ναῦς εἰς ἀνοικισμὸν τῆς πόλεως ἀντεῖπεν ὁ Θεμιστοκλῆς καὶ ἡττήθη· εἶτα πάλιν γράφει ἀφίστασθαι τῆς θαλάττης.

Ἄλλο. Ὁ Κλέων ἡττήθη ὑπὸ Διοδότου, καὶ τὸ δεύτερον ἀποστάσης τῆς Μυτιλήνης γράφει ἀθῷον αὐτὴν ἐᾶν· καὶ ὅσα ἄλλα τοιαῦτα προβλήματα ἐσχηματισμένα ὑποπίπτει τῷ προειρημένῳ θεωρήματι τῷ ἐκ βαρύτητος, οἷον ὡς καὶ ἐπ' ἐκείνου· ἔγραψεν ὁ Δημάδης τρισκαιδέ-

κατον θεὸν νομίζειν τὸν Φίλιππον· ἀντειπὼν ὁ Δημοσθένης ἡττήθη· καὶ γράφει καὶ νεὼν ἱδρύσασθαι Φιλίππῳ, καὶ ἕτερα τοιαῦτα.

Ἄλλο. Ἐπάν τις ἤδη κεκρατηκὼς ἔν τινι, εἶτα αὖ πάλιν περί τινος ἀντιλέγῃ σοι ἢ ἐγκαλῇ, ἁρμόσει σοι τὸ ἐκ διαβολῆς θεώρημα. οἷον εἰ λέγοις, τὸ μὲν ἐπῆρθαι τοῦ-
471 τον ἐφ' οἷς ἐκράτησεν ἀρτίως, θαυμαστὸν οὐδέν. ὡς ἐπ' ἐκείνου· κρατήσας ὁ Ἄνυτος καὶ Μέλητος τοῦ Σωκράτους γράφει καὶ τοὺς ἑταίρους αὐτοῦ ἐλαύνειν. ὁ γὰρ Ἄνυτος καὶ Μέλητος τῷ ἐξ ἀκολούθου θεωρήματι χρήσονται, ἀκόλουθον εἶναι λέγοντες τοῦτ' ἐκείνῳ· καὶ τῷ ἀπ' ἐπαίνου τῶν δικαστῶν, ὥσπερ εἴπομεν· ὁ δὲ ἀντιλέγων τῷ ἐκ διαβολῆς· τὸ μὲν ἐπῆρθαι Ἄνυτόν τε καὶ Μέλητον οἷς ἐκράτησαν, θαυμαστὸν οὐδέν. καὶ πάλιν ἐπ' ἐκείνου· ὁ Μειδίας ἐκράτησε τοῦ Δημοσθένους τὸν περὶ τῆς ἀσεβείας εἰσελθόντος λόγον· καὶ μετὰ ταῦτα Δημοσθένης ὕβρεως αὐτὸν ἐγράψατο· καὶ Μειδίας παραγράψας κατὰ τὸν νόμον τὸν περὶ τῶν αὐτῶν δὶς κρίσιν εἶναι κεκωλυκότα· ἁρμόσει γὰρ τῷ Δημοσθένει λέγειν, ὡς οὐδὲν θαυμαστὸν ἐπαρθέντα Μειδίαν τῇ προτέρᾳ νίκῃ ἐπὶ τὴν παραγραφὴν θαρροῦντα ἥκειν, ὡς πᾶν ὁτιοῦν ἐξὸν αὐτῷ λέγειν τε καὶ πράττειν· καὶ πάλιν ἐπ' ἐκείνου. κρατήσας ὁ Φίλιππος ἐν Χαιρωνείᾳ ἐξῄτησε τὸν Δημοσθένην· ἀντιλέγει τις· λέξει γὰρ ὡς οὐδὲν θαυμαστὸν ἄνθρωπον ὑβριστὴν φύσει βραχείας λαβόμενον καὶ ἀδοκήτου τύχης ἐπῆρθαι.

Ἄλλο. Ὁπόταν συνεχῶς τις κρίνηται, ἁρμόσει τὸ ἐκ βαρύτητος θεώρημα· οἷον εἰ λέγοις, οὐκ ἦν, ὡς ἔοικε, πέρας οὐδὲν κρίσεως καὶ δικῶν ἡμῖν, οἷον ὡς ἐπ' ἐκεί-
(684) νου· συνεχῶς τις κρινόμενος τυραννίδος ἐπιθέσεως πλούσιος ἐξαργυρίσας τὴν οὐσίαν ἔρριψεν εἰς θάλασσαν, καὶ κρίνεται· καὶ ἐπ' ἐκείνου· ὁ Δημοσθένης κριθεὶς

μετὰ Χαιρώνειαν ἀπέφυγε, καὶ σιωπῶν πάλιν κρίνεται· λέξει γὰρ οὐκ ἦν πέρας κρίσεως ἡμῖν οὐδέ τις τρόπος 472 πρὸς ἀποφυγὴν τούτων· ὅπου καὶ ἐπὶ τοῖς ἐναντίοις κρίνομαι, πρότερον μὲν πολιτείας, νῦν δὲ σιωπῆς· καὶ ἐπ' ἐκείνου· ὁ Ἰσοκράτης κριθεὶς σιωπῆς ἀπέφυγεν, ὑποσχόμενος πολιτεύσεσθαι, καὶ γράψας ἀφίστασθαι τῆς θαλάσσης πάλιν κρίνεται. καὶ ἐπ' ἐκείνου· τρεῖς τις ἔχων παῖδας τοῖς δύο κριθεῖσι φόνου συνειπὼν ἐνίκησε, τοῦ τρίτου πάλιν αἰτιαθέντος ἐπὶ φόνῳ ἑαυτὸν προσαγγέλλει· λέξει γὰρ καὶ οὗτος, ἐγὼ μὲν ἤλπισα πέρας ἕξειν κινδύνου καὶ πραγμάτων, ἀπήντηκε δὲ τἀναντία, ὥστε πανταχόθεν ἀναγκαῖον γίγνεσθαι περὶ ἀπαλλαγῆς τοῦ βίου βουλεύσασθαι. ἁρμόσει δέ σοι τὸ θεώρημα καὶ ἐπ' ἐκείνου τοῦ γένους, ὅταν τινὲς συμφορᾷ περιπεσόντες, εἶτα ἀπαλλαγὴν αὐτοῖς εὑράμενοι κρίνωνται, οἷον οἱ ῥήτορες ἐξεδόθησαν τῷ Φιλίππῳ· ἀφεθέντες οὐ πολιτεύονται καὶ κρίνονται· ἁρμόσει γὰρ καὶ τούτοις τὸ ἐκ βαρύτητος· οὐκ ἦν, ὡς ἔοικεν, ἀπαλλαγὴ τῶν κακῶν ἡμῖν, εἰ πρότερον μὲν περὶ ἐκδόσεως εἰς κίνδυνον ἤλθομεν ἐπὶ τῇ πολιτείᾳ, νῦν δ' αὖ πάλιν εἰς δικαστήριον ἥκομεν ἐπὶ τῇ σιωπῇ. καὶ πάλιν ἐπ' ἐκείνου· ἐν μανίᾳ τινὶ ὄντι ἔχρησεν ὁ θεὸς ἀπαλλαγὴν τῆς νόσου ἔσεσθαι, ἐὰν ἀνδροφονήσῃ. σωφρονήσας κρίνεται φόνου. λέξει γὰρ καὶ οὗτος, οὐκ ἦν, ὡς ἔοικεν, ἡμῖν ἀπαλλαγὴ τῆς βαρείας τύχης, εἰ καὶ πρότερον μὲν ἐν συμφοραῖς ἦμεν, νῦν δὲ ἐπειδή περ ἐκείνων ἀπηλλάγμεθα, πάλιν κρινόμεθα.

Ἄλλο. Ἔφαμεν συνεχῶς κρινόμενον τί δεῖ ποιεῖν· 473 φέρε οὖν καὶ περὶ κατηγόρου εἴπωμεν. ὅταν τοίνυν κατηγορῶμεν συνεχῶς κριθέντος, δεῖ σκοπεῖν, πότερον ἐν ἐκείνοις ἡττήθη, καὶ εἰ μὲν πρότερον ἡττημένος εἴη, ἐπαινεῖν τοὺς δικαστὰς τοὺς καὶ πρότερον καταγνόν-

τας αὐτοῦ. εἰ δὲ κεκρατηκὼς εἴη, δυοῖν θάτερον ποιεῖν, ἢ τὴν δεινότητα αὐτοῦ προεπισημήνασθαι, δι' ἣν τοιοῦτός ἐστιν, οἷος κρατεῖν ὧν βούλεται. εἰ δὲ μὴ τοῦτο, ἐκ περιττότητος, ὅτι οὐ τὸν αὐτὸν τρόπον· ὑμεῖς τε τούτῳ καὶ αὐτὸς ὑμῖν κέχρηται. ὑμεῖς μὲν γὰρ ὑπολαμβάνοντες βελτίω ἔσεσθαι αὐτὸν πολλάκις ἠξιώσατε, ὁ δὲ ὥσπερ ἀμυνόμενος ὑμᾶς πολλῷ δεινότερα διατέθεικεν.

Ἔστι καὶ τοιοῦτο γένος προβλημάτων, ἐν οἷς τί σε λυπεῖ. διοικοῦ δὴ ἐν τοῖς προοιμίοις αὐτὸ καὶ προεπισημαίνου. λυπεῖ δέ σε ἢ πλῆθος ἀντιδίκων εἰ πολλοὶ εἶεν, οἷον, δέκα νέοι ὤμοσαν μὴ γῆμαι, καὶ κρίνονται κακοῦ βίου· ἁρμόσει οὖν λέγειν, ὡς οὐ ῥᾴδιος ὁ ἀγὼν ἡμῖν πρὸς ἄνδρας πολλοὺς καὶ θρασεῖς ἀγωνίζεσθαι. λυπεῖ δὲ οὐ μόνον πλῆθος, ἀλλὰ καὶ δεινότης ἀντιδίκου, ὡς ἐπ' ἐκείνου· οἱ ῥήτορες πρὸ τῶν ἐκκλησιῶν βουλευόμενοι κρίνονται. καὶ πάντα ῥήτορα νικῶντα γράφει τις ἐλαύνειν. λυποῦσι δὲ καὶ συστάσεις τινῶν καὶ παρασκευαί, ὡς ἐν τῷ παραπρεσβείας ἐστὶν εὑρεῖν.

2 Ἕπεται τούτῳ ἑξῆς ὁλοκλήρως περὶ ἀντιπιπτόντων
471 εἰπεῖν ἐπὶ πλέον διεξελθόντα, ἢ τοῖς πρὸ ἡμῶν περὶ αὐτῶν λέλεκται. ἀντιπίπτοντα τοίνυν ἐστὶ τὰ μὲν ἐξ ἀντιθέσεως τῶν παρὰ τοῦ ἀντιδίκου, ἃ τοῖς κεφαλαίοις φυλακτέον, τὰ δὲ ἐξ ἐννοίας τῶν ἀκουόντων, ἃ ἐν τοῖς προοιμίοις θεραπευτέον. ἀντιπίπτει δὲ τὰ μὲν ἐκ προσώπου, τὰ δὲ ἐκ πράγματος, τὰ δὲ ἐξ αἰτίας. τὰ μὲν οὖν ἐκ προσώπου τριχῇ λαμβάνεται, ὅταν πρὸς ἔνδοξον πρόσωπον, ἢ κατὰ ἐνδόξου προσώπου λέγῃς, στρατηγοῦ ἢ δημαγωγοῦ, ἢ κατὰ πόλεως ἐνδόξου· πολλὰ δὲ τοιαῦτα ὁμογενῆ προβλήματα. ἢ ὅταν πρὸς πρόσωπον λέγῃς οἰ-
(685) κειότατα ἔχον πρὸς σέ, οἷον μητέρα ἀδελφοὺς πατέρα ἢ ἄλλον τινὰ τῶν πρὸς γένους ἢ φιλίας, ἢ ὅταν αὐτὸς ἐν

δικαστήρια εἰσίῃς ἐπὶ τῷ συμβουλεύειν πρὸ τῶν 2 καὶ δοκῇς πέρα τῆς ἡλικίας θρασύνεσθαι, ἢ τῶν μὴ σφόδρα πιστευομένων περὶ μεγάλων των εἰσίῃς. ἐν γὰρ τούτοις δεῖ σε τὴν παρὰ τῶν :ων ἔννοιαν ἀντιπίπτουσαν ἀεὶ διοικεῖσθαι ἐν οις ἢ αἰτίας εὐλόγους λέγοντα, δι' ἃς καίπερ νέος ιθες· ἢ ἀκούσιον τὸν ἀγῶνα λέγοντα, ἐὰν πρὸς ιρόσωπα εἰσίῃς· ἀναγκαῖον δὲ ἐν τῷ ὑπὲρ μεγά- ἀγῶνα εἶναι, ἢ δυσχεραίνοντα ἐπ' αὐτῷ τούτῳ νάγκην ἀγῶνος ἥκειν, [ἢ] ἐὰν πρὸς συγγενεῖς ἢ ίντας πρότερον εἰσίῃς.

εται δὲ ἐκ πράγματος προοίμιον ἀντιπῖπτον, ἢ ρὶ μικρῶν δοκῇς σπουδάζειν, ὡς ἐν τῷ πρὸς περὶ τοῦ ὀνόματος· ἢ ὅταν ἀτοπίαν ἔχειν δόξῃ, ς λέγειν, καὶ οὐκ ἂν ἑτοίμως πρόσοιντο αὐτὸ οἱ ες, ὡς ἐπ' ἐκείνου, ὁ Θεμιστοκλῆς ἀξιοῖ δηῶσαι ν ἐκλιπόντων τῶν Ἀθηναίων αὐτήν· αὐτὸ γὰρ ια ὃ παρῄνει ἄτοπον εἶναι δοκεῖ· ἢ ὅταν ἐπαχθές 475 λέγειν, ὡς ὁ ἀναιρεῖν νόμον γράφων, ἢ ὅταν όν τι δοκῇς λέγειν, ὡς ὁ συμβουλεύων πλεῦσαι διὰ τοῦ Ἄθω· δοκεῖ γὰρ παράδοξον εἶναι καὶ ν ὑπόνοιαν τῶν πολλῶν· ἢ ὅταν ἀηδές τι δοκῇς καὶ οὐ κεχαρισμένον [τι ποιῶν] τοῖς ἀκούουσιν, άφων παῦσαι τὰς διανομὰς ἐπιλειπουσῶν τῶν καὶ ὅσα τοιαῦτα ὁμογενῆ.

ται δὲ ἀντιπῖπτον καὶ ἀπὸ αἰτίας, ὅταν οἱ ἀκούον- πτεύωσι τὴν αἰτίαν, δι' ἣν ἐπὶ τὴν κατηγορίαν ον ὅταν πρὸς ἔχθραν τινῶν ἢ χάριν ἢ ὀργὴν δο- ιν, ἢ ὅταν ὑπὲρ ἑαυτοῦ δοκῇς σπουδάζειν, ἀλλὰ οινῇ συμφέροντος, ὡς ἐπ' ἐκείνου· ἐξαιτοῦντος υ τὸν Δημοσθένην μετὰ Χαιρώνειαν, αὐτὸς Δη- ς ἐνίσταται. δοκεῖ γὰρ ὑπὲρ τῆς ἑαυτοῦ σωτη-

2 ρίας, ἀλλ' οὐχὶ τοῦ κοινῇ συμφέροντος σπουδάζειν· τοῦτο οὖν παντάπασιν ἀναιρήσει τὸ δοκεῖν ὑπὲρ ἑαυτοῦ σπουδάζειν, ἢ συντρέχων τῷ καὶ ὑπὲρ αὐτοῦ σπουδάζειν τὸ τῆς πόλεως συμπλέξει.

Ἄλλο. Ἔστι καὶ τοιοῦτον γένος προβλημάτων, ἐν οἷς βραδύτερον δοκεῖς ἐπεξιέναι δέον πάλαι, ὡς ἐπ' ἐκείνου· πολλάκις τις χρώμενος τοῖς τῶν ἀνδροφόνων καθαρσίοις κρίνεται φόνου· καὶ πάλιν· πολλάκις κατατρέχοντος Φιλίππου Χερρόνησον συμβουλεύει Δημοσθένης αὐτὴν διορύξαι· δοκεῖ γὰρ ὁ Δημοσθένης μετὰ πολλὰς καταδρομὰς βραδέως συμβουλεύειν. τοῦτο οὖν αὐτὸ λέξει ἐν προοιμίῳ, ὅτι ὡς μὲν πολὺ βέλτιον ἦν πάλαι τινὰ ἐπανόρθωσιν γενέσθαι τῶν περὶ Χερρόνησον, ὅτε καὶ πρῶτον
476 τον κατέδραμε Φίλιππος, εὖ οἶδα, οὐ μὴν ἀλλ' ἕως ἐλπὶς ἦν ἀφέξεσθαι τὸν Φίλιππον τῶν συμμάχων ἐπεῖχον, ἐπεὶ δὲ τὸ πρᾶγμα ἔτι μᾶλλον αὔξεται. καὶ ἐπ' ἐκείνου δὲ χρήσῃ τῷ θεωρήματι. συνεχῶς πλούσιος πένητος ἀνδριάντα ποιεῖ, καὶ κρίνεται ὑπ' αὐτοῦ ὕβρεως. χρήσεται γὰρ ὁ πένης τῷ αὐτῷ θεωρήματι, οἷον ἔδει μὲν καὶ πάλαι τούτῳ ἐπεξελθεῖν, ὅτε καὶ πρῶτον ὑβρίζειν ἤρξατο. ἢ ἄλλως μεθοδεύσει τὸ θεώρημα, ὅτι ἕως μὲν οἷός τ' ἦν φέρειν τὴν τούτου ὕβριν, κατεῖχον ἐμαυτόν· καὶ ὅλως ἐπὶ πάντων σοι τὸ θεώρημα ἁρμόσει, ἐν οἷς ἄν τις πάλαι καὶ ἐκ πολλοῦ καὶ ἐν πολλοῖς ἀδικήσας νῦν κρίνηται.

Ἄλλο θεώρημα. Ἔστι πολὺ γένος προβλημάτων τῶν ἐξ ἀποβάσεως τοῦδέ τινος λεχθέντος ἢ γραφέντος. οἷον ἐκ νόμου ἢ ψηφίσματος ἀπέβη τι δεινόν, καὶ κρίνεται ὁ δοκῶν τὴν αἰτίαν παρέχειν· ἐν γὰρ τούτοις ἁρμόσει λέγειν, ὅτι βέλτιον μὲν ἦν πρὶν ἐκβῆναί τι δυσχερὲς ἐκ λογισμοῦ πεφυλάχθαι τὸ παθεῖν τι δεινόν, καὶ τὸν κατασκευάζοντα ἀνόνητον πεποιηκέναι τοῦ σκαιωρήματος, δεύτερον δὲ τῇ πείρᾳ διδάσκεσθαι· οἷον ὡς ἐπ' ἐκείνου·

ἔγραψε τὸ περὶ Χαριδήμου ψήφισμα ὁ Ἀριστοκράτης, 2 [Χερρονήσου ὑπὸ Χαριδήμου κατειλημμένης κρίνεται ὁ Ἀριστοκράτης] ὁρᾷς ἐνταῦθα ἐκ τοῦ ψηφίσματος οἷον ἀπέβη τὸ περὶ Χερρόνησον. λέξεις οὖν ὅτι βέλτιον ἦν πρὶν ἐκβῆναι τοῦτο δίκην παρ' αὐτοῦ ἀπῃτηκέναι καὶ τὸ ψήφισμα λελυκέναι· οὕτω γὰρ οὐκ ἂν ἀπέβη τι δεινόν. (686) καὶ πάλιν ἐπ' ἐκείνου· ἔπεισέ τις Σκύθας τοὺς νομάδας πόλιν οἰκῆσαι, καὶ νοσούντων αὐτῶν κρίνεται· καὶ πά- 477 λιν ἐπ' ἐκείνου· ἔπεισέ τις ῥήτωρ ἐν στάσει καὶ ὅπλα παραδοῦναι τῷ στρατηγῷ, καὶ τυραννήσαντος αὐτοῦ κρίνεται ὁ ῥήτωρ συνειδότος. καὶ ὅλως εὑρήσεις τοσαῦτα προβλήματα τὰ ὑποπίπτοντα τούτῳ τῷ γένει, ὅσα οὐκ ἄλλῳ. ἐπὶ δὲ τῶν τοιούτων κἀκείνῳ χρήσῃ τῷ θεωρήματι, ὅπου τι δεινόν· ἃ μὲν ἀπολελαύκαμεν τῆς τούτου συμβουλῆς ἑωράκατε. ἀλλὰ τοῦτο μὲν τὸ ἐννόημα ἐπιπολαιότερον, ἐκεῖνο δὲ βαρύτερον ἐν τῷ αὐτῷ γένει τούτῳ τῷ ἐξ ἀποβάσεως, καὶ ὅσα δὲ ἐν καταφορᾷ κεῖται, ἁρμόττει τούτῳ, πρῶτον μέν, εἰδὼς ὑμᾶς, ὦ δικασταί, καὶ τῶν νόμων καὶ τῆς καθεστώσης πολιτείας πολλὴν σπουδὴν πεποιημένους οὐ μικρὰ ὁρῶν τὴν πόλιν εἰς ταῦτα ἐλαττομένην ὑπὸ τούτου τὸν παρόντα τοῦτον ἐνεστησάμην ἀγῶνα, νομίζων οὔτε τὴν τῶν ἀντιδίκων δεινότητα καὶ βίαν, οὔτε ἄλλο τι τούτων οὐδὲν ἔσεσθαι τῶν παρ' ἡμῖν δικαίων δυνατώτερον.

Ἄλλο δεύτερον. Ἐν μὲν οὖν τοῖς ἄλλοις ἅπασιν ἀγῶσι παρὰ τῶν κατηγορούντων τὴν αἰτίαν τῆς κατηγορίας μαθεῖν δεῖ, ἐν δὲ τῷ παρόντι τούτῳ αὐτοὶ φθάνοντες πρὸ τῶν λόγων τῶν ἡμετέρων προεπίστασθε, ὡς εἰς πάντας τὰ τετολμημένα ἐκπεφοίτηκεν, ὥστε μὴ ἁμαρτεῖν τὸν εἰπόντα μὴ δικαστὰς μόνον ὑμᾶς, ἀλλὰ καὶ κατηγόρους εἶναι.

Τρίτον δὲ τοῦτο· οὐ μίαν δέ, ὡς ἔοικεν, ὦ ἄνδρες δι- 478

2 κασταί, γνώμην οὐδὲ τὴν αὐτὴν ἔχειν μοι συμβαίνει περὶ τῶν τούτῳ τετολμημένων· καὶ γὰρ δύσκολον εἶναι καὶ ῥᾷστον ἐμαυτῷ νομίζω τοῦτον τὸν ἀγῶνα καθεστηκέναι. αὐτῶν μὲν γὰρ ἕνεκα τῶν πραγμάτων καὶ πάνυ ῥᾴδιον, οὕτω πολύ τι τὸ πλῆθος καὶ τὸ μέγεθός ἐστι τῶν τετολμημένων· δύσκολον δὲ ἐκείνῃ, ὅτι μὴ ῥᾷστον ἐφικέσθαι τῶν τετολμημένων· οὐ μὴν διὰ τοῦτο ἡγοῦμαι προσήκειν ἐμαυτῷ τὴν κατηγορίαν ἀφεῖναι, ἀλλ' ὡς ἂν οἷός τε ὦ δεῖξαι τὰ τούτῳ τετολμημένα καὶ παραστῆσαι. ὧδε παραδείγματος ἕνεκα, οἱ ἐπὶ τοῖς Ποτιδαιάταις κρινόμενοι Ἀθηναῖοι, καὶ ὁ ἐπὶ ταῖς Εὐμενίσι, καὶ ὁ ἐπὶ τῷ λοιμῷ τῶν Σκυθῶν, καὶ ἐπὶ πάντων, ὅπου μέγα τι καὶ ὡμολογημένον ἀδίκημα.

Ἄλλο θεώρημα. Εἰρήκαμεν ἐν τοῖς ἐξ ἀποβάσεως, τί δεῖ ποιεῖν τὸν κατήγορον· φέρε οὖν εἴπωμεν, τί δεῖ ποιεῖν τὸν φεύγοντα. ἐὰν τοίνυν ἐκβεβηκὸς ᾖ τι ἄτοπον ὡμολογημένον, τὸ μὲν ἀνιαρὸν αὐτὸ εἶναι σύντρεχε, τὸ δὲ ἑξῆς ἀναίρει λέγων, ὡς οὐ δικαίως αὐτὸς φεύγει· οὐ γὰρ ἐπ' ἐκείνοις αὐτὰ συνεβούλευσεν, οὐδ' ἂν προσεδόκησεν, ὡς ἐπ' ἐκείνου· ὁ Φίλιππος ἔδωκεν αἵρεσιν τοῖς Ἀθηναίοις, πότερον βούλονται ὅπλοις ἢ λόγοις δικάζεσθαι· ὁ Δημοσθένης συνεβούλευσε λόγοις, καὶ αὐτὸς εἰπὼν ἡττήθη καὶ κρίνεται. ὁρᾷς ὅτι ὡμολογημένον ἐστὶ κακὸν καὶ ἄτοπον τὸ περὶ τὴν ἧτταν· καὶ πάλιν ἐπ' ἐκείνου· ἔγραψεν ὁ Ἀριστοκράτης τὸ περὶ τοῦ Χαριδήμου
479 ψήφισμα, ἀποστάσης Χερρονήσου κρίνεται. κἀνταῦθα τὸ ἐκβὰν ὡμολογημένον ἐστὶν ἄτοπον. οὐκ ἄτοπον οὖν εἰπεῖν, τὸ μὲν οὖν ὑμᾶς ἐπὶ τοῖς συμβεβηκόσιν ἀγανακτεῖν, οὐδὲν ἀπεικός· οὐ μὴν χρὴ τούτων εἰς ἐμὲ τὴν αἰτίαν ἔχειν, ὃς οὐκ ἐπὶ τούτοις εἰσήνεγκα τὸν νόμον· καὶ ὅλως ἐπὶ πάντων ἁρμόσει τῶν τοιούτων. ἐπὶ δὲ τῶν κατηγόρων ἐξ ἀποβάσεως ἁρμόσει μέν σοι καὶ τὰ προει-

θεωρήματα, οὐχ ἥκιστα δὲ κἀκεῖνο· εἰ μὲν ἐξαρ- λγεῖν ἐπὶ τοῖς συμβεβηκόσιν, οὐκ ἄξιον μέν, φέ- οὕτως ἀνάγκη. εἰ δὲ καὶ τιμωρίαν χρὴ λαβεῖν. δὲ κρίνειν τινὰ μέλλῃς μεταβολῆς καιροῦ βελτίο- ͻμένης, ἧς πρότερον μὴ οὔσης οὐκ ἠδύνασο κρί- ͻμόσει σοι λέγειν, ἐπειδὴ καλῶς ποιοῦντες οἱ θεοὶ σιν ἡμῖν καιρόν, οἷον μάλιστα ηὐχόμεθα· ἢ οὔ- ίλαι δυσχεραίνων τοῖς συμβεβηκόσι καὶ τετολμη- ὑπὸ τούτου, νῦν ἐπειδὴ καιροῦ ἐλαβόμην ὡς ἐπ' · ὁ Ἰσμηνίας ἐπαυλήσας ταῖς Θήβαις κρίνεται ν Ἀλεξάνδρου θανάτου, καὶ πάλιν ὁ Πύθων μετὰ ίππου τελευτὴν κρίνεται τῶν εἰς τοὺς Ἕλληνας ίτων. καὶ ἐκ τοῦ ἀπολογουμένου βιάσῃ λέγων (687) σθαι καὶ αὐτὸς ἐν τῷ παρόντι καιρῷ, ἵνα εἰ καὶ πρότερον διαβολὴ ταύτην ἐξέλῃς. ὁπόταν δέ σε ἢ ἀπὸ καιροῦ χαλεποῦ ἢ ἀπὸ δυνάμεως ἐχθρῶν ιέρδους δοκοῦντος ὑπὸ τῶν ἐναντίων προτείνε- τοῦτο αὐτὸ προαναίρει καὶ προθεράπευε λέγων ία ὑπειληφέναι περὶ τῶν ἀκουόντων ἢ ὥς τινες . ἢ οὕτως ἐξ ἀτόπου προτάσεως· εἰ μὲν ἑώρων ησίως ὑμᾶς διακειμένους τούτοις, οἷον τοῦ μὲν ιροῦ φοβεροῦ καὶ δυνάμεως ἐχθρῶν ἐκεῖνο, ὡς 480 Θετταλῶν, οἷς ἐπαπειλεῖ βασιλεὺς ἐπαφεῖναι τὸν ν. ἀπὸ δὲ τοῦ κέρδους, ὡς ἐκεῖνο, Αἰσχίνης προῖκα σῖτον παρὰ τοῦ Φιλίππου πεμφθεὶς πρὸς Κερσο- ν, καὶ κρίνεται. ἐξ ἀπολογίας. ὁπόταν δέ τι εὖ πε- ναι φάσκοντες ἔτι καὶ κρινώμεθα, ἁρμόσει τὸ ἐκ τος οὕτως· ᾤμην μὲν ἔγωγε καὶ ἐπαίνων τεύξε- οὕτως· οὐκ ἂν προσεδόκησα τοιοῦτον ἀπαντή- ιος, οἷον μετὰ νίκην τις κρινόμενος χρήσεται τού- ἐπ' ἐκείνου· στρατηγὸς καθελὼν μέρος τι τοῦ ἐξελθὼν ἐνίκησε, καὶ κρίνεται. ἐκ δὲ τοῦ κατη-

2 γόρου αὐτῷ τούτῳ συμπλεκόμεθα λέγοντες, οὐκ ἔστι χαλεπώτερον οὐδέν, ἢ ὅταν τις τὰ μέγιστα ἠδικηκὼς ἔτι καὶ φιλοτιμῆται τοῖς πραχθεῖσιν.

Ἄλλο. Ἐν ἐκείνοις δὲ τοῖς προβλήμασιν, ἐν οἷς δοκοῦμέν τι ὑπὲρ αὐτῶν σπουδάζειν, καὶ τοῦ ἰδίου ἕνεκα συμφέροντος εἰσηγεῖσθαί τι, καὶ τὸ τῆς πόλεως συμφέρον συμπλέκειν ἄξιον· εἰ δέ γε ἔνδοξον εἴη τὸ πρόσωπον τὸ λέγον, λέξει ὅτι εἰ μὲν ἑώρων, ὑπὲρ ἐμαυτοῦ μόνου ὂν τὸ σκέμμα, ἐσιώπων ἄν, ἐπεὶ δὲ καὶ τῆς πόλεως. οἷον ὡς ἐπ' ἐκείνου· τὸν Περικλέα αἰτοῦσιν οἱ Λακεδαιμόνιοι ἐπὶ ὑποσχέσει εἰρήνης, αὐτὸς ἀντιλέγει. ὅταν ἔν τινι δυσκολίᾳ καιροῦ γράφης τινὰς ἐπανορθώσεις, ἁρμόσει τὸ ἐξ ἀτόπου προτάσεως θεώρημα· οἷον εἰ μὲν ἐξαρ-
481 κεῖ τὸ ἀνιᾶσθαι ἢ ἀλγεῖν ἐπὶ τοῖς συμβεβηκόσιν εἰς παραμυθίαν ὧν πάσχομεν, ἐμοὶ μὲν οὐ συνδοκοῦν, χρῆσθαι δὲ ὅ τι καὶ δοκεῖ· εἰ δ' ὅπως ἐπανορθωθήσεται δεῖ σκοπεῖν, οἷον ὡς ἐπ' ἐκείνου· τοῖς νοσοῦσι Σκύθαις συμβουλεύει τις μεθίστασθαι. ἢ πάλιν, κατατρεχομένης τῆς Χερρονήσου γράφει ὁ Δημοσθένης διορύξαι τὸν Ἰσθμόν, ὁ δὲ ἀντιλέγων τοῖς τοιούτοις πῇ μὲν συνδραμεῖται ἐν προοιμίοις πῇ δὲ οὔ· ὅτι μὲν γὰρ δεῖ ἐπανορθοῦσθαι τὰ συμβαίνοντα καὶ αὐτὸς φήσει εἰδέναι, οὐ μὴν διὰ τοῦ τρόπου οὗ ὑφηγεῖται· ἢ ἐκεῖνο τὸ θεώρημα· οὐκ ἔστι χαλεπώτερον οὐδέν, ἢ ὅταν τις παριῇ μὲν ὡς ἐπανορθωσόμενός τι τῶν κοινῶν, χείρω δὲ τὰ κοινὰ ποιῇ· ἄλλο τοῦτο σφοδρότερον.

Ἐν ἐκείνοις τοῖς προβλήμασιν, ἐν οἷς ἀτόπου τινὸς συμβαίνοντος εἰσηγούμεθά τι, ἁρμόσει τὸ ἐξ εὐχῆς θεώρημα, οἷον εἰ λέγοις, ηὐξάμην ἂν μήτε τι τῶν τοιούτων γενέσθαι, μήτε ἐμὲ ἐπὶ τούτοις τοῖς προγεγενημένοις σύμβουλον παριέναι, ὡς ἐπ' ἐκείνου· μετὰ Χαιρώνειαν ἤδη γράφει Ὑπερίδης τοὺς ἀτίμους ἐπιτίμους ποιεῖν.

Ἐν ἐκείνοις τοῖς προβλήμασιν, ἐν οἷς φαμὲν τοὺς 2 τοὺς προσημαίνειν τι, ἁρμόσει τὸ θεώρημα τὸ ἐξ ἐνδόξου κρίσεως, οἷον, ἱκανῶς μὲν καὶ πρὸ ἡμῶν τὸ ὅ τι μὴ πράττειν οἱ κρείττους σύμβουλοι προὔφηναν, ὡς κατ' ἐκείνου· ἔδει τοὺς ἀριστέας διαμονομαχεῖν· δύο ἀδελφῶν μονομαχούντων ἔδυ ὁ ἥλιος, καὶ γράφει τις λῦσαι τὸν νόμον.

Ἄλλο. [ὅταν] εὐχῇ χρηστέον, ὅταν ᾖ ἱερατικὸν τὸ 482 πρόσωπον ὁ λέγων ἢ ὑπὲρ ἱερωσύνης, ἢ ἡ πόλις ἱερά, οἷον ἡ Δελφῶν ἢ Δηλίων, ὥσπερ Ἀριστείδης ἐποίησεν ἐν προοιμίοις, ἢ περὶ πανηγύρεως θεοῦ ᾖ ὁ λόγος· οἷον ἐπιόντος πολέμου ἔφη τις ἀναβάλλεσθαι τὰ Ὀλύμπια, ἀντιλέγει τις.

Ἄλλο. Ὁπόταν δ' ἐν τῷ καλουμένῳ χρώματι μέλλῃς λέγειν, ὅτι καλῶς διὰ φιλανθρωπίαν ἢ δι' ἄλλην τινὰ καλὴν αἰτίαν ἐποίησας τοῦτο ἐφ' ᾧ κρίνῃ, ἁρμόσει σοι τὸ ἐκ βαρύτητος θεώρημα ἐξ ἀπολογίας, οἷον εἰ λέγοις, ᾤμην μὲν ἔγωγε αὐτὸ τοὐναντίον δόξαν χρηστὴν καὶ καλὴν ἀποίσεσθαι ἐφ' οἷς ἔδρασα, ὡς ἐπὶ τοῦ θάπτοντος τὸ (688) θεοσφαγὲς σῶμα.

Ἄλλο. Ἐν πᾶσι τοῖς ἀντεγκληματικοῖς ἁρμόσει σοι τὸ ἐκ βαρύτητος θεώρημα ἐξ ἀπολογίας, οἷον εἰ λέγοις, ᾤμην μὲν ἔγωγε καὶ τοὺς συναχθεσθησομένους ἐμοὶ γενήσεσθαι, καὶ οἴκτου πλέον ἢ ὀργῆς ἀξιώσεσθαι, οἷον ὡς κατ' ἐκείνου· ἀριστεὺς πορνεύοντα τὸν υἱὸν ἀνεῖλε καὶ κρίνεται.

Ἄλλο. Ἐν ταῖς συνηγορίαις ἄξιον ὁρᾶν ὑπὲρ ὧν λέγομεν, οἷον ἢ ὑπὲρ συγγενῶν, ὡς ὁ Λυσίας πολλαχοῦ, οἰκειότατον ἐμαυτῷ νομίζω βοηθεῖν· ἢ ὑπὲρ φίλων, ὡς ἐν τῷ Ἀμαρτύρῳ Ἰσοκράτης. ἐν δὲ ταῖς τῶν ἀλλοτρίων προσώπων συνηγορίαις σκοπεῖν χρὴ εἰ ἔνδοξα εἴη ἢ ἄδοξα, καὶ εἰ μὲν ἔνδοξα εἴη, συντρέχειν τῷ καὶ ὑπὲρ

2 τούτων σπουδάζειν· εἰ δὲ ἄδοξα, συμπλέκειν αὐτὰ τοῖς
ἐνδόξοις. ὅταν ἄδοξον ᾖ τὸ ὑποκείμενον πρόσωπον ἢ τὸ
483 ἀντιλέγον, τὸ ἐκ ποιότητος καταφορικὸν ἁρμόσει σοι,
οἷον, οὐκ ἦν αὐτάρκη τούτῳ τὰ πρότερον τετολμημένα·
ἢ οὕτως, εἴη μὲν ἂν ἕν τι καὶ τοῦτο τῆς τούτου πονηρίας.
ἢ οὕτω θαυμαστὸν μὲν οὐδὲν τὸ τοιοῦτον ὄντα τοιαῦτα τε-
τολμηκέναι. ἐν δὲ ταῖς ἀμφισβητήσεσι καὶ τοῖς ἀμφισβη-
τηματικοῖς δεῖ ὁρᾶν τὰ διάφορα, οἷον εἰ πράγματι ἢ
καιρῷ ἢ προσώπῳ ἢ τρόπῳ διαλλάττοι καὶ ἐκ τούτου
λαμβάνειν τὰ προοίμια. ἐὰν δέ ποτε ἀναγκασθῇς κοινὸν
προοίμιον εἰπεῖν, τὴν κατασκευὴν αὐτοῦ ἰδίαν πρόσαγε,
οἷον περὶ μεγάλων ἥκομεν· καὶ ἡ κατασκευὴ ἰδία προσε-
τέθη, ὡς ἐν τῷ περὶ εἰρήνης Ἰσοκράτους· ὅπου γὰρ
περὶ πολέμου καὶ εἰρήνης, μεγάλα. κάλλιστον δὲ καὶ ἐν
τούτοις τὸ τῆς μεθόδου, εἰ μεθοδεύοιμεν αὐτὰ ἐπιση-
μαινόμενοι, εἰ καὶ πᾶσιν εἰωθὼς ὁ λόγος εἴη.

3 Ἐν τοῖς ἐσχηματισμένοις εἰ μὲν ἄλλου προειρηκότος
αὐτὸς μετ' ἐκεῖνον λέγοις, ἁρμόσει σοι τὸ ἐξ ὑποθέσεως
προοίμιον, οἷον ἔδει μὲν τὸν προειρηκότα καὶ ταῦτα
προσθεῖναι· καὶ γὰρ ἦν ἑπόμενα τούτοις, οἷον ὁ Περι-
484 κλῆς ἔγραψε δῃοῦν τὴν Ἀττικήν, καὶ γράφει Νικίας
ἀπὸ τῆς Ἐλευσῖνος ἄρξασθαι. ἐν δὲ τοῖς τοιούτοις
ἐκεῖνο αὐτό, ὃ βούλει ἀνύσαι, ὡς ἀναιρῶν εἴσαγε· οὐχ
ὅτι ἂν ἄλλος ἐποίησε, τοῦτο ἐγὼ ποιήσων ἀφῖγμαι.

Ἔστι καὶ τοιοῦτο γένος προβλημάτων, ἐν οἷς δοκῶν
τις εὖ ποιεῖν ὑπόνοιαν ἔχει ὡς μετὰ ἐπιβουλῆς αὐτὸ
ποιῶν, ὡς ἐπ' ἐκείνου τοῦ ζητήματος· ἐν τῷ Πελοποννη-
σιακῷ πολέμῳ ἔπεμψαν Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι
παρὰ βασιλέα περὶ χρημάτων. ἔδωκεν ἑκατέροις· ἐπανελ-
θόντων αὐτῶν ἀξιοῖ τις ἐν τοῖς Ἕλλησιν ἐπὶ βασιλέα
στρατεύειν. ἐν τοῖς τοιούτοις οὖν ἁρμόσει τὸ ἀπὸ οἰ-
κείας κρίσεως θεώρημα· ἐβουλόμην, ὦ δικασταί, τοῦ-

ον ὡς ἀληθῶς κήδεσθαι τῶν ἡμετέρων πραγμάτων, καθάπερ φάσκει, νῦν δὲ τοὐναντίον φαίνεται πράττων, καὶ δόξαν παρέχων ὡς εὖ ποιῶν ἡμᾶς οὐκ ἐλαχίστην βλάβην τοῖς κοινοῖς κατασκευάζει, ὡς μικρὸν ὕστερον, εἰ προσέχοιτε, δείξω.

Ἄλλο. Ἐν ταῖς προσαγγελίαις ἁρμόσει σοι ἐκεῖνο τὸ θεώρημα, ὅταν ὃ βούλει ὡς ἀναιρῶν τιθῇς, οἷον ὡς ἐπ' ἐκείνης τῆς ὑποθέσεως· Εὔπολις ἁλοὺς ξενίας δημοσίᾳ ἐπράθη. πριάμενος αὐτὸν ὁ Λύκων ἐγχειρίζει τὸν παῖδα, ὁ δὲ ἑαυτὸν προσαγγέλλει. ἐν γὰρ τοῖς τοιούτοις τῷ θεωρήματι τούτῳ χρηστέον ὡς προειρήκαμεν, οὔτω λέγοντα, οὔτε ἐλευθερίαν πράττων ἐμαυτῷ, οὔθ' ὅπως ἂν ἀπαλλαγείην τῆς παρούσης ταύτης δουλείας, ὥς τις ἴσως τῶν ἀκουόντων ὑμῶν ὑπολαμβάνει, παρελήλυθα, ἀλλὰ θανάτου δεόμενος.

Ἐν πάσῃ παραγραφῇ ἐκ μὲν τοῦ παραγραφομένου
ἁρμόσει σοι ἡ τοῦ ἀντιπίπτοντος λύσις, τὸ δὲ ἀντιπῖπτον
ἐστὶ τὸ μὴ θαρρεῖν τῇ εὐθυδικίᾳ καὶ διὰ τοῦτο ἐπὶ τὴν
παραγραφὴν βαδίζειν. τοῦτο οὖν εὐθὺς ἐν ἀρχῇ ἀναι- 485
τήσεις λέγων οὕτως· ὅσον μὲν ἐν αὐτοῖς τοῖς πράγμασι
καὶ τῷ τεθαρρηκέναι τούτοις, οὐδὲν [ἢ] ἐδεήθην παρα- (689)
γραφῆς, οὕτω καὶ χωρὶς ταύτης θαρρῶν τοῖς δικαίοις
εἰς ὑμᾶς ἐλήλυθα. ἐπειδὴ δὲ καὶ τοῦτο οἱ νόμοι τοῖς ἀγω-
νιζομένοις παρεσχήκασιν, ᾠήθην καλῶς ἔχειν ἐμαυτῷ
μὴ παρεῖναι τὸ δίκαιον, ὅπερ ἡμῖν δεδώκασιν οἱ νόμοι.
Ἐν τοῖς παραγραφικοῖς ἁρμόττει ἔννοια προοιμιακὴ κἀκείνη ἐπὶ τοῦ ἀπολογουμένου εἰπεῖν, πολλῶν ὄντων, ὦ δικασταί, τῶν περὶ τοῦτον τὸν ἀγῶνα γεγενημένων ὑπὸ κατηγόρου, ἅ τις ἂν εἰκότως θαυμάσειεν, οὐδενὸς ἧττον, εἰ καὶ μὴ παντὸς μᾶλλον, τοῦτό μοι δοκεῖ δικαίως ἄν τις αὐτοῦ θαυμάσαι, τὸ πρὸ ψήφου τῆς τῶν δικαζόντων ἀτιμίαν ἡμῖν προστιμᾶν. τὸ γὰρ ὅπως μὴ μεθέξο-

3 μεν λόγου σπουδάζειν, τί πότ' ἐστιν ἄλλο πράττοντος, ἢ προστιμῶντος ἡμῖν ἀτιμίαν σαφῆ.

Ἔστι καὶ τοιοῦτο γένος ζητήματος, ἐν οἷς πρότερόν τις κακῶς πεποιηκὼς μετὰ ταῦτα ἐλπίζων ὑπ' αὐτῶν τῶν ἠδικημένων κακῶς πείσεσθαι αὐτὸς ταῦτα ἃ ἀφῄρηται δώσειν ὑπισχνεῖται, οἷον ὡς ἐπ' ἐκείνου· νοσοῦντι τῷ Φιλίππῳ ἔχρησεν ὁ θεὸς μὴ ἄλλως λῆξαι τῆς νόσου, εἰ μὴ ὑπὲρ αὐτοῦ εὔξαιντο Ἀθηναῖοι· ἀπέσταλκεν Ἀμφίπολιν διδούς, καὶ βουλεύονται. καὶ ἐπ' ἐκείνου ὁμοίως· ἐψηφίσαντο οἱ Ἕλληνες πολεμεῖν κατὰ Φιλίππου, πέ-
486 πομφεν ἀνοικιεῖν τὰς πόλεις ὑπισχνούμενος, καὶ βουλεύονται. ἐν γὰρ τοῖς τοιούτοις ἅπασι τὸ προκαταρκτικὸν ἐνθύμημα ἐκεῖνο, εἰ καὶ πάνυ πολὺν ἐπέσχε χρόνον ὁ Φίλιππος, ζητῶν ὅπως ἂν τἀναντία τούτοις οἷς προείρηται πράξειεν, οὐκ ἂν ἑτέρως μοι δοκεῖ τοῦτο ποιῆσαι, ἢ τοῦτον τὸν τρόπον, ὃν νυνὶ πεποιηκὼς φαίνεται. τὸ γὰρ ὧν ἐποίησε πρότερον ὑπομιμνήσκειν ταῦτα ἐπεσταλκότα, πῶς οὐχ ὅπερ εἴρηκα πράττοντός ἐστι.

Ἄλλο. Ἐπειδὴ τοίνυν εἰρήκαμεν τί δεῖ ποιεῖν ἐν ταῖς παραγραφαῖς τὸν παραγραφόμενον, φέρε σκεψώμεθα, τί προσήκει καὶ τὸν ἀντιλέγοντα πράττειν. ὁ τοίνυν ἀντιλέγων τῇ παραγραφῇ αὐτὸ τοῦτο τὸ θεώρημα ἀναστρέψας ἐρεῖ οὕτως. ἦν μὲν οὐκ ἄδηλον τοῦτο, ὦ δικασταί, ὅτι τὸν λόγον παρεὶς τὸν περὶ τῶν ἐγκλημάτων, ὧν ἡμεῖς ἐγκαλοῦμεν, διὰ τὸ μὴ θαρρεῖν τοῖς δικαίοις προφάσεις τινὰς εὑρήσει καὶ διαδύσεις, δι' ὧν ἑαυτῷ τὸ μὴ δοῦναι δίκην ποριεῖται, ἐγὼ δὲ ἡγοῦμαι προσήκειν ὑμῖν, τοῦ τε ὅρκου ὃν ὀμωμοκότες κάθησθε φροντίζοντας καὶ τοῦ δικαίαν ἐνεγκεῖν τὴν ψῆφον περὶ ὧν κρίνετε, τούτοις μὲν μὴ προσέχειν, τῶν δὲ περὶ ὧν ἡμεῖς ἐγκαλοῦντες ἥκομεν ἀπαιτεῖν τὸν λόγον.

Ἄλλο. Ἐν πᾶσι δὲ τοῖς ἀντιπίπτουσιν ἐξ ἐννοίας

τροοιμιακῆς, ὅπου σὺ τὸ ἀντιπῖπτον λύσεις, ὁ ἐναντίος 3
ιὐτὸ θήσει. πολλῶν δὲ ὄντων τῶν ἐξ ἐννοίας ἀντιπι-
ττόντων, ὡς μικρῷ πρόσθεν εἰρήκαμεν, ἓν ἑλώμεθα πα-
ιαδείγματος ἕνεκεν, οἷον δοκεῖς διὰ φθόνου λέγειν, τῷ
ἰὲ ἐναντίῳ ἁρμόσει αὐτῷ τούτῳ χρήσασθαι ἀναστρέψαντι 487
ιαὶ λέγοντι· οὐκ ἔστιν ἄδηλον, ὦ δικασταί, τοῦτο ὅτι 6
ρθόνῳ καὶ βασκανίᾳ τὴν γραφὴν ταύτην καὶ τὴν κατη-
ιορίαν συνθεὶς οὗτος εἰς ὑμᾶς εἰσελήλυθεν.

Ἄλλο. Ἐν πᾶσι τοῖς ζητήμασιν, ἐν οἷς καὶ αὐτὸς ὁ κα-
τηγορῶν φανερῶς καὶ μέγα τι ἠδίκηται, τῷ κατὰ συνδρο-
ιὴν χρήσεται προοιμίῳ οὕτως· οἱ μὲν ἄλλοι πάντες οἱ
ταριόντες εἰς ὑμᾶς, ἐπειδάν τινος κατηγορεῖν μέλλωσι,
τοῦτο αὐτοῖς ὑπάρχειν ἀξιοῦσι παρ' ὑμῶν, τὸ μὴ δι'
ἔχθραν δοκεῖν κατηγορεῖν· ἐγὼ δὲ οὐ τοῦτο ἂν ἀρνη-
θείην, καὶ γὰρ ἂν μαινοίμην, εἰ μὴ φαινοίμην μισῶν τὸν
τηλικαῦτα κακῶς ὑμᾶς ἠδικηκότα, καὶ ἔστω παράδειγμα
ἐκεῖνο τὸ ζήτημα· ἐκ τοῦ αὐτοῦ γένους πολλοὶ τυραν-
ιοῦσι καὶ ἀξιοῖ τις ἐλαύνεσθαι τὸ γένος. καὶ ἐπ' ἐκείνου·
λησταί τινες ἀφήρπασαν παῖδα πένητος δημαγωγοῦ·
ἀπέστειλαν ἐπὶ τοὺς λῃστὰς πλούσιον διάφορον τῷ πέ-
νητι· ὁ δὲ τὸν παῖδα τῶν λῃστῶν ἐκβαλόντων οὐκ ἀνεί-
ετο, ἀλλὰ περὶ σύλληψιν ἔσχε τὴν τοῦ πλοίου. καὶ
κατελθὼν δημοσίᾳ κρίνεται.

Ἐν πᾶσι τοῖς ζητήμασιν ἐν οἷς στρατηγὸς ἠδίκηται,
ἶτα ἰδιωτικὴν ἀπενήνεκται γραφήν, ἁρμόσει τὸ [μὲν
ὖν] προοίμιον ἐκεῖνο· ἐβουλευσάμην μὲν ὡς καὶ δη-
οσίᾳ καὶ κοινῇ τὴν πόλιν ἠδικηκότα τοῦτον εἰς ὑμᾶς (690)
ἰσφέρειν· τὸ γὰρ τοὺς στρατηγεῖν ὑφ' ἡμῶν κεχειρο-
ονημένους πάσχειν ὑπὸ τούτου κακῶς, τῆς πόλεως, οὐκ
ἴιον τοῦ στρατηγοῦ τὸ ἀδίκημα νομίζω καθεστηκέναι·
ὐ μὴν ἀλλὰ καὶ νῦν προσδοκῶν ὑμᾶς ὁμοίως ἀγανακτή- 488
ειν, ὡς ἂν εἰ καὶ δημοσίᾳ κατηγόρουν, τὴν παροῦσαν

3 ταύτην γραφὴν ἀπηνεγκάμην. ἔστω παράδειγμα ἐκεῖνο τὸ ζήτημα· ἐγέλασεν Ἀλκιβιάδης ὑπισχνουμένου τοῦ Κλέωνος τὰ περὶ Πύλον, καὶ ἐπανελθὼν ὕβρεως αὐτῷ δικάζεται. καὶ ἐπ' ἐκείνου· ὁ Ἀλκιβιάδης ἐκώμασεν ἐπὶ τὸ δεσμωτήριον [ὄντων] τῶν τριακοσίων καὶ ἔφη, γενναῖοι, καί, ὑπὸ Κλέωνος, καὶ δικάζεται αὐτῷ ὁ Κλέων ὕβρεως. καὶ ἐπ' ἐκείνου· νύκτωρ μὴ ἀνοίγεσθαι τὰς πύλας· οὐκ ἀνέῳξε Κλέωνι ὁ Νικίας εἴσω τῆς προθεσμίας ἄγοντι τοὺς τριακοσίους, καὶ δικάζεται αὐτῷ ὕβρεως.

ΠΕΡΙ ΠΡΟΚΑΤΑΣΤΑΣΕΩΣ.

4 Προκατάστασίς ἐστιν ἔφοδος πρὸς τὰς ἀποδείξεις ἢ κατασκευὴ τῶν ἀποδείξεων. προκαθιστάμεθα δὲ ἐν τοῖς ζητήμασι [τοῖς] ἐκ διανοίας ἐξετάσεως· γίνεται δὲ αὕτη τριχῶς· ἢ γὰρ τὴν ἑαυτῶν διάνοιαν ἐξετάζομεν ἢ τῶν ἀκουόντων ἢ τῶν ἀντιδίκων ἢ ἐξ ἀντιπίπτοντος ἀναιρέ-
489 σεως, ἢ προσυστάσεως, ἢ προδιαβολῆς, ἢ προδιορισμοῦ, ἢ ἀντεξετάσεως τῶν προτέρων καὶ τῶν νῦν, ἢ αὐτὸ τὸ κεφάλαιον τὸ πρῶτον καταστατικῶς εἰσάγεται, τουτέστιν ἀνηπλωμένως καὶ ἀφηγηματικῶς, ἢ νόημα κεφαλαίου ἀπολαβὼν ὡς κατάστασιν εἰσάγεις, οἷα πολλὰ παρὰ Ἀριστείδῃ, ἢ τρόπον παρεισφέρομεν, ἢ ἀπὸ ἐπαγγελίας.

Ἐπειδὴ τοίνυν τοὺς τρόπους τῶν προκαταστάσεων ἀκηκόαμεν καὶ περὶ τῆς χρήσεως ἑκάστου, ἐν ᾧ τουτέστι χρηστέον, εἴπωμεν. ἑαυτῶν τοίνυν τὴν διάνοιαν ἐξετάζομεν, ὁπόταν αὐτὸ ὃ πεποιήκαμεν δοκῇ μὴ ἰσχυρόν, ἀλλὰ μᾶλλον πρὸς τοῦ ἐναντίου, τῇ δὲ διανοίᾳ ἰσχύσωμεν. ἔστω τοίνυν τοῦ γένους τῶν ζητημάτων παράδειγμα νέος πλούσιος ἀφορῶν πρὸς τὴν ἀκρόπολιν καὶ

κηρύων, κρινόμενος τυραννίδος ἐπιθέσεως καὶ δημο- 4
ίᾳ φεύγων.

Τὴν δὲ τῶν ἀκουόντων γνώμην ἐξετάσομεν, ὅταν ὃ ἐν πεποιήκασι δοκῇ καθ' ἡμῶν εἶναι, ἐκ δὲ τῆς ἐξετάσεως τῆς γνώμης ὑπὲρ ἡμῶν φαίνηται πεποιημένον, ὡς π' ἐκείνου τοῦ ζητήματος· οἱ Ἀθηναῖοι τυραννευόμεοι ὑπὸ τῶν τριάκοντα ὑπὸ ἑνὸς ἀξιοῦσι τυραννεῖσθαι. ξετάσουσι γὰρ οὗτοι τὴν γνώμην τῶν Λακεδαιμονίων ιρὸς τὸ χρήσιμον ἑαυτοῖς λέγοντες, ὅτι καὶ αὐτὴν τὴν υραννίδα κατεστήσατε οὐκ ἐπὶ ὠμότητι καὶ ἀπανθρωπίᾳ, ἀλλ' ἐπὶ νουθεσίᾳ μᾶλλον καὶ ἐπανορθώσει τῶν ιραγμάτων· διὰ τοῦτο γοῦν καὶ πάντας κατεστήσατε, ὡς ἂν μέτρια εἴη, καὶ ἐπάξεις· εἰ μὲν οὖν ἀπήντηκε τὰ ἐλπισθέντα.

Τὴν δὲ τοῦ ἀντιδίκου γνώμην ἐξετάζειν ὀφείλομεν τότε, ὁπόταν ᾖ τὸ πρόσωπον ἄδοξον, ἢ δοκῇ μὲν φιλάν- 490 θρωπόν τι ποιεῖν, μετὰ διανοίας δὲ μοχθηρᾶς, ὡς ἐπ' ἐκείνου· ἐν πολιορκίᾳ τινὲς διέπεμψαν παρὰ τύραννον σῖτον αἰτοῦντες· ὁ δὲ ἔδωκε καθ' ὁδὸν διηρπάσθη. πάλιν ᾔτησαν, ὁ δὲ αὐτὸς ἥκει κομίζων· καὶ βουλεύονται εἰ χρὴ δέχεσθαι· ὁ γὰρ ἀντιλέγων ἐξετάζει τὴν γνώμην αὐτοῦ, λέγων τίνι διανοίᾳ βούλεται αὐτὸς εἰσελθεῖν, καὶ δοκεῖν τι φιλανθρώπως ποιεῖν· ἅμα καὶ τὴν ἁρπαγὴν οῦ σίτου διαβάλλων, ὡς οὐκ ἄνευ αὐτοῦ πέπρακται· ὴν δὲ γνώμην ἐξετάζοντας τότε χρὴ μάλιστα καθίστασθαι, ὅταν ἐκ τῆς ἀποβάσεως ἔχωμεν συνιστάναι τὸ κακούργημα· ὡς ἐπ' ἐκείνου τοῦ ζητήματος. Αἰσχίνης πέμφθη πρεσβευτὴς παρὰ τὸν Φίλιππον· καταλαβὼν ὐτὸν τεθνεῶτα συνέθετο πρὸς Ἀλέξανδρον καὶ κρίνεται αραπρεσβείας· ἐὰν γὰρ λέγωμεν, ὅτι οὗτός ἐστιν ὁ καὶ ὴν ἀρχὴν συμπείσας εἰρήνην ποιήσασθαι πρὸς τὸν Φίλιππον, ἵνα μὴ τοῖς γενομένοις ἀγανακτοῦντες διακω-

λύσητε τὴν ἐπιβουλήν, ἣν ἐπεβούλευσε τοῖς Ἑλλ
ἔχομεν ἐκ τοῦ συμβεβηκότος συστῆσαι· ὡς καὶ ἐπ'
νου· Ἐλάτειαν καταλαβόντος Φιλίππου, νόμου ὄντ
(691) τρισὶν ἡμέραις βουλεύεσθαι περὶ πολέμου ἀξιο
Δημοσθένους αὐθημερὸν ἐξιέναι, Αἰσχίνης ἐνίσ
καὶ ὅσα γε τούτοις ἐστὶ παραπλήσια. ἔτι δὲ καὶ ἐ
τοιούτοις ζητήμασιν, ἐν οἷς ἀπέσταλται στέφα
πρεσβεῖα, ἢ δωρεὰ παρά τινος τῶν πολεμίων, τὴν
μην ἐξετάζοντες τοῦ πέμψαντος, οὕτω καταστησ
491 λέγοντες, οὐκ εὐνοϊκῶς οὐδὲ καθαρῶς, ἀλλὰ σύ
τέχνῃ καὶ πανουργίᾳ τοῦτο πεπρᾶχθαι, ἤτοι συγκρ
βουλομένου τὰς πόλεις ἢ διαβάλλειν ἡμᾶς, ἀποπει
νου πῶς ἔχομεν γνώμης περὶ τῶν πραγμάτων· καὶ
παράδειγμα τὸ ζήτημα ἐκεῖνο· πέπομφε Φίλιππο
φισαμένων τῶν Ἑλλήνων πολεμεῖν αὐτῷ, ἀνοικιεῖ
πόλεις ὑπισχνούμενος ἃς ἀπολώλεκε, καὶ βουλεύο
καὶ πάλιν ἐκεῖνο· ἐπέσταλκεν Ἀλέξανδρος ἐν τοῖ
ρείου λογισμοῖς εὑρηκέναι λέγων εἰληφότα Δημοσθ
πεντήκοντα τάλαντα· καὶ κρίνεται δωροδοκίας. κ
ἐκεῖνο· πέπομφε βασιλεὺς χρυσοῦν στέφανον τῇ ἀ
τῶν πόλεων, ἀξιοῖ τις ἐν τοῖς Ἕλλησιν ἐπ' αὐτὸν
τεύειν.

Ἐξ ἀντιπίπτοντος δὲ ἀναιρέσεως ἀντικαθιστά
ὅταν ᾖ πλείονα τὰ ἀντιπίπτοντα ἐκ τῆς διανοία
ἀκουόντων, καὶ δέῃ τὰ μὲν ἐν προοιμίοις ἀνελεῖν,
ἐν καταστάσει· ἢ ὅταν ἓν μὲν ᾖ τὸ ἀντιπῖπτον, ἰσ
δὲ δι' ὅλου ἀνθιστάμενον τῷ λόγῳ, ὡς ἐν τῷ κατὰ
στοκράτους· ἓν μὲν γὰρ τὸ ἀντιπῖπτον τὸ δοκεῖν εὔ
την εἶναι Χαρίδημον· ἔθηκεν δὲ αὐτὸ καὶ ἔν τε π
μίοις καὶ ἐν κεφαλαίοις καὶ ἐν καταστάσει.

Ἐκ προσυστάσεως δὲ ποιησόμεθα κατάστασιν, ὅ
μὴ τῷ πρώτῳ κεφαλαίῳ εὐθὺς ἐπιβῶμεν, ἀλλὰ προ

ῶμεν αὐτὸ ὡς ἀναγκαῖον ἐν πρώτοις τεθῆναι, καὶ εἰς μέγιστα διάφορον, οἷον ὅταν νόμιμον ἢ ἄλλο τι μέλ-ς ἐξετάζειν κεφάλαιον πρῶτον, εἶτα μὴ ἔχῃς ἄλλην κα-στασιν μηδὲ διήγησιν, καὶ εἰ βουληθείης τὸ κεφάλαιον ›οεπισημήνασθαι. γίνεται μὲν γὰρ καὶ διηγήσεως οὔ- 492
|ς προσύστασις κεφαλαίου, ὅταν ᾖ ἰσχυρόν· γίνεται δὲ α μὴ οὔσης μήτε διηγήσεως μήτε καταστάσεως, οἷον εἰ ιτάστασις, ὃ τοίνυν μάλιστα τὸν τῶν ἀνθρώπων συνέ-ι βίον.

Ἐκ προδιαβολῆς δὲ ὁπόταν τὰ τοῦ ἀντιδίκου ἢ τὰ ερὶ αὐτὸν διαβάλλῃς· γίνεται δὲ ἐν οἷς ἄδοξα ὑπόκει-α πρόσωπα, οἷον ὡς ἐπ' ἐκείνου τοῦ ζητήματος· ἐν κάνει χρημάτων ἔγραψεν ὁ Ἀριστογείτων μισθοῦ νεῖν, καὶ κρίνεται· ἢ [ἐκ διορισμοῦ] ὡς ἐν τῷ τῆς πα-απρεσβείας· ἁρμόττει δὲ ἂν μὲν δημοσίᾳ τις φεύγῃ, ταν ἄλλη κατάστασις μὴ ᾖ.

Προσδιοριζόμεθα δὲ ὁπόταν ἀκόλουθα οἷς προδιορι-ιμεθα ἢ τὰ μέλλοντα ἐπιφέρεσθαι, οἷον δεῖ παρὰ ρεσβευτοῦ τῶνδε καὶ τῶνδε λαβεῖν εὐθύνας, ὡς ἐὰν ὴ πάντα δυνώμεθα ἐπιδεῖξαι, περιττὸν τὸ ἐπαγγέλ-σθαι πάντα, ἀλλ' ἐκεῖνα ἃ δυνάμεθα.

Ἐξ ἀντεξετάσεως δὲ καθιστάμεθα ἐν πᾶσι τοῖς ἐξ τοβάσεως, οἷον ὡς ἐπ' ἐκείνου· Σκύθαι νομάδες πόλιν κησαν, καὶ νοσοῦσι· συμβουλεύει τις αὐτοῖς τοῦ προ-ρου ἔχεσθαι βίου. ἐὰν γὰρ ἀντεξετάσῃς, λέξεις οἷα ›ότερον ἦν πρὸ τῆς πόλεως, οἷον ὑγίεια, εὐεξία, καὶ ιοῖα τὰ νῦν.

Τὸ δὲ κεφάλαιον αὐτὸ καταστατικῶς εἰσάγεται, ὡς ἐν ἱ δευτέρῳ τῶν Ὀλυνθιακῶν· „ἐγὼ γάρ, ὦ ἄνδρες, ›όδρ' ἂν ἡγούμην καὶ αὐτὸς φοβερὸν τὸν Φίλιππον ὶ θαυμαστόν, εἰ τὰ δίκαια πράττοντα ἑώρων·" τοῦτο ρ κεφάλαιόν ἐστι τὸ δυνατόν, εἰσῆκται δὲ καταστατι- 493

κῶς· μέρος δὲ κεφαλαίου, ὡς ἐν τῷ Ἰσοκράτει Ἀριστείδου.

Τὸ δὲ ἐκ τρόπου ἁρμόσει σοι καὶ ἐνίοις τῶν ἐσχηματισμένων, ἐν οἷς εἰσηγησαμένου τινὸς καὶ πείσαντος σὺ τὴν εἰσήγησιν ταύτην ἐν ἀληθείᾳ κακίζεις, προσποιῇ δὲ ἐπαινεῖν, καὶ ἄλλο τι δεῖ προστιθέναι ἕτερον αὐτῷ ἀκόλουθον· ἁρμόσει γάρ σοι λέγειν, ἐσφάλην τοῦ προσήκοντος, ἐγὼ μὲν γὰρ ᾤμην τοιάδε αὐτὸν γράφειν καὶ τοιάδε, οἷον ὡς ἐπ' ἐκείνου. ἔγραψεν ὁ Περικλῆς δῃοῦν
(692) τὴν Ἀττικήν· γράφει ὁ Νικίας ἀπὸ τῆς Ἐλευσῖνος ἄρχεσθαι. λέξει γὰρ ὁ Νικίας, ὅτι ἐγὼ μὲν ᾤμην πρότερον, ὅτε ἐκκλησίαν τις ἐπήγγελλε καὶ παρῆλθε Περικλῆς, ταῦτα τὰ εἰωθότα λεχθήσεσθαι, ἀμύνεσθαι ὑπὲρ τῆς χώρας καὶ κινδυνεύειν, καὶ ὅσα ἄλλα τοιαῦτα. ἀλλ' ὁ σοφὸς Περικλῆς τούτων μὲν ὑπερεῖδεν, εὖ γε ποιῶν καὶ καθ' ἑαυτόν· ἠκούετε δὲ οἷα διεξῄει, οἷα μηδεὶς πρότερον· τί οὖν ἕπεται τούτοις, ἀρχὴν ζητῆσαι καὶ τόπον, ἀφ' οὗ ἀρξόμεθα. ἁρμόσει δὲ τοῦτο καὶ ἀγωνιστικοῖς ἐνισταμένων ἡμῶν ἐνίοτε πεφεισμένως μέντοι καὶ ταμιευομένων ἡμῶν τοὺς πλείστους τρόπους τῶν μεταληπτικῶν. γένοιτο δ' ἂν τοῦτο ὁπόταν εἰσηγήσει τινὸς ἀντιλέγῃς ἢ εὐθύναις, οἷον ὡς ἐπ' ἐκείνου. ἔγραψεν ὁ Ἀριστογείτων μισθοῦ μυεῖν. ἀντιλέγει τις, οἷον ἐγὼ μὲν ᾤμην ἄλλους πόρους τινὰς τοῦτον ἐρεῖν χρημάτων εἰσφορᾶς.

491 Ἀπὸ ἐπαγγελίας δὲ καθιστάμεθα, ὁπόταν οἱ ἀκούοντες ἐπιζητῶσι τόδε τι κεφάλαιον, δηλονότι τὸ συνέχον, σὺ δὲ λέγῃς σπεύδειν μὲν ἐπ' αὐτὸ καὶ ἡδέως ἂν ἀπ' αὐτοῦ τὴν ἀρχὴν ποιήσασθαι, εἶναι δὲ ἀναγκαῖον ἄλλα τινὰ πρὸ αὐτοῦ εἰπεῖν, ἢ ὁπόταν δοκῇς μέρει τινὶ τῶν κεφαλαίων ἀσθενὴς εἶναι καὶ λέγῃς μὴ οὕτως ἀσθενῆ δείξειν, ἀλλὰ καὶ ἰσχυρότατα· ἢ ὁπόταν τοῦ ἐναντίου

δοκοῦντος ἰσχυρίζεσθαί τινι κεφαλαίῳ λέγῃς ἐπαγγελλό- 4
μενος, οὐ πρὸς ἐκείνου μᾶλλον ἢ πρὸς ἡμῶν εἶναι.

ΠΕΡΙ ΔΙΗΓΗΣΕΩΣ.

Ὅτι μὲν αἱ διηγήσεις πραγμάτων γενομένων ἐκθέσεις, 5
καὶ ὅτι μάλιστα πιθανότητος καὶ σαφηνείας δεῖ ἐν διηγήσει, καὶ ὅτι διττὸν τὸ γένος τῶν διηγήσεων, τὸ μὲν διὰ ψιλῶν πραγμάτων, τὸ δὲ μετὰ διανοιῶν ἐξεταζομένων καὶ κατασκευῶν προστιθεμένων, ἑτέροις λέγειν ἀφίημι, καὶ ὅτι αἱ μὲν ἱστορικαί, ὧν πολὺ εἶδος ἐν συγγραφαῖς, αἱ δὲ ἀγωνιστικαὶ οἷον παρὰ τοῖς πολιτικοῖς. ἔλθοιεν δ' ἄν ποτε καὶ ἱστορικαὶ πρὸς πολιτικόν. ἔσται μὲν πολιτικὸς ὁ λόγος, δεῖ δὲ τὸ ὕπτιον αὐτῶν ἐπανορθοῦσθαι διὰ τῶν γοργῶν σχημάτων. ἐῶ δὲ κἀκεῖνο λέγειν, ὅτι ὁ μὲν Λυσίας κατὰ ὄρθωσιν ἀνηπλωμένως τὰς διηγήσεις, ὁ δὲ Δημοσθένης πλαγιάζων μετ' ἐννοίας εἰσάγει, καὶ ὁ μὲν ψιλάς, ὁ δὲ συμπερινοῶν τι αὐταῖς. εἰ δὲ δὴ βούλει κἀκεῖνο μαθεῖν, ὅτι πρώταις διηγήσεσιν οὐ 495
χρὴ προεκκενοῦν τὰ πράγματα, ἀλλὰ συμμέτρως, καὶ ὅτι ἐνίοτε οὐ διηγητέον, ὅταν καθ' ἡμῶν ἡ διήγησις ᾖ, ὅταν δὲ τὰ μὲν τῶν πραγμάτων ὑπὲρ ἡμῶν ᾖ, τὰ μὲν ὑπὲρ ἡμῶν διηγητέον, τὰ δὲ καθ' ἡμῶν ἐν ταῖς ἀντιθέσεσι, τηρητέον καὶ λυτέον· ἔτι γε μὴν ἐκεῖνο εἰδέναι ἄξιον, ὅτι διήγησις τοῦ ἀφηγηματικοῦ τούτῳ διαφέρει, ὅτι ἡ μὲν διήγησίς ἐστιν αὐτῶν τῶν γεγονότων ἐν τῷ πράγματι τῷ κρινομένῳ ἀφήγησις, τὸ δὲ ἀφηγηματικὸν πολλάκις κἂν τοῖς κεφαλαίοις τίθεται, ὅταν ᾖ ἐκ παραδειγμάτων, ἢ λύσιν γεγονότων τιθέντες ἀφηγηματικῷ σχήματι εἰσάγωμεν. εἰδέναι δὲ χρή, ὅτι καταστάσεως ἀφήγησις ταύτῃ διενήνοχεν, ὅτι ἡ μὲν ἀφήγησίς ἐστιν αὐτῶν τῶν γεγονότων ἔκθεσις, ἡ δὲ κατάστασις ἐξ ἰδίας

5 ἐννοίας τοῦ λέγοντος καὶ τὰ ἀντιπίπτοντα προαναιρεῖ ἐκ τῆς τῶν ἀκουόντων ἐννοίας· καὶ ἡ μὲν διδάσκει τὸ πρᾶγμα, ἡ δὲ προκαθίστησι τοὺς ἀκροατὰς πῶς δεῖ ἀκούειν τῶν πραγμάτων.

Ταῦτα μὲν οὖν καθολικώτερον ἐπὶ πασῶν διηγήσεων, νῦν δὲ ὥσπερ εἰώθαμεν περὶ τῶν γενικῶν διηγήσεων εἴπωμεν. ὅπου ἂν δωρεὰν ἢ αὐτοὶ αἰτῶμεν, ἢ ἄλλῳ γράψωμεν μέγα τι κατειργασμένῳ, ἁρμόσει διηγεῖσθαι τὰ πεπραγμένα οὐχ ἁπλῶς, ἀλλὰ προπαραιτησάμενον μηδενὶ ἐπαχθὲς παραστῆναι, καὶ τὸ ἄκοντα δοκεῖν λέγειν αὐτά. ἔσται δὲ καὶ αὔξησις τῆς εὐεργεσίας οὐκ ἐὰν ἁπλῶς διέλθῃς τὰ κατωρθωμένα, ἀλλ' ἐὰν πρότερον αὐξήσῃς τὸ μέγεθος τῶν προτέρων συμφορῶν ἃς ἀπήλ-
496 λαξεν, ἢ τὴν δύναμιν τῶν ἐχθρῶν ἣν ἔπαυσεν, οἷον ὡς ἐν τῷ Ἕρμωνι Ἀψίνης ἢ πάλιν ἐν ἐκείνῳ τῷ ζητήματι· γράφει τις τὸν Κόνωνα μετὰ τὴν ἀνάστασιν τῶν τειχῶν τῶν αὐτῶν τιμῶν Ἁρμοδίῳ καὶ Ἀριστογείτονι τυγχάνειν. προνοητέον δὲ ἐν τοῖς τοιούτοις ὅπως μὴ πάντα
(693) ἐκκενώσῃς τὰ κατωρθωμένα ἐν διηγήσει, ἀλλὰ καὶ τοῖς κεφαλαίοις φυλάξῃς τινά· κἀκείνου δὲ προνοητέον, ὅπως ἂν διατρίβων ἐπιτρέχειν δοκῇς ἕνεκα τοῦ ἐπαχθοῦς, καὶ μάλιστα ὅταν περὶ σεαυτοῦ λέγῃς. ἔσται δὲ τοῦτο ἐὰν τὰ πολλὰ διάγῃς, καὶ τὰ μὲν παραλείπειν λέγῃς οὐδὲν ἧττον ἐργαζόμενος αὐτά, τὰ δὲ προηγουμένως εἰσάγων.

Ἐν τοῖς ἐξ ἀποβάσεως ζητήμασιν (ἐξ ἀποβάσεως δὲ λέγω ὅπου ψηφίσματος ἢ νόμου ἢ ἄλλου τινὸς τοιούτου γραφέντος ἢ πραχθέντος τοιοῦτό τι ἀπέβη) ἁρμόσει σοι εἰσάγειν τὴν διήγησιν ἐξ ἀντεξετάσεως, οἷα ἦν τὰ πρότερον καὶ οἷα νῦν συμβέβηκεν, ὡς ἐπ' ἐκείνου· ἔθηκεν ὁ Λεπτίνης τὸν νόμον, οὐ πέμπει τὸν σῖτον ὁ Λεύκων, καὶ κρίνεται ὁ Λεπτίνης ἁρμόσει σοι λέγειν· σκέψασθε τοὺς καιροὺς παρ' ἀλλήλους θέντες τούς τε πρότερον

καὶ τοὺς νῦν. οὐκοῦν πρότερον μὲν καὶ τῇ παρὰ τῶν ἀγαθῶν ἀνδρῶν εὐνοίᾳ καὶ δόξῃ καὶ εὐπορίᾳ καὶ παρασκευῇ τῇ πάσῃ ἡ πόλις εὐθήνει, ὡς μὴ μόνον αὐτῶν ἔχειν τὰ ἐφ' ἡμέραν, ἀλλὰ καὶ διακόσια τάλαντα, ἃ διῴκησε Καλλισθένης προσπεριγενέσθαι· τὰ δὲ νῦν ὁρᾶτε οἷα συμβαίνει διὰ τὸν νόμον. καὶ πάλιν ἐπ' ἐκείνου· Σκύθαι πόλιν ᾤκησαν, καὶ νοσούντων ἀξιοῖ τις ἀφίστασθαι τῆς πόλεως· καὶ γὰρ ἐνταῦθα τῷ κατὰ ἀντεξέτασιν Ἀφίνης ἐχρήσατο.

Ἐν τοῖς ἐξ ἀκολούθου προβλήμασιν (ἐξ ἀκολούθου δὲ 497
λέγω, ὅταν ἤτοι δεδογμένου τινὸς ἤδη ἢ πεπραγμένου ἄλλο ἑξῆς εἰσηγώμεθα) ἁρμόσει λέγειν ὅτι ἤδη μὲν τὸ πλεῖστον μέρος τῆς συμβουλῆς προκατείργασται· ὅπου γὰρ τόδε καὶ τόδε πέπρακται καὶ ἐνταῦθα σύμμετρός ἐστιν ἡ διήγησις τῶν πεπραγμένων, οἷον ὡς ἐπ' ἐκείνου, μετὰ τὰ ἐν Κυζίκῳ γράφει Ἀλκιβιάδης ἐπὶ Σικελίαν πλεῖν. ἁρμόσει γὰρ τούτῳ λέγειν ἐν τῇ διηγήσει οὕτως· ἤδη μὲν οὖν προκατείργασται τοῦ πρὸς Σικελιώτας πολέμου πλεῖστον μέρος· ἐν οἷς γὰρ εἶχον τὰς πλείστας ἐλπίδας Συρακούσιοι Λακεδαιμονίοις, οὗτοι πῶς κακῶς διάκεινται ἐνθυμήθητε. κἀνταῦθα σύμμετρος ἡ διήγησις τῶν πεπραγμένων· καὶ πάλιν ὡς ἐπ' ἐκείνου, μετὰ τὴν νίκην ὁ Ἑρμοκράτης γράφει ἐπ' Ἀθήνας πλεῖν.

Ὅπου ἂν ἀδόξου προσώπου καὶ διαβεβλημένου κατηγορῶμεν, ὡς καὶ ἄλλοις τισὶν ἄνευ τῆς γραφῆς δοκεῖν ὑπεύθυνον δοκεῖν εἶναι, ἁρμόσει σοι τὴν διήγησιν οὐ ψιλὴν εἰσάγειν, ἀλλὰ μετὰ κατηγορίας οἷον ὡς ἐπ' ἐκείνου. ἔγραψεν ὁ Ἀριστογείτων μισθοῦ μυεῖν, καὶ κρίνεται. ἁρμόσει γὰρ εἰσβαλεῖν οὕτως· Ἀριστογείτονι τούτῳ οὐκ ἤρκει τὰ ἄλλα σύμπαντα, οὐ νόμων καταλύσεις, ρ' ὧν κωλύεται τῆς πολιτείας, οὐ κλοπαὶ δημόσιαι, οὐ ὀφλήματα, οὐ τὸ αἰτίαν παρασχεῖν καὶ αὐτῆς τῆς

ἀπορίας, ἀλλ' ἔτι καὶ τοῖσδ' ἐπετόλμησεν. ὅταν ἐν προσώπου κατηγορῶμεν, ἁρμόσει ἐν ἀρχῇ τῆς διηγ καὶ δοῦναί τινα ἔπαινον αὐτῷ, οἷον, ἐγὼ τὸν μὲ λον τἀνδρὸς οὐκ αἰτιῶμαι βίον, εἰ δὲ βούλεσθε, καὶ νῶ τὰ πλείω, ἀλλ' ὤφελέ γε μέχρι τούτου ἵστασθα 498 δὲ ὑποδείξας ἀρχὴν ἐκ τοῦ πιστευθῆναι καλὴν οἷα ι σατο σκέψασθε. ὡς ἐν τῷ Λυσάνδρῳ Ἀψίνης, Λύσα ἀρχὴν ὑποδείξας καλήν· ἢ πάλιν ἐπ' ἐκείνου, ὁ Λυ γος ὁ θεὶς τὸν τῆς ξενηλασίας νόμον κρίνεται. εἰ δὲ δοξον εἴη, ἁρμόσει αὐτὰ τὰ πεπραγμένα ψιλὰ διεξε

Ὅταν συνεχῶς πραττόμενα ᾖ τινα καὶ ἀποτροπ των εἰσηγώμεθα, ἁρμόσει οὕτως εἰσάγειν· ἐμὲ γι πάλαι ἐλύπει τὰ πραττόμενα, καὶ ἐζήτουν ἀπο τινα, οὐ μὴν ἀλλὰ τέως μὲν ἐπεῖχον, καὶ λέξεις ι δι' ἃς ἐπέσχες. νῦν δὲ εἰς μέσον ἤνεγκα τὴν ἐμ γνώμην ὁρῶν εἰς ἀπέραντον μὲν ὑμῖν προχωροῦν ι νόν, συμβαίνοντα δὲ καὶ ταῦτα· ὡς ἐπ' ἐκείνου, πο ἐπὶ Κατάνην ἐρρύη τὸ πῦρ, καὶ βουλεύονται περὶ κισμοῦ. καὶ πάλιν, πολλάκις τις χρώμενος τοῖ ἀνδροφόνων καθαρσίοις κρίνεται φόνου, ἢ πάλιν λάκις κατατρέχοντος Φιλίππου Χερρόνησον συμβο Δημοσθένης τὸν Ἰσθμὸν διορύξαι. ἀλλὰ κἂν ἐν τινι χρόνῳ ᾖ μεμενηκώς, ὡς ἐπὶ τῷ Περικλεῖ ὁ Ἀ δης ἐποίησεν.

Ὁπόταν τις εὖ δοκῇ ποιεῖν, καὶ ἀντιλέγῃς α (694) κατηγορῇς, μᾶλλον καταστάσεως χώρα ἔσται, κ γνώμην αὐτοῦ ἐξετάσεις, μεθ' ἧς ποιεῖ, ὡς ἐ βασιλέως τοῦ μετὰ τὰ Μηδικὰ πέμψαντος τῇ ἀρίστ πόλεων στέφανον· ἐξετάσεις γὰρ αὐτοῦ τὴν γν ὅτι συγκροῦσαι βούλεται τὰς πόλεις· ἢ πάλιν ἐπ νου· ἔπεμψε στέφανον Φίλιππος τῇ θεῷ μετὰ Ὀλ

Ὁπόταν ἡττηθῶμεν ἐν τῇ προτέρᾳ κρίσει, κι

:ἑρων πάλιν ἀγωνιζώμεθα, ἁρμόσει ἐν τῇ βαρύτητι ιολογήσασθαι καὶ ἅψασθαι τῶν δικαστῶν, οἷον εἰ λέ- 499
οις· τὰ μὲν οὖν πρώην κεκριμένα ὅπως δήποτε ἔσχεν, φίημι καὶ οὐ λέγω τοῦτο ὅτι πολλὰ καὶ παραπεισθέντες ολλάκις ἔπραξαν δικασταί, οὔτε εἰς τοῦτο φέροντες ίκαια· ἐκ δὲ τοῦ ἐναντίου αὐτὸ τοῦτο συμπεπλέχθαι αὶ λέγειν· ἤδη μὲν οὖν μαρτύριον ἱκανὸν τῆς τούτου ονηρίας ἡ πρώην κρίσις.

Ὁπόταν ἀδίκημά τι κατά τινος κατηγορῶμεν, οἷον υραννίδα, ὡς εἰ Κριτίαν κρίνοντες, ἁρμόσει ἐπισημηνα- μένῳ τὸ μέγεθος τοῦ τολμήματος, ὡς οὐκ ἐφικτὸν λόγῳ, ὕτως εἰσβάλλειν εἰς τὴν διήγησιν· καὶ ἔσται καθ' ὑπο- γραφὴν ὁ λόγος.

Ὁπόταν ἀδίκημά τινος κατηγορῶμεν, δοκοῦν μικρὸν εἶναι, ἄξιον τοῦτο αὐτὸ ἐπισημηνάμενον, ὡς οὐ χρὴ προλαμβάνειν οὐδὲ προκαταγινώσκειν τοῦ ἀγῶνος, ὡς περὶ μικρῶν, ἀλλὰ περιμένειν τὴν ἀκρόασιν οὕτω διη- γεῖσθαι.

Ὁπόταν πάθος μέλλωμεν διεξιέναι, οἷον λοιμώδη φθορὰν ἤ τι τοιοῦτον, ἁρμόσει ἐπισημηνάμενον ἐν κατα- στάσει, ὡς ἔστιν οἰκτρὰ καὶ ἀνιαρὰ τὰ ῥηθησόμενα, ἀναγκαῖα δέ, οὕτως εἰσβάλλειν εἰς τὴν διήγησιν, εἶτα προαγαγεῖν δι' ὑπογραφῆς τὸν λόγον· ταῖς γὰρ ὑπογρα- φαῖς μάλιστα τὰ πάθη χαίρει ἐν ταῖς διηγήσεσι. μὴ πει- ρῶ εἰς τὰ καθ' ἕκαστα καθιέναι· εἰ δὲ μή γε, εἰς εὐτέ- λειαν ἐκπεσεῖται ὁ λόγος· ἀλλὰ τὰ μὲν προφανῶς εἰπὲ ἐν εἴδει, τὰ δ' ἐν γένει· ἔνια δὲ καὶ ἀποσιωπᾶν καὶ παρα- λείπειν.

Ὁπόταν ἀτόπου τινὸς συμβαίνοντος εἰσηγῆταί τις τρόπον ἐπανορθώσεως, καὶ αὐτὸς μὲν οἷα τὰ συμβαίνον- τα διηγήσηται, ὁ δὲ ἀντιλέγων αὐτῷ τὸν τρόπον τῆς ἐπανορθώσεως μέμφηται, πῶς προκαταστήσεται, λέλε-

κται. φήσει γὰρ ὅτι ἐγὼ μὲν προσεδόκων τοῦτον ἀ
500 πρὸς ἐπανόρθωσιν τῶν δυσχερῶν, οἷα καὶ ὑμῶν ἤ
τῶν πλείστων λεγόντων, καὶ αὐτὸς αὐτίκα δὴ λέ
δὲ οἷα εἰσηγήσατο ὁρᾶτε.

Ὅλως δὲ καθόλου τῶν διηγήσεων αἱ μέν εἰσι πα καί, αἱ δὲ ἠθικαί, αἱ δὲ σφοδραί, αἱ δὲ πάνυ ἐν βαρ αἱ δὲ ἐγκωμιαστικαί, αἱ δὲ μέσαι· τῶν δὲ μέσων ι δημόσιαι αἱ δὲ ἰδιωτικαί. αἱ μὲν οὖν ἐγκωμιαστικα εὐεργεσιῶν διέξοδον ἔχουσιν· αὗται τοίνυν πομ τεραι καὶ πανηγυρικώτεραι· πρόσεστι δὲ αὐταῖς τὸ χθές· τοῦτο τοίνυν ἐπανορθωτέον ἢ διὰ τῶν προπ τήσεων, ἢ τῷ ἀναγκαῖον δεικνύναι τὸν λόγον τὰ προσποιούμενον παραλείπειν, ἢ ἐξ ἀναιρέσεως τὰ εἰσάγοντα, ἢ ἀσυνδέτως· τάχιον γὰρ φαντασίαν τὸ σχῆμα, ἤγουν τὸ κατ' ἐπιδρομήν, ὡς ἔφη Ἀψίν τῷ κατὰ Μειδίου γεγενῆσθαι, ἐπειδή περ ἔμελλεν ἐγκωμιάσειν.

Αἱ παθητικαὶ διηγήσεις οὐ πολὺν ἔχειν ὀφεί κόσμον, ἐκλύουσι γὰρ τὸ ἐναργὲς τοῦ πάθους. χρή γὰρ ἐν αὐταῖς καὶ αἱ διαπορήσεις· τί χρή, σιγᾶν ἢ λέ καὶ οἱ μελλησμοί· ἐγὼ μὲν καὶ πρὸς αὐτῷ καθιστάμ τῷ πάθει ἀναχωρῶ καὶ διαμέλλω. χρήσιμοι δ' ἐν α καὶ αἱ ἀντεξετάσεις τῶν [προτέρων] προγεγενημ εὐπραγιῶν, καὶ ὅτι ἔδει μὲν ἄχρι τούτων προελ λέγειν δὲ ἀνάγκη· καὶ τὸ διὰ μέσου γενόμενον τῆς γήσεως ἀποσιωπήσει χρήσασθαι· οὐκέτ' ἂν δυναίμ πλείω λέγειν. χρήσιμοι δὲ ἐν αὐταῖς καὶ οἱ σχετλι καὶ αἱ ἐπαναλήψεις „Θῆβαι δὲ Θῆβαι.“ χρήσιμοι δ αἱ ὑπογραφαί· ὑπογραφὰς δὲ λέγω τὰ τοιαῦτα, „ο κατεσκαμμένας, τείχη περιῃρημένα.“ ταῦτα γὰρ γραφικὰ καλεῖται.

Αἱ σφοδραὶ διηγήσεις μάλιστα κατὰ τῶν ἐνδόξων
'νονται. εἰσάγονται δὲ οὐ ψιλαί, ἀλλὰ πολλάκις μετὰ 501
κτηγορίας, ὅταν μὴ μόνον εἴπωμεν τὸ κρινόμενον,(695)
λλὰ καὶ τὸν ἄλλον βίον τοῦ κρινομένου. παρακατηγορή-
)μεν δὲ συμμέτρως· ἐξαγώνιον γὰρ τοιοῦτον δοκεῖ.
ὶ κατὰ ἀναίρεσιν ἐνίοτε αὐτὰ εἰσάξομεν· οὐ λέγω τόδε
ὔδὲ τόδε. ἐνίοτε δὲ καὶ ἀξιοπιστίας ἕνεκα καὶ παραλεί-
ειν ἔνια προσποιησόμεθα διὰ τὸ πλῆθος τῶν ἐνόντων
'κεῖν, καὶ οὐχ ἁπλῶς λέξομεν ἃ τετόλμηκεν, ἀλλὰ καὶ
ὴν διάνοιαν προσεξετάζοντες. ἁρμόσει δὲ ἐν ταῖς τοιαύ-
αις ἀποστατικὰ σχήματα καὶ ὅσα ἀκμαῖα· καὶ γὰρ τὰ εἰς
ρχὴν ἀνάγοντα εἰσάγειν ἁρμόσει· αἱ δὲ ἀρχαὶ τῶν τε-
ολμημένων χρήσιμοι· καὶ μὴ ἀνεπισημάντως προσβά-
ῃς, ἀλλ' ἐν καταστάσει τὸ μέγεθος ἐπισημηνάμενος.

Αἱ ἠθικαὶ διηγήσεις διχῶς νοοῦνται, ἢ ὡς ἐσχηματι-
μέναι, ἢ ὡς ἦθος ἔχουσαι ὑφειμένον. καὶ περὶ μὲν τῶν
σχηματισμένων κάλλιον ἐν τῷ περὶ προκαταστάσεως
λέλεκται· αἱ δ' ὑφειμέναι διηγήσεις, ὅταν ἢ πρὸς οἰκεῖον
πρόσωπον ἢ ἔνδοξον γίνωνται. ἐν ταύταις προσκατηγο-
ίας μὲν οὐ σφόδρα καιρός· αὐτὰ δὲ τὰ πράγματα δεῖ
λέγειν, ἢ τοῦ προσώπου προσάπτεσθαι, καί τι καὶ δοῦ-
αι τὴν πρώτην τῷ ἀντιδίκῳ καὶ ἐπαινέσαι, οἷον ἐγὼ
ὸν μὲν ἄλλον βίον τἀνδρὸς οὐκ αἰτιῶμαι, ἀλλὰ καὶ
παινῶ τὰ πλείω, πλὴν ἀλλ' ὤφελεν ἄχρι τούτου ἵστα-
θαι, ὡς ἐν τῷ Λυσάνδρῳ Ἀψίνης ἠθικῶς ἥψατο τῆς
ιηγήσεως μάλα τὴν πρώτην ἐπαινέσας· ἔνδοξον γὰρ ἦν
ὸ πρόσωπον. ὅταν δὲ τὸ μὲν πρᾶγμα ἄδοξον ᾖ, τὸ δὲ
ρόσωπον ἔνδοξον ἢ τοὔμπαλιν, ἀτελὲς τὸ ἦθος· ὅταν 502
ὲ ἀμφότερα δοκοῦντα ἔνδοξα, πλεῖον τὸ ἦθος καὶ ἡ
παγγελία ἐνταῦθα ἐπιμελεστέρα. καὶ αἱ παραιτήσεις
ρήσιμοι γίνονται. ἐνίοτε δὲ οὐδὲ διηγητέον ἐν τοῖς τοι-
ύτοις· αἱ γὰρ περὶ μεγάλων ἀφηγήσεις ἐν τοῖς δημοσίοις

καὶ κόσμου μετέχουσι πλείονος καὶ κατὰ πλαγιασμὸν εἰσάγονται καὶ κατ' ἐμβολὰς προαναιροῦνται.

ΠΕΡΙ ΛΥΣΕΩΝ [ΚΑΙ] ΑΝΤΙΘΕΣΕΩΝ.

6 Τῶν ἀντιθέσεων αἱ μέν εἰσιν ἔντεχνοι, αἱ δὲ ἄτεχνοι. ἄτεχνοι μὲν οὖν ὅσαι ἢ ἀπὸ γεγονότων ἢ ἀπὸ ἐγγράφων τίθενται. ἀπὸ γεγονότων μὲν ὡς ἐκεῖναι, ὅσαι ἀπὸ παραδειγμάτων, οἷον ὡς ἐν τῷ κατὰ Μειδίου· „ἀπήγγελλε τοίνυν τίς μοι περιϊόντα αὐτὸν συλλέγειν καὶ πυνθάνεσθαι, τίσι πώποτε συμβέβηκεν ὑβρισθῆναι καὶ λέγειν τούτους καὶ διηγεῖσθαι πρὸς ὑμᾶς μέλλειν, οἷον τὸν πρόεδρον“ καὶ τὰ ἑξῆς· ἀπὸ ἐγγράφων δέ, ὅταν ἢ νόμος ἢ ψήφισμα ἡμῖν ἀντιτεθῇ. ἄτεχνοι δὲ αἱ τοιαῦται καλοῦνται, διότι οὐκ ἐξ ἰδίας ἐπινοίας εὑρίσκει ταύτας ὁ ῥήτωρ, ἐξ ὡρισμένων δὲ καὶ γεγονότων ἔχει τὴν ὕλην. ἔντεχνοι δὲ καλοῦνται, ὅσας εὑρὼν αὐτὸς ὁ ῥήτωρ εὑρὼν ἀντιτίθησιν ἡμῖν, οἷον ὡς ἐν τῷ πρὸς Λεπτίνην· „ἀλλά, νὴ Δία, φήσει ὡς ἐκ τοῦ νόμου τούτου λειτουργήσουσιν οἱ πλουσιώτατοι.“ ὡς ἐπὶ τὸ πλεῖστον δὲ αἱ ἄτεχνοι ἰσχυρότεραί εἰσι τῶν ἐντέχνων. διὰ τί; ὅτι αἱ μὲν ἀφ'
503 ὡρισμένων πραγμάτων λαμβάνονται καὶ σχεδὸν ὡμο-
21 λογημένων, ταύτας δ' εὕρηκεν ὁ ῥήτωρ, καὶ δεῖ αὐτὰς κριθῆναι. χρὴ δὲ τὰς μὲν ἰσχυρὰς ἀντιθέσεις, (ἰσχυρόταται δέ εἰσιν αἱ συνεκτικώταται τοῦ ἀντιδίκου) προδιαβάλλοντα εἰσάγειν ὡς μεμηχανημένας, καὶ ἀδόξοις τοῖς ὀνόμασι [καὶ] ὡς μάλιστα πειρᾶσθαι αὐτὰς ἀσθενῶς εἰσάγειν ἢ προσθέντα τι ὄνομα ἄδοξον ἢ ἀφελόντα, οἷον ὡς ἐπ' ἐκείνου [οἷον] οἱ νησιῶται πωλοῦσι τὰ γένη, καὶ οὕτω πέμπουσι τὸν φόρον, καὶ βουλὴ πρόκειται. ἐνταῦθα τί ἐστι τὸ συνεκτικώτατον τοῦ ἀντιδίκου, τὸ συμφέρον· σὺ οὖν πῶς ἂν εἰσάγοις τὴν ἀντίθεσιν; ὅν

οίνυν αἴσχιστον εὑρήκασι λόγον καὶ οὐδαμῶς τῇ πόλει 6
ιρόσφορον, ἐκεῖνό ἐστι, τὸ ἀπὸ χρημάτων κέρδος προ:είνονται, ὥσπερ δέλεαρ, ἀλυσιτελὲς ὂν τὸ τούτων ἀποτῆναι. αἱ δὲ ἀσθενεῖς ἀντιθέσεις καὶ ἁπλούστεραι εἰσάονται ἐνίοτε καὶ ἐξ ἀναιρέσεως, ἐὰν παρέλκωσιν· οὐ ἀρ ἐκεῖνό γ' ἔστιν εἰπεῖν. ἐνίοτε δὲ καὶ ἰσχυραὶ ἀντιθέεις ἁπλῶς καὶ ἐκ προφανοῦς εἰσάγονται, ὅταν πάνυ θαρρῶμεν τῇ λύσει, καὶ ἔχῃ ἀξιόπιστον τοῦτο. (696)

Τίθενται δὲ πᾶσαι αἱ ἀντιθέσεις τριχῶς· ἢ γὰρ αὐτὰς τὰς ἀντιθέσεις τίθεμεν, (ἤγουν τὰς προτάσεις τῶν ἀντιθέσεων καθ' ἑαυτὰς ὡς ἀντιθέσεις προστίθεμεν) ἢ ταῖς προτάσεσι τὰς κατασκευὰς συνάπτοντες οὕτω τίθεμεν τὴν ἀντίθεσιν, ἢ τὰ ἑπόμενα τῇ ἀντιθέσει τίθεμεν. ἀντιθέσεις μὲν οὖν τίθενται οὕτως,* ὡς ἐν τῷ τῆς παραπρεσβείας· δεινὰ ποιεῖς, ὦ Δημόσθενες, τῶν συμπρέσβεων κατηγορῶν. εἶτα ἡ λύσις, ὅτι ἀναγκαῖον ἦν 504
μοι διὰ τὰ τετολμημένα τοῖς πρέσβεσι καὶ διὰ τὸ μὴ δόξαι κοινωνεῖν αὐτοῖς· εἶτα ἡ κατασκευὴ τῆς ἀντιθέσεως. ἀντίθεσις, ποῦ ἅλες; ποῦ τράπεζαι; ποῦ σπονδαί; εἰ γὰρ δεινὸν τὸ συμπρέσβεων κατηγορεῖν, τί τούτου κατασκευαστικόν; τὸ μήτε ἁλῶν μήτε σπονδῶν φείσασθαι. εἶτα πάλιν πρὸς τοῦτο ἡ λύσις.

Συνάπτεται δὲ ἀντιθέσει κατασκευὴ τῆς ἀντιθέσεως ἐπ' ἐκείνου. „εἰ δέ τις ὑμῶν οἴεται δυσπολέμητον Φίλιππον εἶναι.“ μέχρι τούτου ἡ ἀντίθεσις, εἶτα ἡ κατασκευὴ τοῦ δυσπολεμήτου· „ὁρῶν τό τε πλῆθος τῆς ὑπαρχούσης αὐτῷ δυνάμεως καὶ τὸ τὰ χωρία πάντα προειληφέναι“ καὶ τὰ ἑξῆς.

Ἑπόμενον δ' ἀντιθέσει ὡς ἐν τῷ κατ' Ἀνδροτίωνος· „ὡς οὐχ ἡ βουλὴ γέγονεν αἰτία τοῦ μὴ πεποιῆσθαι τὰς ναῦς, ἀλλ' ὁ τῶν τριηροποιῶν ταμίας ἀποδρὰς ᾤχετ' ἔχων πέντε ἡμιτάλαντα·“ εἶτα τὸ ἑπόμενον· „καὶ τὸ

6 ὅλον πρᾶγμα ἀτύχημα συμβέβηκεν.“ εἰ γὰρ ἀπέδρα λαβὼν ἀργύριον, ἕπεται τὸ ἀτύχημα λογίζεσθαι τὸ συμβάν.

Ἴδωμεν τοίνυν ἑκάστου τὸν καιρόν. ὅταν μὲν οὖν πάνυ θαρρῶμεν τῇ λύσει, συνάψομεν τῇ ἀντιθέσει καὶ τὰς κατασκευὰς καὶ ποιήσομεν ἀξιοπιστίαν· τότε δὲ δοκοῦμεν πάνυ θαρρεῖν τῇ λύσει, εἰ [καὶ] κατασκευάσαντες τὴν ἀντίθεσιν πολλὰς παρέχομεν τὰς λύσεις, τὰς κατασκευὰς δὲ αὐτῆς διελόντες ὡς ἀντιθέσεις εἰσάγομεν, ἵνα πυκνὸς καὶ ἀγωνιστικὸς ὁ λόγος γένηται, ὡς ἐν τῷ δευτέρῳ τῶν Φιλιππικῶν· μία μὲν γὰρ ἦν ἀντίθεσις, ὅτι φοβερὸς ὁ Φίλιππος. κατασκευαὶ δὲ τούτου τίνες; ὅτι χωρία εἴληφεν, ὅτι συμμάχους ἔχει, ὅτι πεζεταίρους ἴσχει, ὅτι τὸν Μακεδονικὴν δύναμιν περιέχει. ταύτας
505 γὰρ τὰς κατασκευὰς ὡς ἀντιθέσεις εἰσήγαγε, δι' ἃς εἴπομεν αἰτίας.

Ἐνίοτε δὲ καὶ τὸ ἑπόμενον τῇ ἀντιθέσει προστίθεται, ἵνα ἀπ' αὐτοῦ λαβὴν ἔχοντες ῥᾶον λύωμεν, ὡς ἐν τῷ κατὰ Ἀνδροτίωνος ὁ Δημοσθένης· προειπὼν γὰρ τὴν ἀντίθεσιν, „ὡς ὁ τῶν τριηροποιῶν ταμίας ἀποδρὰς ᾤχετ' ἔχων πέντε ἡμιτάλαντα,“ εἶτα προστιθεὶς τὸ ἑπόμενον, „καὶ τὸ ὅλον πρᾶγμα ἀτύχημα συμβέβηκεν.“ ἐκ τούτου ἔσχεν ἀφορμὴν τῆς λύσεως. δεῖ δὲ καὶ πιθανὰ εἶναι τὰ λεγόμενα, ἵνα μὴ ἡμεῖς αὐτὰ κακοτεχνοῦντες δοκῶμεν προσάγειν, ἀλλ' αὐτὴ ἡ φύσις τῶν πραγμάτων ἐφέλκεσθαι.

Ἐνίοτε δὲ καὶ μὴ θέντες ἀντίθεσιν τὰς λύσεις αὐτῆς τίθεμεν. τοῦτο δὲ γίνεται, ὅταν ἢ πάνυ βαρύνῃ ἡμᾶς ἡ ἀντίθεσις ἐκ προφανοῦς τεθεῖσα, καὶ δέῃ αὐτὴν προανελεῖν λεληθότως ὡ ἐν τῷ πρώτῳ τῶν Ὀλυνθιακῶν πεποίηκεν ὁ Δημοσθένης. τίς γὰρ ἦν πάνυ βαρύνουσα αὐτὸν ἀντίθεσις; ὅτι ἄπιστοι ἡμῖν Ὀλύνθιοι. τοῦτο τοίνυν μὴ θεὶς ἐκ προφανοῦς λέλυκε λεληθότως· „πρὸς δὲ

τὰς καταλλαγάς, ἃς ἂν ἐκεῖνος ποιήσαιτ᾽ ἄσμενος πρὸς 6 Ὀλυνθίους, ἐναντίως ἔχει.“ καὶ γάρ ἐστι τύραννος Φίλιππος καὶ ὄλεθρος φύσει τοῖς δημοκρατουμένοις, καὶ ὑπὲρ μεγάλων Ὀλυνθίοις ὁ κίνδυνος, εἰ πεισθήσονται. καὶ ἐκ παραδείγματος· καὶ ἴσασιν ἅ τε Ἀμφιπολιτῶν ἐποίησε τοὺς παραδόντας αὐτῷ τὴν πόλιν, καὶ Πυδναίων τοὺς ὑποδεξαμένους. ταῦτα τοίνυν ἐστὶ συστατικὰ τοῦ πιστοὺς μὲν ἡμῖν μένειν, ἀπίστους δὲ τῷ Φιλίππῳ. ὅρα πῶς μὴ θεὶς τὴν ἀντίθεσιν τὰς λύσεις αὐτῆς τέθεικεν. 506 κἂν τῷ ὑπὲρ τοῦ στεφάνου τὰ αὐτὰ πεποίηκεν. τίς γὰρ ἦν ὁ ἀντιτεθεὶς παρ᾽ Αἰσχίνου λόγος; ὅτι οὐδὲ προσήκων ἦν ἡμῖν ὁ πόλεμος, ὦ Δημόσθενες, ἀλλ᾽ ἐπ᾽ ἄλλους ᾔει Φίλιππος, σὺ δὲ ἀλλότριον πόλεμον ἐπεσπάσω, τούτου ἦν ἡ λύσις. ὁ δὲ μὴ θεὶς τὴν ἀντίθεσιν τὴν λύσιν αὐτῆς τέθεικεν εἰπών, „ἀλλὰ μὴν τὸν τότε συμβάντα ἐν τῇ πό-(697) λει θόρυβον.“ τί γὰρ ἐκ τούτου συνίστατο; ὅτι προσήκων ἡμῖν ὁ πόλεμος, ἐθορυβούμεθα. ἢ οὖν βαρυνούσης ἡμᾶς τῆς ἀντιθέσεως προεισάγομεν τὰς λύσεις, ἢ ὅταν μὴ οὔσης καταστάσεως δέῃ τὰς λύσεις καταστατικῶς ἀλλ᾽ οὐκ ἀγωνιστικῶς τεθῆναι, ὡς ἐν τῷ δευτέρῳ τῶν Ὀλυνθιακῶν πεποίηκεν ὁ Δημοσθένης· „ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρ᾽ ἂν καὐτὸς ἡγούμην φοβερὸν τὸν Φίλιππον·“ εἰ γὰρ ὡς ἀντίθεσιν καὶ λύσιν ἐποίει, οὕτως ἂν εἶπεν, ἀλλὰ νὴ Δία φοβερὸς Φίλιππος, ἢ ἐξ ἀδίκων ηὔξηται· νῦν δὲ καταστατικῶς εἰσήγαγε τὰς λύσεις, δι᾽ ἣν εἶπον αἰτίαν.

Ἐνίοτε δὲ καὶ ἡ μία ἀντίθεσις πλεονάκις εἰσάγεται, ὡς ἐν τῷ πρὸς Λεπτίνην· τίς γὰρ ἦν ἀντίθεσις, ὅτι ἀνάξιοί τινές εἰσι τῆς ἀτελείας. τοῦτο πολλάκις εἰσήγαγεν. „ἔστι δὲ τοῦτο δῆλον ὅτι Λεπτίνης δίκαιον μὲν οὐδὲν ἐρεῖ, φήσει δ᾽ ἀναξίους τινὰς εἶναι·“ καὶ πάλιν· „νὴ Δία ἀνάξιοι γάρ τινές εἰσι,“ καὶ πάλιν „εἶτ᾽ ἐπισύροντες ἐροῦσιν ὡς Με-

6 γαρεῖς καὶ Μεσσήνιοί τινες ἀτελεῖς εἰσὶν ἀθρόοι καὶ
507 παμπληθεῖς καὶ δοῦλοι καὶ μαστιγίαι."

Πολλάκις δὲ τὴν αὐτὴν ἀντίθεσιν λαμβάνομεν, ὅταν δαψιλεῖς ἔχωμεν ἐν αὐτῇ τὰς λύσεις καὶ δέῃ αὐτὰς διαιρεθῆναι, ἢ ὅταν ἰσχυρὰ δοκῇ εἶναι ἡ ἀντίθεσις καὶ δέῃ αὐτὴν ἀκριβῶς ἐξελεγχθῆναι. ὅταν δὲ μέλλῃς τὴν ἀντίθεσιν εἰσάγειν, δεήσει σοι καὶ ποικίλων τῶν σχημάτων καὶ τῶν εἰσαγωγῶν, ἵνα τὸ προσκορὲς ἀφέλῃς.

Ἐνίοτε δὲ καὶ δύο ἀντιθέσεις κατὰ ταὐτὸ συνάπτοντες εἰσάγομεν, χωρὶς δὲ ἑκατέραν λύομεν. ἔστι μὲν καὶ παρὰ τοῖς ἀρχαίοις παραδείγματα, ἔστι δὲ καὶ παρ' ἡμῖν ὡς ἐν ἐκείνῳ τῷ ζητήματι· τὸν προδότην ἔδει δεδέσθαι παρὰ τῷ στρατηγῷ, ἔστ' ἂν εἴπῃ τοὺς ἄλλους· στρατηγὸς ἁλοὺς προδοσίας ἐδέθη παρὰ τῷ συστρατήγῳ, ὁ δὲ ἀπέκτεινεν αὐτὸν ὡς ἐπ' αἰτίᾳ μοιχείας, καὶ κρίνεται συνειδότος. μετὰ γὰρ τὰς πρώτας ἀντιθέσεις ἔτι κἀκείνας τεθείκαμεν συμπλέξαντες· φησὶ γὰρ ὅτι καὶ αὐτὰ μὲν δι' ἑαυτῶν φωρᾶται. περὶ δὲ τοῦ καὶ ἄλλως ἐγγενέσθαι διαφθεῖραι τὸν ἄνθρωπον αὐτῷ, εἰ τὴν ἐξ αὐτοῦ μήνυσιν ὑφεωρᾶτο, καὶ οὐκ ἂν ἐξὸν ἀκινδύνως τοῦτο πρᾶξαι μετὰ τῆς μεγίστης ζημίας προείλετο τοῖς τούτου προσθεῖναι τὴν γυναῖκα· τοῦτο εἴσηκται μὲν ὡς μία ἀντίθεσις, τὸ δ' ὡς ἀληθῶς εἰσὶ δύο, μία μὲν ἀπὸ τῆς βουλήσεως, ὅτι οὐκ εἰκὸς ἦν προσαπολέσαι με ἐλέσθαι γυναῖκα καὶ ὀνείδει περιβαλεῖν, εἰ μὴ ταῖς ἀληθείαις μεμοίχευτο, ἑτέρα δὲ ἀπὸ τῆς μεταλήψεως· εἰ καὶ ἄλλοι τρόποι ἦσαν ἀναιρέσεως, εἰ ἐβουλόμην ἀνελεῖν τὸν ἄνθρωπον. ὁ δὲ τὰς δύο συνάψας εἰσήγαγε. γνοίης δ' ἂν ὡς ἀληθῆ λέγω καὶ ὄντως δύο εἰσὶν ἀντιθέσεις, καὶ ἀπ'
508 αὐτῶν τῶν λύσεων. διαφόρους γὰρ πρὸς ἑκατέραν
31 ἠνέγκαμεν λύσεις, ὡς καὶ τῷ σχήματι ἐπεσημήναμεν εἰπόντες, πρῶτον μέν, ἵνα πρὸς τοῦτο ἀποκρινώμεθα,

δεύτερον δέ· τοῦτο οὐκ ἂν εἴπομεν, εἰ μὴ ᾔδειμεν καὶ 6
αὐτοὶ δύο ἀντιθέσεις τεθεικότες. γίνεται δὲ τοῦτο καὶ
συνάπτεται ἀντίθεσις ἀντιθέσει, ὅταν ἢ μίαν ἔχωμεν
λύσιν θεῖναι, καὶ ἔστι τοῦτο ἄκρας δυνάμεως δεῖγμα, ἢ
ὅταν ἕπωνται ἀλλήλαις αἱ ἀντιθέσεις καὶ συνᾴδωσιν, ὡς
μίαν εἶναι δοκεῖν. ὅταν δὲ τοῦτο ποιήσῃς καὶ μέλλῃς δια-
φόρους πρὸς ἑκατέραν τιθέναι λύσεις, ἐπιμελητέον σοι
καὶ τῶν σχημάτων σαφῶν καὶ εὐκρινῶν, ὡς μὴ σύγχυσιν
εἶναι, ἀλλὰ τοῦ ἑνὸς εὐκρινῶς ἀποδειχθέντος οὕτως ἐπὶ
τὸ ἕτερον μεταβῆναι.

Πολλάκις δὲ καὶ ἐκ μάχης εἰσάγονται ἀντιθέσεις, ὅταν
ἐναντίαι ὦσιν ἀλλήλαις, καὶ ποτὲ μὲν τοίνυν λέγουσιν,
ὡς οὐκ ἔπραξαν, ποτὲ δὲ ὡς ἔπραξαν μέν, δικαίως δέ γε.

ΠΕΡΙ ΛΥΣΕΩΣ.

Λύσεων δὲ καθολικοὶ τρόποι εἰσὶ δύο, κατὰ ἀνατρο- 7
πὴν καὶ κατὰ μέθοδον· καὶ κατὰ ἀνατροπὴν μὲν οὖν, 16
ἐφόνευσας, οὐκ ἐφόνευσα. κατὰ μέθοδον δέ, οἷον, ἐφό-
νευσα μέν, ἀλλὰ δι' αἰτίαν εὔλογον· ὁ μὲν οὖν κατὰ
ἀνατροπὴν τρόπος κατασκευάζεται ἐκ τόπων τούτων, ἢ
ἐκ τῶν ὑποκειμένων πραγμάτων, ὅταν αὐτὰ τὰ πε-
πραγμένα ἐναντία φαίνηται τοῖς εἰρημένοις ὑπὸ τοῦ (698)
κατηγόρου· ἢ ἐξ εἰκότων, εἰ εἰκὸς μὴ εἶναι ἀληθές, μήτε
γὰρ βουληθῆναι διὰ τόδε μήτε δεδύνησθαι πρᾶξαι διὰ
τόδε ἤ τι ἕτερον ἢ ἐξ ἀτέχνου πίστεως, οἷον μαρτυρίας, ἢ
ἄλλου τινὸς τῶν τοιούτων, καὶ ὅλως ἐν ταῖς ἀνατροπαῖς 509
τῶν λύσεων ἢ ζήτησις στοχαστικὴ ἢ ὁριστική, οἷον, ἀδι- 26
κεῖς δημοσίᾳ, οὐκ ἀδικῶ· τί γάρ ἐστι δημοσίᾳ ἀδικεῖν;
τὸ ναῦς προδοῦναι καὶ τὰ τοιαῦτα.

Εἰσὶ δὲ τῶν ἀνατροπῶν αἱ μὲν ἁπλαῖ, αἷς ἥδε ἡ μέθο-
δος εἰσπίπτει, αἱ δὲ ἐκ περιουσίας, ὡς ἐπ' ἐκείνου· εὐ-

7 εργέτης ὁ Χαρίδημος, οὐκ εὐεργέτης· τοῦτο ἁπλοῦν· εἶτα μεθ' ὑπερβολῆς, οὐ μόνον οὐκ εὐεργέτης, ἀλλὰ καὶ τάδε ἠδίκηκε. γίνεται γὰρ μέθοδος ἢ κατὰ περιτροπήν, ὅταν ἐξ αὐτῆς ἣν ἂν εἴπῃ ὁ ἀντίδικος ἀντιθέσεως περιτρέπῃς αὐτόν, ὡς ἐν τῷ παραπρεσβείας ὀργιεῖται, φησί, Φίλιππος, εἰ καταψηφιεῖσθε τῶν πεποιημένων τὴν εἰρήνην· πρὸς τοῦτο ἀπήντησε τῷ κατὰ περιτροπήν. „ἐγὼ δὲ εἰ τοῦτό ἐστιν ἀληθές, οὐκ ἔχω σκοπούμενος εὑρεῖν ὅ τι μεῖζον κατηγορήσω, εἰ γὰρ ὁ τῆς εἰρήνης χρήματα ἀναλώσας.“ ἢ κατὰ σύγκρουσιν, ὃ καὶ αὐτὸ δόξαι ἂν περιτροπῆς εἶναι, ὅταν μὴ λύσιν τιθῶμεν, ἀλλ' αὐτὰς τὰς ἀντιθέσεις συγκρούωμεν ὡς ἐναντίας ἀλλήλαις, ὡς ἐν τῷ κατὰ Ἀνδροτίωνος· οὔ φημι δίκαιον εἶναι περὶ ἀμφοῖν λέγειν, ὡς οὐ παρὰ τὸν νόμον ἐστὶ τὸ ψήφισμα, καὶ ὡς οὐ διὰ τὴν βουλὴν οὐκ εἰσὶν αἱ τριήρεις· εἰ μὲν γὰρ διδόναι καὶ μὴ ποιησαμένῃ τὰς ναῦς ἔξεστι, τί τοῦτο δεῖ λέγειν, δι' ὅντινα δήποτε οὐ πεποίηνται. ἢ κατὰ μείωσιν γίνεται λύσις, ἐπὰν ἀνελεῖν μὲν μὴ δυνώμεθα πάντῃ τὸ ὑπὸ τοῦ κατηγόρου λεγόμενον, ἀλλὰ συγχωρήσαντες ἐλαττώσωμεν αὐτό, ὡς ἐν τῷ πρὸς Λε-
510 πτίνην „ἀλλὰ χορηγούς,“ φησίν, „διὰ τοῦ νόμου ἕξομεν·“ τοῦτο ἐμείωσεν εἰπών, ὀλίγους εἶναι καὶ πέντε ἢ ἕξ. δεῖ δὲ πιθανῶς ποιεῖσθαι τὰς μειώσεις. ἢ τοὐναντίον κατὰ αὔξησιν, ὅταν ὁ μὲν ἀντίδικος ἐλαττώσῃ τὸ πρᾶγμα, σὺ δὲ κατ' αὔξησιν ἀπαντήσῃς κατὰ πηλικότητα ἢ ποσότητα ἢ ἄλλο τι τῶν αὐξητικῶν ἢ κατὰ ἀντιπαράστασιν, ὅταν μὴ δυνάμενοι ἀνελεῖν τὸ παρὰ τοῦ ἀντιδίκου πάντῃ ἀντιπαραστήσωμεν αὐτῷ ἕτερον, ἢ καλὸν ἢ κακόν, ὡς ἐν τῷ πρὸς Λεπτίνην· χορηγοὺς πολλοὺς ἡμῖν δίδωσιν ὁ νόμος. τοῦτο ἔλυσε πρῶτον μὲν κατὰ μείωσιν, ὡς ἐδείχθη ἐπάνω, εἶτα κατ' ἀντιπαράστασιν ἀτόπου· χορηγοὺς δίδωσιν, ἀλλ' εἰς αἰσχύνην ἄγει, ἀλλ' εὐεργετῶν

φαιρεῖται. κατὰ δ' ἀντιπαράστασιν ἀγαθῶν, ὡς ἐν 7
ἐκείνῳ· ἀδικεῖς τὰς ναῦς ἐμπρήσας· ἀλλὰ νίκην πεποίηκα, ἀλλὰ φυγῆς ἀπήλλαξα. ἡ δὲ ἀντιπαράστασις τὰ πολλὰ ἀπὸ τῶν ἐκβάσεων εὑρίσκεται, οἷον εὐπορίαν ποιεῖ τὸ μισθοῦ μυεῖν. ἀλλὰ τοῦτο ἐκβήσεται, ἀδοξία, ὀργὴ παρὰ θεῶν. ἠδίκησας διελὼν τὸ τεῖχος, ἀλλὰ νίκη ἀπέβη.

Γίνεται δὲ ἀντιπαράστασις ἢ ἀφ' ἑνὸς τῶν τελικῶν κεφαλαίων, ἢ κατ' ἀντιπαράστασιν τρόπου, ἢ κατ' ἐνδόξου κρίσιν, ἢ δήμου ἢ νόμου ἢ παραδείγματος ἢ προγονικῆς δόξης ἢ δίκης, καὶ καθόλου κατ' ἀντιπαράστασιν προσώπου ἢ πράγματος. καὶ ἀπὸ μὲν τῶν τελικῶν κεφαλαίων οὕτως· ἐφόνευσας, ἀλλὰ σὺν τῷ δικαίῳ· ἄξιος γὰρ ἦν. παράνομα γράφεις, ἀλλὰ λυσιτελοῦντα, καὶ ἑξῆς ἐνδόξου κρίσις· τούτου δὲ καὶ οἱ νόμοι στοχάζονται· 511
καί φησι κερδαλέα γράφεις, ἀλλ' αἰσχρά, ἀλλὰ λυπηρά, ἀλλ' ἀλγεινά, ἀσύμφορα, καὶ νόμῳ νόμος καὶ μάρτυς ἀντιπαρίσταται μάρτυρι, καὶ ψήφισμα ψηφίσματι. κατ' ἀντιπαράστασιν δὲ τρόπου οὕτως γίνεται ἀντιπαράστασις· δεῖ μισθοῦ μυεῖν, ἵνα εὐπορῶμεν· τούτῳ ἀντιπαρέστησα ἕτερον τρόπον βελτίω· ἑτέρως χρήματα δεῖ πορίζειν, οἷον εἰσφορὰν ἐπιγράφειν, ὡς καὶ ἐν τῷ πρὸς Λεπτίνην, ναί φησιν ἐπιλείπουσιν οἱ χορηγήσοντες διὰ τὰς ἀτελείας, [ἢ] βελτίων ἕτερος τρόπος ἐπανορθώσεως· καὶ πόσῳ βέλτιον, φησίν, εἰς συντέλειαν ἀγαγεῖν τὰς χορηγίας, ὥσπερ τὰς τριηραρχίας, ἢ πάντας περὶ ἡμᾶς πλείστους διαθεῖναι. γίνεται δὲ ἀντιπαράστασις καὶ ἐνδόξου κρίσεως, ὅταν τῷ λεγομένῳ ὑπὸ τοῦ κατηγόρου ἢ (699)
προγόνου πρᾶξιν ἢ δήμου ἢ πόλεως ἄλλης ἢ νομοθέτου ἢ προσώπου [ἢ] ἐνδόξου κρίσιν, ἢ ὅλως παράδειγμά τι ἀντιθῶμεν· ὡς ἐν τῷ περὶ στεφάνου, ἄνισον, φησίν, πεποίηκας τὴν συμμαχίαν, ὦ Δημόσθενες. τούτῳ ἀντέθηκε προγόνων κρίσιν καὶ παραδείγματα, „καὶ ἐπὶ τῶν

7 προγόνων ἐν Σαλαμῖνι διπλασίας μὲν ἡ πόλις τριήρεις παρέσχε τῶν ἄλλων.“ δεῖ δὲ ἐν ταῖς ἀντιπαραστάσεσι σκοπεῖν ὅπως τῶν ὑπὸ τοῦ ἀντιδίκου εἰρημένων τὰ ὑφ' ἡμῶν λεγόμενα εὐλογώτερα φαίνηται.

Γίνεται δὲ λύσις καὶ [ἐν] διανοίας ἐξετάσει, ὅταν ἢ νομοθέτου διάνοιαν ἐξετάζωμεν, οἷον νόμος σοι ἐναν-
512 τιοῦται, οὐ ταύτῃ τῇ διανοίᾳ γέγραπται ὁ νόμος ἀλλ' ἑτέρᾳ· δεῖ σκοπεῖν ὅπως ἂν εὔλογος φανῇ ἡ ὑφ' ἡμῶν λεγομένη διάνοια· οἷον, ὁ ξένος κεκώλυται ἀναβαίνειν ἐπὶ τὸ τεῖχος. εἰ ὁ νόμος κωλύει, ἐπὶ κακῷ τῆς πόλεως ἀναβαίνειν κωλύει, οὐ τὸν ἀριστεύειν μέλλοντα. γίνεται δὲ καὶ ψηφίσματος καὶ παντὸς ῥητοῦ λύσις ἐπὶ τὸ πολὺ ἐκ διανοίας ἐξετάσεως. καὶ μαρτυριῶν λύσις, ἢ κατ' ἀντιπαράστασιν, ὡς ἐδείχθη, μαρτυριῶν ἄλλων [ἢ εἰκότων], ἢ ἐκ διανοίας ἐξετάσεως· καταμαρτυρεῖ σοῦ ὁ δεῖνα, [τὴν διάνοιαν] πρὸς χάριν ἢ δι' ἔχθραν. πολλάκις δὲ καὶ ἑαυτῶν διάνοιαν παρεχόμεθα ἐν λύσει ἐξετάζοντες, ὃ καὶ χρωματικὸν καλοῦσί τινες, οἷον τυραννίδος ἐπιθυμεῖς, ἢ διὰ τί δακρύεις; δακρύω ἐλεῶν τοὺς ἐν τυραννίδι, καὶ τὰ ἐκ τυραννίδος κακὰ ἐνθυμούμενος. ὥσπερ δὲ ἔφην ῥητὸν ἐκ διανοίας λύεσθαι, οὕτω καὶ διάνοιαν ἐκ ῥητοῦ, οἷον τῇδε τῇ διανοίᾳ ὁ νόμος γέγραπται, [ἢ] οὐδαμοῦ τοῦτο τῷ ῥητῷ πρόσκειται.

Γίνεται δὲ λύσις καὶ ἀπὸ τοῦ ἐναντίου καθ' ὑπέρθεσιν. ὅταν οὗ ἐγκαλούμεθα, τὸ ἐναντίον δείξωμεν ὡς ἀλυσιτελὲς ἢ ὡς οὐκ ἐνδεχόμενον, ὡς ἐν τῷ περὶ στεφάνου· ἄνισον πεποίηκας τὴν συμμαχίαν, ὦ Δημόσθενες. τοῦτο ἐλύθη πρῶτον ἐκ παραδείγματος, ὅτι καὶ ἐπὶ τῶν προγόνων ἐπράχθη, εἶτα καὶ ἐκ τοῦ ἐναντίου καθ' ὑπόθεσιν. εἰ δ' ἐμοῦ περὶ τούτων ἀκριβολογουμένου ἀπῆλθον αἱ πόλεις καὶ προσέθεντο Φιλίππῳ, τί ποιεῖν ἂν ἢ τί λέγειν οἴεσθε τοὺς ἀσεβεῖς τούτους ἀνθρώπους;

καὶ πάλιν προϊὼν που λέγει πρὸς τὴν ἀντίθεσιν, ἀλλ' 7
ἄτολμος εἶ καὶ μαλακός, διότι πταῖσμα γέγονε διὰ τὴν
ἔξοδον τὴν μετὰ Θηβαίων ἀπὸ τοῦ ἐναντίου λαβών, „εἰ 513
δὲ νῦν μετὰ Θηβαίων ἡμῖν ἀγωνιζομένοις οὕτως εἵμαρτο πρᾶξαι, τί ἂν ἐγένετο, εἰ μηδὲ τούτους ἔσχομεν συμμάχους, καὶ εἰ νῦν τριῶν ἡμερῶν ὁδὸν ἀπὸ τῆς Ἀττικῆς τῆς μάχης γενομένης τοσοῦτος περιέστη φόβος, τί ἂν εἴ που τῆς Ἀττικῆς ταὐτὸ τοῦτο πάθος ἐγένετο προσδοκῆσαι ἐχρῆν;“ καὶ πάλιν ἐν τῷ κατὰ Μειδίου, ὕβρις τὸ πρᾶγμα, ὦ Δημόσθενες, οὐκ ἀσέβεια. ἡ λύσις ἐκ τοῦ ἐναντίου καθ' ὑπόθεσιν, ἐγὼ δὲ οἶδα ὅτι εἰ μὴ προὐβαλλόμην αὐτόν, οὑναντίος ἂν εὐθέως ἧκέ μοι λόγος, ὡς εἴπερ ἦν τι τούτων ἀληθές, προβάλλεσθαί μ' ἔδει.

Γίνεται δὲ λύσις καὶ ἐκ διαφορᾶς· οἷον ἐν τῷ πρὸς Λεπτίνην, Λακεδαιμόνιοι, φησί, καὶ Θηβαῖοι οὐδένα τιμῶσι. τούτου ἐκ διαφορᾶς ἡ λύσις, ὅτι ἀνομοίου πράγματος ἐμνήσθης· Λακεδαιμόνιοι γὰρ καὶ ἡμεῖς καὶ Θηβαῖοι οὔτε νόμοις οὔτε ἔθεσιν οὔτε πολιτείᾳ τῇ αὐτῇ χρώμεθα. καὶ πλέον ἕξει τὸ εἶδος ἐν ταῖς λύσεσι ταῖς πρὸς παράδειγμα.

Γίνεται δὲ καὶ ἐκ τοῦ ὁμοίου ἡ συλλογιστικῶς λύσις, ὡς ἐπ' ἐκείνου, ὁ νόμος κελεύει τὸν ἐξ ἑταίρας μὴ λέγειν, ἢ ἴσον τούτου κωλύειν τὸν νόμον τὸν ἐκ πόρνου γεγονότα· ὁμοίως γὰρ καὶ οὗτος ἐπονείδιστος ἐκ γένους καὶ ἐν ἀσελγείᾳ τέθραπται, καὶ ἑξῆς κατὰ αὔξησιν ὅτι μεῖζόν ἐστι.

Καὶ ἡ εἰς ἄτοπον ἀπαγωγὴ ἰδέα λύσεων οὐκ ἀγεννής, ὅταν λέγωμεν ὅτι κατὰ τοῦτον τὸν λόγον πολλῶν καὶ ἄλλων ἀποστατέον, καὶ εἰς ἀπέραντον προβήσεται, ὡς ἐν τῷ πρὸς Λεπτίνην, ἐξαπατᾶται, φησίν, ὁ δῆμος, καὶ διὰ τοῦτο οὕτως ἔθηκα τὸν νόμον, τοῦτο ἔλυσε τῇ εἰς ἄτοπον 514
ἀπαγωγῇ χρησάμενος· „τί οὖν κωλύει πάντα ἀνῃρῆσθαι (700)

7 κατὰ τοῦτον τὸν λόγον; οὐ γάρ ἐστιν ἐφ' ὅτῳ τοῦ πεπόνθατε τῶν πάντων, ἀλλὰ καὶ ψηφίσματα π πολλάκις ἐξαπατηθέντες ἐψηφίσασθε, καὶ ὅλως ἐν πολλοῖς οἷς πράττετε καὶ τοιοῦτό τι συμβαίνειν ἀνά καὶ πάλιν ἐν ἐκείνῳ τῷ ζητήματι· ἀποστατέον, φησί γάμων ἡμῖν διὰ τὰ προσόντα λυπηρά· τί οὖν κατὰ τον τὸν λόγον κωλύσει πολλῶν καὶ ἄλλων ἀποσ τῶν κατὰ τὸν βίον, καὶ πολιτείας καὶ κτήσεως καὶ ἀ μιῶν, ἐπειδὴ ἔσθ' ὅτε καὶ ἐν τούτοις λυπηρόν τι βαίνει.

Γίνονται δὲ λύσεις καὶ ἐκ τοῦ ἐλλιποῦς, ἢ παρ φικῶς ἢ κατὰ χρόνον ἢ τόπον.

Γίνεται λύσις καὶ μεταστατικῶς ἢ ἐπὶ τὰ ἐν ἡμῖν ἢ συγγνωστά, οἷον ἀδικεῖς, φησίν, ὑβρίσας· ἢ συγ στὸς διὰ μέθην ἢ διὰ μανίαν. ἐπὶ τὰ ἐκτὸς δέ, ὡς περὶ στεφάνου· „ἥττης γέγονας αἴτιος, ὦ Δημόσθ κυρία τούτου ἡ τύχη.“ ἔτι δ' ἔστιν ὅτε καὶ λύσις συνεμπίπτει, καὶ ἡ μέθοδος τῇ ἀνατροπῇ ἐκ τῶν ο ἐνίοτε ὁρμᾶσθαι δοκεῖ, οὐ χρὴ δὲ θαυμάζειν, ἐπ στάσις στάσει συνεμπίπτει.

Ἡμεῖς δὲ τοὺς τόπους τῶν λύσεων σοι παρεχό οὓς εἰδὼς ῥᾷον εὐπορήσεις λύσεων. ἔτι δὲ κἀκεῖν σε εἰδέναι, ὅτι οὐ πάσαις ταῖς λύσεσι χρῆσθαι δ ἀλλὰ ταῖς ἐμπιπτούσαις. ἔστω δὴ καὶ ἀντίθεσις ἐπ ὁμοσάντων μὴ γῆμαι καὶ κρινομένων, ὅτι πολλὰ λ τοῖς γάμοις παρακολουθεῖ, καὶ γυναικῶν ἀσέλγει παίδων πονηρία. ἐνταῦθα οὐ δυνάμεθα κατὰ ἀνα
515 ἀπαντῆσαι, ὅτι οὐδὲν λυπηρὸν συμβαίνει, ψεῦδος ἀλλὰ μεθοδεύω αὐτὸ πρῶτον κατὰ μείωσιν, οὐ π αὐτὰ κατ' ἀντιπαράστασιν ἀγαθοῦ, οὐ δεῖ τὰ προ λυπηρὰ μόνον σκοπεῖν, ἀλλὰ καὶ τὰ ἀγαθά, ἔστι δὲ παιδοποιΐα, διαδοχὴ γένους, κλήρου, πολιτείας, τ

ροκομίαν ἕξειν. εἶτα κατὰ αὔξησιν, καὶ μείζω τὰ ἀγαθὰ 7 τῶν λυπηρῶν. εἶτα ἀντιπαραστάσει τρόπου, χρὴ δὲ δι' ἑτέρου τρόπου τὰ ἄτοπα φυλάττεσθαι, σωφρονίζειν τὰ γύναια, τοὺς παῖδας ἀμείνους ποιεῖν τῇ ἀγωγῇ, διὰ τῶν ἐπιτηδευμάτων. εἶτα κατὰ ἐνδόξου κρίσιν, οὕτω πᾶσι τοῖς κατὰ τὴν πόλιν δοκεῖ, οὕτω καὶ τοῖς νόμοις οἳ περὶ γάμων διαλέγονται, οὕτω πᾶσιν ἀνθρώποις νενόμισται. εἶτα διανοίας ἐξέτασις, οὐ ταύτῃ τῇ διανοίᾳ ὤμοσαν, ἀλλ' ἀσελγείας καὶ μοιχειῶν ὑπόθεσίς ἐστιν αὐτοῖς ὁ ὅρκος. εἶτ' ἀπὸ τοῦ ἐναντίου, εἰ τὸ γαμεῖν ἔχει τινὰ λυπηρά, πόσῳ τὸ μὴ γαμεῖν λυπηρότερον, τὸ εἶναι ἄοικον, ἀνέστιον, ἄπαιδα, οὐχ αὐτῷ οὐ πόλει χρήσιμον. εἶτα ἡ εἰς ἄτοπον ἀπαγωγή, ὅτι καὶ ἄλλα πολλὰ τῶν κατὰ τὸν βίον ἐπιτηδευμάτων κατὰ τοῦτον τὸν λόγον ἀναιρήσουσιν, οἷς τι τῶν λυπηρῶν πρόσεστιν. εἶτα μεταστατικῶς, τὸ μὲν δυστυχῆσαι περὶ γάμον τύχης ἐστὶν ἔγκλημα, τὸ δ' ἄγαμον εἶναι γνώμης πονηρία. εἶτα ἐξ ἀποβάσεως τί συμβήσεται, εἰ τούσδε καὶ ἄλλοι μιμήσονται. ἔφαμεν δὲ τὸ τῆς ἀντιπαραστάσεως καὶ τὴν ἀπόβασιν εἶναι.

Χρὴ δὲ τὰς μὲν ἀσθενεστέρας λύσεις προτέρας τιθέναι, τὰς δὲ ἰσχυροτέρας δευτέρας· εἰ γὰρ αἱ ἰσχυρότεραι πρότεραι τεθεῖεν, οὐκέτι χώραν ἕξουσιν αἱ ἀσθενέστεραι. εἰσάγονται δ' αἱ μὲν ἀσθενέστεραι, ὡς ἐπὶ τὸ πλεῖστον κατὰ παράλειψιν, αἱ δὲ ἰσχυρότεραι ὡς ἐπὶ τὸ πλεῖστον προηγουμένως ἐπισημαινομένων ἡμῶν τὰς δυνά- 516
μεις αὐτῶν. ἐνίοτε μέντοι καὶ αἱ ἰσχυρότεραι κατὰ παράλειψιν τίθενται, ὡς ἐν τῷ πρὸς Λεπτίνην· „ἐγὼ δ' ὅτι μὲν τινῶν κατηγοροῦντα πάντας ἀφαιρεῖσθαι τῶν ἀτόπων ἐστὶ παραλείψω.“ ἐνίοτε καὶ συνεισάγονται ταῖς ἐντιθέσεσιν αἱ λύσεις, ὡς ἐν τῷ παραπρεσβείας· „οὕτω τοίνυν πολλὰ καὶ δεινὰ καὶ πάντα καθ' ὑμῶν πεπρεσβευκὼς περιιὼν λέγει, τί δ' ἂν εἴποις περὶ Δημοσθένους, ὃς

7 τῶν συμπρέσβεων κατηγορεῖ· „ἔξεστι γάρ σοι ἀνατρέψαι τὴν εἰσαγωγὴν καὶ ποιῆσαι λύσιν, κατηγορεῖς τῶν συμπρέσβεων· ναί, πολλὰ γὰρ καὶ δεινὰ πεπρεσβεύκασι. πολλάκις τῇ εἰσαγωγῇ τῆς ἀντιθέσεως συνεισάγεται ἡ λύσις, καὶ ἔμφασις ὅλως λύσεως γίνεται δι' ἑνὸς ῥήματος, ὡς ἐν τῷ περὶ τοῦ στεφάνου, „εἰ δὲ λέγεις τὰ πρὸς (701) Θηβαίους δίκαια, Αἰσχίνη, ἢ περὶ τῶν ἴσων νυνὶ διαλέγῃ." τὸ γὰρ νυνὶ καὶ ἀντὶ λύσεως ὅλης ἤρκει. ἐχρῆν γὰρ καὶ τότε. διττὴ δ' ἡ χρῆσις παρὰ τῷ Δημοσθένει· ἢ γὰρ προτάττει τὸ ἐξ ἀνατροπῆς καὶ ἐπάγει τὸ ἐκ μεθόδου συγχωρήσας, εἶτα περιτρέψας ὡς ἐν τῷ κατὰ Ἀνδροτίωνος· „ἐγὼ δὲ οἶμαι μὲν οὐχὶ λέγειν αὐτὸν ἀληθῆ, μᾶλλον δ' οἶδα σαφῶς." ἄχρι τούτου ὡς ἔχων ἀνατρέψαι ἀπέφηνεν. εἶθ' ἑξῆς συγχωρήσας περιέτρεψεν. „οὐ μὴν ἀλλὰ εἰ τοῦτο τοιοῦτόν ἐστι τὰ μάλιστα, ὁ νόμος δὲ λέγει τἀναντία." εἶτα περιτρέψας ὡς ἐν ἐκείνῳ· „ἐγὼ δὲ εἰ τοῦτο τοιοῦτόν ἐστιν, οὐκ ἔχω ὅ τι μεῖζον κατηγορήσω." εἶτα ἑξῆς κατὰ ἀνατροπήν· „οὐ μὴν ἀλλ' ὅτι καὶ φιλίας ἀρχὴ συμφερούσης ἡμῖν οὕτω μᾶλλον."

Τῶν δὲ λύσεων ἁπασῶν τῶν προειρημένων αἱ μέν 517 εἰσιν ἐξ ἰδιότητος, αἱ δὲ ἐκ κοινότητος. ἐκ κοινότητος μέν, ὡς παρὰ Θουκυδίδῃ ἐκεῖνο· „ἣν δὲ λέγωσιν ὡς οὐ δίκαιον τοὺς σφετέρους ἀποίκους ὑμᾶς δέχεσθαι, μαθέτωσαν ὡς πᾶσα ἀποικία εὖ μὲν πάσχουσα τιμᾷ τὴν μητρόπολιν, ἀδικουμένη δ' ἀλλοτριοῦται." ἐκ κοινότητος ἡ λύσις· ἡ δ' ἑξῆς ἐξ ἰδιότητος· „ὡς δ' ἠδίκουν σαφές ἐστι."

ΠΕΡΙ ΠΑΡΑΔΕΙΓΜΑΤΟΣ.

8 Παραβολὴ παραδείγματος τούτῳ διαφέρει, ὅτι ἡ μὲν παραβολὴ ἀπ' ἀψύχων ἢ ζῴων ἀλόγων λαμβάνεται· ἀπὸ μὲν ἀλόγων, ὡς παρ' Ὁμήρῳ,

ὡς δ' ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ. 8
κὸ δὲ ἀψύχων ὡς παρὰ Δημοσθένει· „ὥσπερ γὰρ οἰ-
ίας οἶμαι καὶ πλοίου." τὰ δὲ παραδείγματα ἐκ γεγονό-
ων ἤδη λαμβάνεται προσώπων, ὡς παρὰ Δημοσθένει·
λέγεται κατὰ τὴν παλαιὰν ἐκείνην εὐδαιμονίαν Ἀλκι-
ιάδης γενέσθαι." πᾶν παράδειγμα ἔχει μὲν τὴν ὕλην ἐκ
ῶν γεγονότων, λαμβάνεται δὲ ἢ ἐξ οἰκείων ἢ ἐξ ἀλλο-
ρίων. τὰ μὲν ἐξ οἰκείων ἀγωνιστικώτερα καὶ προσεχέ-
τερα, καὶ τοῦτο χρὴ ἐπισημαίνεσθαι, ὡς παρὰ Δημο-
θένει· „οὐ γὰρ ἀλλοτρίοις ἀλλ' οἰκείοις ἡμῖν χρωμέ- 518
οις παραδείγμασιν εὐδαίμοσιν ἔξεστι γενέσθαι." τὰ δὲ 11
κ' ἀλλοτρίων προσώπων λαμβανόμενα ἔστι μὲν οὐχ
μοίως προσεχῆ, δεῖ δὲ αὐτὰ ὅμως μὴ ἀπηρτῆσθαι. χρή-
μοι δ' ἐπ' αὐτῶν καὶ αἱ προπαραιτήσεις, ὡς ἐπ' ἐκείνου
Δημοσθένης· „βούλομαι δ' ὑμῖν ἐν Λοκροῖς ὡς νομο-
ετοῦσι, διηγήσασθαι· οὐδὲν γὰρ χείρους ἔσεσθε παρά-
ειγμά τι ἀκηκοότες, ἄλλως τε καὶ ᾧ πόλις εὐνομουμένη
ρῆται." εἰ μὲν οὖν ἀπ' ἀλλοτρίου προσώπου ἀδόξου δὲ
ίνοιτο, χρὴ κατ' ἐπιτίμησιν αὐτὸ εἰσάγειν· οἷον „αἰ-
χύνομαι μὰ τοὺς θεοὺς εἰ Μεγαρεῖς τόδε ἔπραξαν, ὑμεῖς
ὲ ὄντες Ἀθηναῖοι μὴ πράξετε." εἰ δὲ ἀπ' ἐνδόξου, οὔ-
ω· „καλὸν δ' ὑμῖν ζηλῶσαι τοὺς ἄνδρας καὶ τὰ ἐκείνων,
τι δὲ ταῦτα." χρὴ δὲ τὰ παραδείγματα γνώριμα εἶναι
αὶ σαφῆ, καὶ μὴ πάνυ ἀρχαῖα μηδὲ μυθώδη, συνᾴδοντα
ὲ τοῖς ὑποκειμένοις καὶ μὴ ἀπομηκύνεσθαι ἄγαν, εἰ μὴ
κὸ μεγάλων εἴη τὸ παράδειγμα, ὁποῖον τὸ περὶ Ἀλκι-
ιάδου ἐν τῷ κατὰ Μειδίου.

Χρεία δὲ ἐν προοιμίοις μὲν οὐ πάνυ τι παραδείγματος,
ν δὲ τῷ ἄλλῳ λόγῳ, καὶ ἤτοι προτάττομεν τοὺς λο-
σμοὺς τῶν παραδειγμάτων ἢ ἐπάγομεν· ἔστι δὲ ἰσχυ-
ότατον ἐν λόγῳ τὸ παράδειγμα· λαμβάνεται δ' ἀπὸ τεσ-
άρων, ἀπὸ ὁμοίου, ἀπ' ἐναντίου, ἀπὸ μείζονος, ἀπ'

8 ἐλάττονος. ἀπὸ ὁμοίου μέν, οἷον δίκην εἰσπράξαι
519 αὐτοῦ. καὶ γὰρ ὁ δεῖνα πρότερον τὰ ἴσα ἀδικήσι
ἔδωκεν. ἀπὸ ἐναντίου δὲ οὕτω· συμφέρει σῶσαι
καὶ γὰρ τοῖσδε μὴ βοηθήσαντες ἐβλάβητε. ἀπὸ ἰ
νος· οὐκ ἄξιος οὗτος τυχεῖν τῆς τιμῆς ταύτης·
γὰρ καὶ μείζονα εὐεργετήσας οὐκ ἔτυχεν τηλικα
μῆς. ἔξιτε ἐπὶ τὸν πόλεμον, καὶ γὰρ οἱ πρόγον
μείζους κινδύνους ὑπέστησαν. ἀπὸ δὲ ἐλάττονο
κτείνατε τοῦτον, καὶ γὰρ οἱ πρόγονοι ὑμῶν ἐλά
κηκότα τὸν δεῖνα ἀπέκτειναν. ἀπὸ ἐλαττόνων
πων, οἷον οἱ δεῖνες ἀσθενέστεροι ὄντες ὑμι
ἔπραξαν.

(702) Τίθεται δὲ τῶν παραδειγμάτων τὰ μὲν ἀπὸ
νων, ὡς ἐν τῷ κατὰ Μειδίου· „λέγεται τοίνυν ·
παλαιὰν εὐδαιμονίαν Ἀλκιβιάδης γενέσθαι.“ ὁ
δ' οἷον εἰ λέγοις, οὐκ ἐφ' ἡμῶν μόνον, ἀλλὰ καὶ
τὸς τοῦ χρόνου ἔθος ἔστιν ὑμῖν τοῖς κινδυνεύου
θεῖν καὶ κοινὴν παρέχειν τὴν πόλιν.

Δεῖ δὲ ἐν τοῖς παραδείγμασι γοργῶν σχημά
γὰρ ἑαυτῶν φύσει ἐστὶν ὕπτια, ἅτε δὴ ἀφηγηματι
καὶ οὐ κατὰ διακοπὴν εἰσαγόμενα, ὡς ἐν ἐκείνῳ·
ται κατὰ τὴν παλαιὰν εὐδαιμονίαν Ἀλκιβιάδης γ
ᾧ σκέψασθε τίνων ὑπαρχόντων·“ οὐ γάρ ἐστι ι
ἢ πλαγιασμὸς ἐπάγεται, ὃς ποιεῖ εὐτονίαν, ά
πρὸς Λεπτίνην· „λέγονται οἱ τριάκοντα χρήμ
νείσασθαι παρὰ Λακεδαιμονίων ἐπὶ τοὺς ἐν Π
εἶθ' ὁ πλαγιασμὸς εὐθέως ἕπεται, „λόγων δὲ
520 νων·“ ἢ ἄλλο τι τῶν γοργῶν σχημάτων τίθεται
πλαγιασμὸν ἢ κατὰ συστροφὴν καὶ τόνον λαμβ
παρὰ Δημοσθένει· „εἰ γὰρ ὅθ' ἥκομεν Εὐβοεῦσ
θηκότες.“ πολλάκις δὲ προσπλέκεται παραδείγμ
ραδείγμασιν, ἃ μὴ διαιρεθέντα ἀπ' ἀλλήλων ἰ

πόιεῖ, ἢ καὶ ὑποβάλλεται τὰ παραδείγματα. ἐνίοτε δὲ 8 ὶ ἀτελῆ ταῦτα ἐῶμεν ἄχρι τοῦ χρησίμου μνησθέντες, ; ἐν τῷ πρὸς Λεπτίνην ἐν τῷ περὶ τοῦ τειχισμοῦ τοῦ μιστοκλέους· „λέγεται τοίνυν ἐκεῖνος τειχίζειν εἰπών, ν ἀφίκηταί τις ἐκ Λακεδαίμονος κατέχειν κελεύσας, ;εσθαι πρεσβεύων ὡς τοὺς Λακεδαιμονίους. λόγων δὲ νομένων ἐκεῖ καί τινων ἀπαγγελλόντων, ὡς Ἀθηναῖοι ιχίζουσιν τὴν πόλιν, ἀρνεῖσθαι.“ εἶτα οὐκ ἐπεξῆλθε ὶ τέλους τῷ παραδείγματι, ἀλλ' ἄχρι τοῦ χρησίμου τὰ τὸ προκείμενον εἰπὼν τὰ ἑξῆς εἴασεν ἐπενεγκών· αὶ πάντες ἴσως ἐπίστασθε ὃν τρόπον ἐξαπατῆσαι λέται.“

ΠΕΡΙ ΛΥΣΕΩΝ ΠΑΡΑΔΕΙΓΜΑΤΩΝ.

Περιείληπται μὲν καὶ ταῦτα ἐν τῷ περὶ λύσεων, ἴδω- 9 ν δὲ κἀνταῦθα ἀκριβέστερον. πᾶν παράδειγμα λύεται :τ' ἀνατροπήν, ὡς ἐπ' ἐκείνου ἐν τῷ κατ' Ἀνδροτίω- ς· „φήσει τοίνυν τοῦτον ἁπάσας τὸν τρόπον εἰληφέ- ι τὰς βουλάς, ὅσαι πώποτε ἔχουσι παρ' ὑμῶν δωρεάν·“ α κατ' ἀνατροπὴν ἡ λύσις. „ἐγὼ δ' οἶμαι μὲν οὐχὶ λέ- ιν αὐτὸν ἀληθῆ, μᾶλλον δ' οἶδα σαφῶς.“ γίνεται δὲ 521 ιραδείγματος λύσις καὶ ἐκ διαφορᾶς, ὅ ἐστι τῆς μεθό- υ, ὡς ἐν τῷ κατὰ Μειδίου, ἐπλήγη, φησίν, ὁ πρόεδρος τὸ Πολυζήλου, ὅτι μὴ ὅμοιον τό τε Μειδίου εἰς ἐμὲ καὶ Πολυζήλου εἰς πρόεδρον. πρῶτον ὁ τὸν πρόεδρον ιτάξας τρεῖς εἶχε προφάσεις, μέθην, ἔρωτα, ἄγνοιαν. ρίσκεται δ' ἡ διαφορὰ ἢ κατὰ γνώμην, ὡς ἐνθάδε· ὁ ν Πολύζηλος, φησί, διὰ μέθην τοῦτο ἔδρασε, Μειδίας δι' ἔχθραν· ἢ κατὰ καιρόν· ὁ μὲν γάρ, φησίν, ἐν ίπνῳ, ἐγὼ δὲ ἐν ἱερομηνίᾳ ἐτυπτόμην· ἢ κατὰ τόπον, ; ἐνταῦθα, ὁ μέν γε ἐν οἰκίᾳ, φησίν, ἐτυπτήθη, ἐγὼ

9 δ' ἐν ἱερῷ. ἢ κατὰ ποιότητα προσώπου, ὡς ἐν τῷ πρὸς Λεπτίνην, Θηβαῖοι γάρ φησιν οὐδένα τιμῶσι, τοῦτο ἔλυσεν ἐκ διαφορᾶς τῆς πρὸς ἕτερον· Θηβαῖοι γάρ φησιν ἀπηνεῖς, ἡμεῖς δὲ φιλάνθρωποι καὶ δίκαιοι· ἢ ἐκ διαφορᾶς τῆς περὶ πολιτείαν ἢ δύναμιν ἢ ἄλλο τι τῶν τοιούτων.

Γίνεται δὲ λύσις παραδείγματος καὶ ἐκ τοῦ παρεπομένου, οἷον εἰ λέγειν δυνάμεθα, ὅτι οὐδ' ἐκείνοις ταῦτα πράξασι συνήνεγκεν, ἀλλὰ τόδε αὐτοῖς συνέβη. γίνεται δὲ λύσις παραδείγματος καὶ κατὰ ἀντιπαράστασιν ἐνδόξου προσώπου, ὅταν ἢ παράδειγμα ἀντιθῶμεν, ἢ νόμον, ὡς ἐν ἐκείνῳ ἐν τῷ κατ' Ἀνδροτίωνος „καὶ ἄλλαι γάρ," φησί, „βουλαὶ τοῦτον εἰλήφασι τὸν τρόπον δωρεάν." ἡ λύσις κατ' ἀντίθεσιν ἐνδόξου· „ἐγὼ δ' εἰ καὶ τοῦτο τοιοῦτόν ἐστι μάλιστα, ὁ νόμος δὲ λέγει τὰ ἐναντία·" γίνεται δὲ ἐκ περιτροπῆς λύσις παραδείγματος, οἷον „οὐ γὰρ εἴ τι πώποτε μὴ κατὰ τοὺς νόμους ἐπράχθη, σὺ δὲ
522 τοῦτο ἐμιμήσω, διὰ τοῦτο ἀποφύγοις ἂν δικαίως, ἀλλὰ
(703) πολὺ μᾶλλον ἁλίσκοιο."

ΠΕΡΙ ΕΝΘΥΜΗΜΑΤΩΝ.

10 Εἶπον ὅτι εἰς δύο τέμνεται τὸ ἐπιχείρημα ἢ εἰς παράδειγμα ἢ εἰς ἐνθύμημα· λείπεται δὲ περὶ ἐνθυμημάτων εἰπεῖν. πᾶν ἐνθύμημα γίνεται ἢ ἀπὸ ἐλάττονος, ἢ ἀπὸ παρακειμένου, ἢ ἀπὸ ἐναντίου, ἢ ἀπὸ μείζονος, ἢ κατὰ ἐναντίωσιν κρίσεως ἐνδόξου, ἢ συλλογιστικῶς, ἢ ἐκ διλημμάτου, ὅταν δύο ἐναντία θεὶς ἐξ ἀμφοῖν ἕλῃς, ἢ ἀπὸ οὐσίας, ἢ ἀπὸ τῶν ἀποβάσεων τῶν ἐνδεχομένων, ἢ κατὰ πρόσληψιν, ἢ ἐκ τοῦ ἐκλειφθέντος, ἢ ἐξ ἀκολούθου συλλογιστικῶς, ἢ ἐκ μάχης. ὁ μὲν οὖν ἀπὸ τοῦ ἐλάττονος τόπος φύσει μὲν αὐξητικός· τοιοῦτος δ' ἐστίν, οἷον ἐπὶ τοῦ τὸ ναυτικὸν διαφθείραντος καὶ κρινομένου, φέρε, εἰ

γὰρ μίαν ναῦν διαφθεῖραι παράνομον, πολύ γε δή που 10
δεινότερον ὅλον ναυτικὸν διαφθεῖραι. λαμβάνεται δὲ
ἀπὸ τοῦ ἐλάττονος ὁ τόπος ἢ ἀπὸ προσώπου, οἷον, εἰ δὲ
δὴ τῶν δούλων τινὰ ὕβρισεν, οὐκ ἂν ἦν ἔνοχος τῷ νόμῳ,
εἰ καὶ τὸ τοὺς δούλους ὑβρίζειν δεινόν, πῶς οὐ πολὺ
μᾶλλον τοὺς ἐλευθέρους. ἢ οὕτω, φέρε, εἰ δ' ἐν ἄλλῃ
πόλει τὰ τοιαῦτα ὕβρισεν, οὐκ ἂν ἔδωκεν δίκην; εἰ δὲ
καὶ τὸ ἐν ἄλλῃ πόλει τοιαῦτα τολμᾶν αἰσχρόν, πολὺ δή
που δεινότερον ἐν τῇ ἐλευθέρᾳ ταύτῃ. εἰ δὲ περὶ ἀσε-
βείας, εἰ ἀνθρώπους ἀδικεῖν δεινόν, πῶς οὐ τοὺς θεοὺς 523
χαλεπώτερον; ἢ ἀπὸ πράγματος, φέρε, εἰ δὲ χρήμασιν 11
ἐζημίωσαν, οὐκ ἂν ἦν δεινόν; εἰ τοίνυν καὶ τὸ εἰς χρή-
ματα ζημιοῦν χαλεπόν ἐστι, πόσῳ μᾶλλον [δεινότερον]
τό γ' εἰς αὐτὸ τὸ σῶμα; ἢ ἀπὸ καιροῦ, φέρε, εἰ δ' ἐν ἄλ-
λῳ τινὶ καιρῷ ὕβρισεν, οὐκ ἂν ἦν δεινόν; εἰ δ' ἐν ἄλλῳ
δεινόν, ἐν ἱερομηνίᾳ χαλεπώτερον· ἢ ἀπὸ τόπου, φέρε,
εἰ δ' ἐν ἄλλῳ τόπῳ ὕβρισεν, οὐκ ἂν ἦν χαλεπόν; εἰ δὲ ἐν
βεβήλῳ, πολὺ δή που δεινότερον ἐν ἱερῷ. ἢ ἀπὸ τρό-
που, μεμισήκατε τοὺς ἀνδροφόνους, εἰ δ' ἁπλῶς ἀνε-
λεῖν δεινόν, πῶς οὐ μᾶλλον τῷ πυρί; ἀπὸ παρακειμένου
δὲ λαμβάνεται μάλιστα κατὰ τὸ ὁμοιογενές, οἷον ἓν γέ-
νος ἡ ἀρχή, εἶδος δ' αὐτῆς χορηγός, θεσμοθέτης, ἄρχων.
εἴη ἂν οὖν ταῦτα ὁμοιογενῆ· ὁ δὴ ἀπὸ τούτων λαμβάνων
ἀπὸ παρακειμένου λαμβάνει, οἷον ὡς παρὰ τῷ Δημοσθέ-
νει, εἰ δὲ θεσμοθέτην ὕβρισεν, οὐκ ἂν ἔδωκε δίκην; εἶτα
ἡ κατασκευή· ὁ γὰρ θεσμοθέτης οὐδενὸς ἀνθρώπων
ἐστὶν ὄνομα, ἀλλὰ τῆς πόλεως· εἰ δὲ τοὺς θεσμοθέτας
ὑβρίζειν δεινὸν καὶ δημόσιον ἀδίκημα διὰ τὸ τῆς ἀρχῆς
δίκαιον, οὐδὲν ἧττον καὶ [ὁ] τοὺς χορηγούς, οἷον κατὰ
τοῦ τὸν στρατηγὸν ἀνελόντος, τί παράκειται, ὁ στρα-
τιώτης. ἀπὸ δὴ τούτου λήψῃ τὸ ἐνθύμημα· τάχα γὰρ ἂν
ἔλθοι εἰς τὸν ἀπὸ τοῦ ἐλάττονος τόπον ἢ ἀπὸ τοῦ μείζο-

νος· ἠδίκησέ τις δημοσίᾳ τὴν πόλιν, εἶτα ἰδιώτην. λαμ-
βάνω δὴ ἀπὸ τούτου ἐνθύμημα ἀποδεικτικόν· εἰ μὲν
524 γὰρ περὶ τοὺς ἄλλους ἦν μέτριος, τάχ' ἄν τις διηπίστησε,
περὶ δὲ τὴν πόλιν πονηρὸς γενόμενος ταχὺ ἂν ἐπέσχεν ὁ
μηδὲ τοῦ μείζονος φεισάμενος. ἢ οὕτως, εἰ γὰρ καὶ ἃ
κοινῇ πάντες προσεκρούσαμεν ἀλλήλοις ἀφεῖται ἀμνη-
μόνευτα, ταχὺ ἂν ἑνὶ ἀνδρὶ μνησικακεῖν προσήκοι ὧν
ἰδίᾳ φησὶ πεπονθέναι. ἢ συλλογιστικῶς, ὡς παρὰ Δη-
μοσθένει· „τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννο-
μον εἶναι τὸ χάριν τούτων ἀποδοῦναι παρανόμων γρά-
φῃ.“ καὶ πάλιν· „ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα
πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν
μήπω βάλλῃ μηδὲ τοξεύῃ.“ καὶ ἀπὸ τοῦ διλημμάτου, ὡς
ἐν τῷ κατὰ Ἀριστογείτονος· „ἡδέως δ' ἂν ἐροίμην αὐ-
τὸν πότερον ἔννομον καὶ δικαίαν ἐποιήσατο τοῦ ψη-
φίσματος τὴν γραφήν, ἢ τοὐναντίον ἄδικον καὶ παράνο-
μον· εἰ μὲν γὰρ ἄδικον καὶ ἀσύμφορον, δικαίως ἂν διὰ
ταῦτα ἀποθάνοι· εἰ δὲ δικαίαν καὶ τοῖς πολλοῖς ὠφέλι-
μον, πῶς νῦν τἀναντία τούτων ἀξιοῖ ψηφίζεσθαι τού-
τους.“ ὁρᾷς πῶς ἐξ ἀμφοῖν ἔλαβεν. ἢ ἀπὸ τοῦ ἐναντίου,
(704) οἷον, εἰ τοῦ Καλλιξένου τις κατηγοροίης ἐξομνυμένων
τῶν στρατηγῶν· ὥσπερ οὖν εἴ τι τοιοῦτον ἔγραψε ψή-
φισμα, δι' οὗ ἀφθονίαν στρατηγῶν παρείχετο, τιμῶν
ἂν καὶ δωρεῶν ἐτύγχανεν, οὕτως ἡνίκα εἰς ἀπορίαν ἀν-
δρῶν ἥκομεν δι' αὐτόν, τῆς ἐσχάτης ὀργῆς ἄξιος. ἢ ἐκ
τοῦ ἀκολούθου συλλογιστικῶς, ὡς παρὰ Δημοσθένει·
525 „ὥσπερ γὰρ εἴ τις ἐκείνων προεάλω, σὺ τάδε οὐκ ἂν
ἔγραψας, οὕτως ἐὰν σὺ νῦν δίκην δῷς, ἄλλος οὐ γρά-
ψει.“ ἢ ἐξ ἀποβάσεως καθ' ὑπόθεσιν τοῦ ἐνδεχομένου,
ὡς ἐν τῷ πρὸς Βοιωτόν· „εἰ δὲ καὶ κριτὴς καλοῖτο Μαν-
τίθεος Μαντίου Θορίκιος.“ ἐνδεχόμενον γὰρ ἦν τοιοῦ-
τόν τι συμβῆναι. ἢ ἐκ τοῦ ἐκλειφθέντος· εἰ μὲν γὰρ

ἐθάρρει τοῖς δικαίοις, ἀντειπεῖν ἐχρῆν· ὅτι δὲ οὐκ ἀντεῖπεν, αὐτὸς ἑαυτοῦ τὸ μὴ θαρρεῖν καταμαρτυρεῖ. ἢ κατὰ πρόσληψιν. οἷον εἰ περὶ εὐεργετῶν λέγοις, οἷον, εἰ δὲ πρὶν πρᾶξαι καθυπέσχετο πράξειν, εἰ δοίητε τὰς δωρεάς, οὐκ ἂν ὑπέσχεσθε δώσειν; ἃ τοίνυν πρὶν παθεῖν ἐδώκατε ἂν ἢ δώσειν ὑπέσχεσθε, ταῦτα παθόντες οὐ δώσετε; ἢ ἐκ τῆς οὐσίας, οἷον ἐπὶ ταῖς γαμηθείσαις, εἰ γάρ ἐστιν ἴδιον τῶν γάμων ἡ συνοίκησις ἢ τὰ συμβόλαια, ὅτε ταῦτα πέπρακται, οὐκ εἶναι γάμον καὶ τοῦτο φήσομεν; ἢ ἀπὸ τοῦ παρελθόντος χρόνου, τὸ μὴ γενόμενον· οἷον ἂν ἦν εἰ ἐγένετο, ὡς ἐν τῷ πρὸς Λεπτίνην· „ὑμεῖς τιμῶντες ποτὲ Ἰφικράτην καὶ ἄλλους τινὰς εὖ πεποιήκατε·“ εἶτα ἐπάγει ἐνθυμηματικῶς, „εἰ τοίνυν ὥσπερ δι' Ἰφικράτην καὶ Πολύστρατον καὶ ἄλλους τινὰς εὖ πεποιήκατε, δι' αὐτὸν οὕτως εἰ καὶ Χαβρίας ἠξίωσεν ὑμᾶς τινὰς τούτων εὖ ποιῆσαι, οὓς νῦν αἰτιώμενοι πάντας ἀφαιρεῖσθαι κελεύουσιν, οὐκ ἂν ἐδώκατε; ἐγὼ μὲν οἶμαι.“ εἶτα πάλιν ἡ ἐπαγωγὴ ἐνθυμηματικῶς. ἴδιον δὲ ἐνθυμήματος δριμύτητος δόξαν ἀποτελεῖν, καὶ ἔστιν ἀγωνιστικόν τε ἅμα καὶ ἐλεγκτικόν. ἤδη δέ ποτε καὶ παράδειγμα ἐνθυμηματικῶς εἰσάγεται, οἷόν ἐστιν· „εἰ 526
γὰρ ὅθ' ἥκομεν [ἐβοηθήσαμεν] Εὐβοεῦσιν·“ ἢ ἐκ μάχης· „καὶ τὸν μὲν γράψαντα τοὺς νόμους Σόλωνα χαλκοῦν ἐν ἀγορᾷ στῆσαι, αὐτῶν δὲ τῶν νόμων ὑπερορῶντες φαίνεσθε, δι' οὓς κἀκεῖνον ὑπερβαλλόντως συμβέβηκε τιμᾶσθαι.“ καὶ πάλιν· „πῶς δ' οὐκ ἂν εἴη τὸ συμβὰν ἄλογον, εἰ νομοθετοῦντες μὲν ὀργίζεσθε τοῖς πονηροῖς, ἐπ' αὐτοφώρῳ δέ τινας λαβόντες ἀφήσετε· μαχόμενον γὰρ τὸ τιμᾶν τὸν νομοθέτην τῷ ἀτιμάζειν τοὺς νόμους, καὶ τὸ μισεῖν τοὺς πονηροὺς τῷ πάλιν ἀθῴους ἐᾶν. μάχη δ' ἐστίν, ὅταν τις τὰ ἐναντία ἑαυτῷ ποιήσῃ. ἢ κατὰ ἐναντίωσιν κρίσεως ἐνδόξου, καὶ τὸν μὲν νομοθέτην ἕνα ὄντα

10 *πᾶσιν ὑπὲρ ὑμῶν ἀπεχθάνεσθαι, ὑμᾶς δὲ συλλεγέντας μηδ' ὑπὲρ ὑμῶν αὐτῶν ἐνδείξασθαι τοὺς πονηροὺς μισοῦντας. ἢ ἐκ κρίσεως ἐνδόξου· διὸ καὶ τὰς τιμωρίας ὁ Σόλων τοῖς μὲν ἰδιώταις βραδείας ἐποίησε, τοῖς δὲ ἄρχουσι καὶ δημαγωγοῖς ταχείας. βουλόμενος γὰρ ἀποδεῖξαι ὅτι δεῖ τοὺς ἐν ταῖς ἀρχαῖς ταχέως τιμωρεῖσθαι, ἐπεχείρησεν ἀπὸ κρίσεως ἐνδόξου. ἢ ἀπὸ διαφορᾶς, „τοὺς μὲν οὖν ἄλλους ὁρῶ τὴν ἀειλογίαν προτεινομένους, τουτονὶ δὲ Αἰσχίνην πολὺ τοὐναντίον τούτων·“ τοῦτο προοίμιον μέν ἐστιν, ἔλθοι δ' ἂν καὶ εἰς ἐπιχείρημα ὁ τόπος. ἢ παραβολικῶς, εἶδος δ' ἐπιχειρήματος καὶ ἡ παραβολή· „ὥσπερ τῶν ἐν ταῖς ναυσὶν ἁμαρτημάτων, ἃ σύμβαίνει περὶ τοὺς πλοῦς, ὅταν μὲν τῶν ναυτῶν ἁμάρτῃ τις, βραχεῖαν τὴν βλάβην ἐποίησεν, ἐπειδὰν δὲ ὁ κυβερνήτης σφαλῇ, κοινὴν τὴν ἀτυχίαν καὶ μεγάλην τοῖς συμπλέουσιν ἤνεγκεν.*

527

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΣΚΕΥΗΣ.

11 *Περὶ μὲν τῶν στάσεων καὶ τῶν ἑκάστῃ ἐμπιπτόντων κεφαλαίων ἱκανῶς τοῖς πρὸ ἡμῶν λέλεκται, νυνὶ δὲ ἴδωμεν αὐτὰ [τὰ κεφάλαια] τὰ κυριώτατα τῶν κεφαλαίων, ἐκ ποίων τόπων σύγκειται καὶ κατὰ ποίας κατασκευὰς συνίσταται. καὶ πρῶτόν γε περὶ τῶν τελικῶν εἴπωμεν. ἔστι δὲ ταῦτα, νόμιμον, δίκαιον, συμφέρον, ἔνδοξον, δυνατόν, εἰ βούλει σαφὲς πρὸς τούτοις. καὶ πρῶτόν γε περὶ τοῦ νομίμου.*

(705) ### Περὶ νομίμου.

Τὸ νόμιμον κεφάλαιόν ἐστι τῶν ἄγαν ἰσχυρῶν. λαμβάνει δὲ τὰς συστάσεις ἀπὸ χρόνου, ἀπὸ ποιότητος τοῦ γράψαντος, ἀπὸ διανοίας τοῦ γράψαντος, ἀπὸ κοινῆς

ιίσεως, ἀπὸ αὐτοῦ τοῦ πράγματος, ὃ διαγορεύει ὡς ὀρ- 11
ῶς ἔχει. ἀπὸ μὲν τοῦ χρόνου, ὡς εἰ λέγοις, οὐ καὶ χθὲς
ιὶ πρώην ὁ νόμος γέγραπται, ἀλλ' ἀμύθητος μὲν ἐξ οὗ
ιόνος γέγραπται, ἐν δὲ τούτῳ τοσούτῳ ὄντι ἀκίνητος
ἔνει, ὡς καὶ παρὰ Δημοσθένει· „οὗτος καὶ παλαιός
ιθ' ὁ νόμος καὶ καλῶς ἔχων." ἀπὸ δὲ προσώπου, „τίς
γράψας; οὐ τῶν ἀπερριμμένων, ἀλλὰ τῶν παρ' ὑμῖν
ὀδοκιμούντων." „καὶ τὸν μὲν γράψαντα τοὺς νόμους
όλωνα ἐν ἀγορᾷ στήσετε." ἀπὸ διανοίας δὲ τοῦ γρά- 528
αντος, ὡς ἐν τῷ κατὰ Ἀνδροτίωνος. συνιστὰς γὰρ τὸν
όμον ὡς καλῶς ἔχοντα τὸν κελεύοντα ἀστεφάνωτον εἶ-
ιι δεῖν τὴν βουλὴν εἰ μὴ ποιήσαιτο τὰς τριήρεις, τὴν
ἰτίαν ἐξήτασε δι' ἣν γέγραπται ὁ νόμος, „ἄξιον τοίνυν
ἰεῖν τί δή ποτε ἐὰν τἆλλα ἡ βουλὴ δοκῇ καλῶς βουλεῦ-
αι, καὶ μηδεὶς ἔχῃ μηδὲν ἐγκαλέσαι, τὰς δὲ τριήρεις μὴ
οιήσηται, οὐκ ἔξεστι λαβεῖν τὴν δωρεάν. εὑρήσετε γὰρ
οῦτο ἰσχυρὸν ὑπὲρ τοῦ δήμου κείμενον." καὶ πάλιν
ερὶ τοῦ τῆς ἑταιρήσεως νόμου λέγων, „ἄξιον τοίνυν
αὶ τὸν θέντα τὸν νόμον ἐξετάσαι Σόλωνα, ὅσην πρό-
οιαν ἐποιήσατο τῆς πολιτείας ἐν ἅπασιν οἷς ἐτίθει νό-
οις." καὶ πάλιν προϊὼν που λέγει· „ᾔδει γάρ, ᾔδει τοῖς
ἰσχρῶς βεβιωκόσιν." ἢ ἐξ αὐτοῦ τοῦ πράγματος, ὃ δια-
ορεύει ὁ νόμος, ὅτι περὶ μεγάλων ἢ τῶν πρὸς θεοὺς ἢ
ῶν πρὸς ἀνθρώπους, καὶ ὅτι ἄνευ τούτων οἰκεῖν οὐκ
νι, ὡς παρὰ Δημοσθένει· „ὀρθῶς καὶ καλῶς ἔχων ὁ
νόμος ὡς τὸ πρᾶγμα αὐτὸ μαρτυρεῖ, ὅπου γὰρ ἐπόντος
τοῦ φόβου τούτου φαίνονταί τινες οὐδὲν ἧττον ὑβρι-
σταί." ἢ ἐκ κοινῆς κρίσεως, ὡς ἐν τῷ κατὰ Μειδίου·
„τὸν τοίνυν οὐ παρὰ τοῖς Ἕλλησι μόνον εὐδοκιμοῦντα
νόμον, ἀλλὰ καὶ παρὰ τοῖς βαρβάροις."

Διαβάλλεται δὲ νόμος ἀπὸ τῶν ἐναντίων, ὅτι καινός,
ὅτι οὐκ ἀξιόπιστος ὁ γράψας ἢ τὸ πρᾶγμα ὃ διαγορεύει

11 οὐκ ἀνεκτόν, ἢ ὅτι ταῖς δόξαις πάντων μάχεται, ὅτι ἡ διάνοια τοῦ γράψαντος μοχθηρά, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους. εἰ δὲ τὸν νόμον μὴ διαβάλλοις, φαίης δὲ οὐ δυνατὸν εἶναι αὐτῷ ἐν τῷ παρόντι χρῆσθαι, ἢ ἐκ δια-
529 νοίας αὐτὸν ἐξετάσεις, ὅτι οὐκ ἐπὶ τούτοις γέγραπται, ἢ κατ' ἀντιπαράστασιν κεφαλαίων. εἰ δὲ καὶ ξενικῷ νόμῳ χρῷο, προσυστήσας τὸ πρόσωπον εἰσάξεις, ὡς Δημοσθένης ἐν τῷ Λοκρικῷ νόμῳ.

Περὶ ἔθους. τὸ δὲ ἔθος καὶ ἀντὶ τοῦ νομίμου παραλαμβάνεται· ἔχει δὲ ὕλην καὶ τὰς κατασκευὰς ἐκ τῶν γεγονότων καὶ παραδεδομένων· λαμβάνεται δὲ διχῶς ἢ ἐξ ἰδιότητος τοῦ ὑποκειμένου προσώπου ἢ ἐκ κοινότητος, ὡς ἐπ' ἐκείνου· βουλεύονται Ἀθηναῖοι, εἰ δεῖ θάψαι τοὺς δέκα στρατηγούς· ἀπὸ κοινότητος μέν, ὅτι κοινὴ πᾶσιν ἀνθρώποις καθέστηκε θάπτειν τοὺς οἰχομένους συνήθεια· ἐξ ἰδιότητος δὲ τοῦ ὑποκειμένου προσώπου, ὅτι Ἀθηναίοις καὶ τοὺς ἀλλοτρίους νεκροὺς θάπτειν ἔθος, οἷα τὰ περὶ Ἀργείους ἔπραξαν, πολύ γε δήπου πρότερον τοὺς οἰκείους προσήκει. οὐκοῦν καὶ ἀπὸ τῶν ἐναντίων αἱ ἀνατροπαί, ἢ ὅτι ἄλλοις ἢ ὅτι ἡμῖν οὐκ ἔθος, τὰ δόγματα καὶ ἀντὶ νόμων ἰσχύει. καὶ σχεδὸν ἀπὸ τῶν αὐτῶν ἐννοιῶν κατασκευάζεται, ὅτι ὀρθῶς ἔχει ἀπὸ τῶν βουλευσαμένων, εἰ ἔνδοξον εἴη πρόσωπον τὸ ὑποκείμενον, καὶ οὐχ οἷον πρὸς ἀπάτην τι δοκεῖν βουλεύεσθαι, εἰ δὲ καὶ αὐτὸ τὸ δόγμα συντρέχον καὶ τοῖς νόμοις τοῖς προγονικοῖς φαίνοιτο· ἀπὸ τοῦ ἐλλείποντος, εἰ οὐδ' ἀντείποι τις τῶν νῦν ἀντιλεγόντων· ἀπὸ ἐνδόξου κρίσεως, ὅτι καὶ οἱ νόμοι φυλάττειν κύριά φησι κελεύουσι τὰ τοῦ δήμου δόγματα. ἐκ διαφορᾶς· ταύτῃ διενήνοχεν ἡ δημοκρατία τυραννίδος, ὅτι ἡ μὲν ἄκυρον ποιεῖ τὸν δῆμον, ἡ δὲ κύριον. ἐκ τοῦ ἐλάττονος· εἰ καὶ τὰς ἰδίας ὁμολογίας φυλάττειν ἔννομον, πολὺ δήπου τὰς τοῦ δήμου.

Περὶ δικαίου. 11

Τὸ δίκαιον διχόθεν συνίσταται ἀπὸ προσώπου ἢ ἀπὸ 530 (706)
πράγματος· ἀπὸ μὲν προσώπου· δίκαιον βοηθεῖν, ἀστυγείτονες γάρ, εἰ οὕτω τύχοι, ἢ ὁμογενεῖς ἢ φίλοι ἢ εὐεργέται· ἢ πάλιν ἀπὸ τῶν ἐναντίων, εἰ τιμωρεῖσθαι κελεύοις, ὅτι ἐχθροί, ὅτι προϋπῆρξαν, ὅτι ἀλλόφυλοι. ἀπὸ δὲ πράγματος, ὅτι ἴσον, ὅτι πρὸς τὴν ἀξίαν, ὅτι καὶ πᾶσι τοῖς τὰ δίκαια φρονήσασιν οὕτως ἔδοξεν.

Περὶ συμφέροντος.

Τὸ συμφέρον κατασκευάζεται ἀπὸ τῶν ἐκβάσεων οἷα ἐκβήσεται πεισθεῖσι. τέλειαι δὲ ἀποδείξεις συμφέροντος, ὅταν ἐπ' ἄμφω ἀποδείξῃς, τί μὲν ἔσται πεισθεῖσι, τί δὲ εἰ μὴ ὑπακούσαιεν, ὡς παρὰ Δημοσθένει ἐν Ὀλυνθιακοῖς. ἀλλὰ ἡλίκα γ' ἐστὶ τὰ διάφορα ὑμᾶς ἐκεῖ πολεμεῖν ἢ παρ' ὑμῖν ἐκεῖνον, οὐδὲ λόγου προσδεῖν ἡγοῦμαι· ἔτι τελεία ἐστὶν ἐξέτασις συμφέροντος, ὅταν δείξωμεν, ὅτι καὶ ἡμεῖς ὠφεληθησόμεθα καὶ τοὺς ἐχθροὺς βλάψομεν. ἔτι καὶ ἀπὸ τοῦ χρόνου, ὅτι οὐκ εἰς τὸ παρὸν μόνον, ἀλλὰ καὶ εἰς τὸν πάντα χρόνον ἐκ τούτων ἄμεινον οἰκήσομεν. ἐκ παραδείγματος, ὅτι καὶ πρότερον πράξασι ταῦτα συνήνεγκε. καὶ ἀπὸ τοῦ ἐναντίου, ὅτι ἐλλειφθέντα ἔβλαψεν.

Περὶ δυνατοῦ. 531

Τὸ δυνατὸν ἐκ τῶν ἐκτὸς μάλιστα κατασκευάζεται, φίλων, χρημάτων, συμμάχων, τόπου, καιροῦ, θεῶν εὐνοίας. κατασκευάζεται δὲ καὶ ἐκ παραδειγμάτων, ὅτι καὶ πρότερον οὐκ ἐλάττονας πολέμους εὖ ἔθεντο. τελεία δὲ κατασκευὴ δυνατοῦ, εἰ δείξαιμεν, ὅτι καὶ ἡμεῖς ἰσχυροὶ καὶ οἱ πολέμιοι ἀσθενεῖς, ὡς ἐν Φιλιππικοῖς πολλαχοῦ.

11 *Περὶ ἐνδόξου.*

Τὸ ἔνδοξον κατασκευάζεται ἀπὸ τοῦ ταῖς τῶν πολλῶν διανοίαις συντρέχειν.

Αἱ δὲ ἄτεχνοι πίστεις ἔγγραφα, βάσανοι, περὶ ὧν ἐν τῷ νομίμῳ λέλεκται, μαρτυρίαι καὶ μάρτυς, ὅτι ἀληθής, συνίσταται ἐκ ποιότητος προσώπου, τίς ὁ μάρτυς, ὅτι καλὸς καὶ ἀγαθός· ἐκ τῶν προγεγονότων, εἰ καὶ ἤδη τινὰ μαρτυρίαν ἀληθῆ μεμαρτυρηκὼς φαίνεται· ἐκ διανοίας, ὅτι οὐ πρὸς ἔχθραν οὐδὲ πρὸς χάριν οὐδὲ πρὸς λῆμμά τι· ἐκ τοῦ πράγματος, ὅτι καὶ αὐτὸ τὸ λεγόμενον ἐκ τῶν ἄλλων εἰκότων συνίσταται ἀληθὲς ὄν.

ΠΕΡΙ ΕΠΙΛΟΓΟΥ.

12 Ὁ ἐπίλογος τόπος τριμερής ἐστιν· ἔχει γὰρ καὶ ἀνάμνησιν τῶν εἰρημένων καὶ ἔλεον καὶ δείνωσιν, ἡ δὲ δεί-
532 νωσις κατὰ τὴν αὔξησιν θεωρεῖται. τούτων τοίνυν περὶ
16 πρώτου τοῦ τῆς ἀναμνήσεως διαλέξομαι.

Κατὰ τοῦτον δὲ θεωρεῖται ἡ καλουμένη ἀνακεφαλαίωσις τῶν διὰ πολλῶν εἰρημένων, τῆς δὲ ἰδέας τοῦ λόγου τῆς πραγματικῆς καλουμένης· εἰς δύο γὰρ εἴδη ὁ πᾶς λόγος διαιρεῖται, (λέγω δὲ νῦν λόγον τὸν δικανικόν) τό τε πραγματικὸν καὶ τὸ παθητικόν· ὑποτάσσεται δὲ τῷ πραγματικῷ μὲν ἥ τε διήγησις καὶ ἡ ἀπόδειξις· τῷ δὲ παθητικῷ τὸ προοίμιον καὶ ὁ ἐπίλογος. πῶς οὖν εἰπόντες τοῦ λόγου τῆς ἰδέας τῆς παθητικῆς τὸν ἐπίλογον τὴν ἀνάμνησιν τόπον οὖσαν αὐτοῦ μέρος πραγματικῆς εἶναί φαμεν; ὅτι κατὰ τοῦτον τὸν τόπον ἀνακεφαλαίωσιν ποιούμεθα τῶν ἀποδείξεων· ἐπεὶ οὖν τῶν πραγμάτων ἀνάμνησιν κεφαλαιώδη ποιούμεθα, διὰ τοῦτο πραγματικὸς οὗτος ὁ τόπος, ἰδικὸς ὢν τοῦ ἐπιλόγου.

Ζητεῖται δὲ εἰ ἐπὶ τέλους τῇ ἀνακεφαλαιώσει δεῖ χρῆ-

σθαι τῶν λόγων, ἢ μίαν χώραν οὐκ ἔχει, ἀλλὰ πολλαχοῦ 12
ἡ χρῆσις αὐτῆς γίνεται. ἔνιοι μὲν οὖν ἐπὶ τέλους εἰσὶν αὐτῇ κεχρημένοι, ὡς καὶ ἐν τῇ κατηγορίᾳ τῇ Δημάδου ἐποίησεν ὁ Ὑπερείδης, καὶ ὁ Δημοσθένης ἐν τῷ κατὰ (707)
Ἀριστοκράτους καὶ Τιμοκράτους. ἔνιοι δὲ καὶ κατὰ μέσον τοῦ λόγου ἐχρήσαντο τῇ ἀναμνήσει, τουτέστι τῇ ἀνακεφαλαιώσει, ὡς ἀμέλει καὶ αὐτὸς ὁ Δημοσθένης ἐν τῷ παραπρεσβείας. ἕτεροι δὲ ἤδη μεταξὺ τῶν προειρημένων καὶ τῶν ἀναγκαίων πίστεων ἀνέμνησαν τῶν προηγουμένων ἀποδείξεων κεφαλαιωδῶς μέλλοντες περὶ τῶν ἀναγκαίων διαλέγεσθαι. ἔστι δὲ καὶ ἕτερος τόπος τῆς ἀναμνήσεως γιγνόμενος ἐπὶ ἑνὶ ἀποδειχθέντι κεφαλαίῳ, οἷον ὡς μὲν οὖν παράνομόν ἐστι τὸ ψήφισμα μεμαθήκατε ἐκ τοῦδε καὶ τοῦδε τοῦ νόμου. ἢ οὕτως· ὡς μὲν οὖν ἠδί- 533
κηκε τὴν πόλιν οὐκ ἐν καιρῷ πλεύσας ἐπὶ τὴν Ὄλυνθον, τοῦθ' ὑμῖν γέγονε γνώριμον ἐκ τῆς δαπάνης τῆς γεγενημένης, ἐκ τῶν ἐλπίδων ὧν ἐσφάλητε, ἐκ τοῦ γεγενῆσθαι τὸν Φίλιππον καθ' ἡμῶν μέγαν. τρεῖς οὖν ἔχει τόπους ἡ ἀνάμνησις, τουτέστιν ἡ ἀνακεφαλαίωσις, τὸν ἐπὶ τέλει τοῦ λόγου, τὸν μεταξὺ γινόμενον τῶν τε ἀναγκαίων καὶ τῶν προηγουμένων ἀποδείξεων, καὶ τὸν γινόμενον ἐπὶ ἑνὶ κεφαλαίῳ ἀποδεδειγμένῳ. ταύτῃ δὲ διαφέρουσιν ἀλλήλων αἱ ἀναμνήσεις, ὅτι ἡ μὲν ἐπὶ τέλει θέσιν ἔχει κεφαλαιώδη τῶν ζητημάτων ἁπάντων καὶ ἀνάμνησιν τῶν προηγουμένων ἀποδείξεων κεφαλαιωδῶς καὶ τῶν ἀναγκαίων, ἡ δὲ μεταξὺ γιγνομένη ἀνάμνησιν περιέχει τῶν ἀναγκαίων πίστεων, ἡ δὲ ἐπὶ κεφαλαίῳ ἑνὶ ἀποδειχθέντι γινομένη οὐκ ἔτι κεφαλαίων ἀνάμνησις, ἀλλὰ τῶν λημμάτων δι' ὧν ἀπεδείχθη τὸ προκείμενον κεφάλαιον.

Πῶς οὖν ἀναμνήσομεν, ὑποδείξομεν ἤδη τοὺς τόπους τῆς ἀναμνήσεως κεφαλαιωδῶς λέγοντες, ἐπέδειξα μὲν

12 τοὺς νόμους ὑμῖν παρ᾽ οὓς ἐστι τὸ ψήφισμα εἰρημ ἐξήτασα τὰ τῷ Χαριδήμῳ πεπραγμένα ἐξ ὧν ἐφάν καιος οὐκ ὢν τῆς δωρεᾶς ταύτης τυχεῖν, καὶ ὡς οὐ οίσει τῇ πόλει, καὶ τοῦτο γέγονε γνώριμον.

543 Ἀναμνήσομεν δὲ καὶ διὰ προσωποποιΐας. τί δ᾽
6 ἡ προσωποποιΐα, ἀλλαχόθι που δεδηλώκαμεν, ἀλλ νῦν οὐδὲν ἧττον τί τέ ἐστι καὶ πῶς δι᾽ αὐτῆς ἀναμι μεν, δῆλον ποιήσω. ἔστι μὲν οὖν προσωποποιΐα π γόμενον πρόσωπον τὸ οὐκ εἰς τὸ δικαστήριον π ἀποδημῶν [πατὴρ] ἢ τεθνεώς, ἢ πατρίς, ἢ στρατηγ νομοθεσία, ἢ ἕτερον τῶν τούτοις παρεοικότων. το μὲν οὖν ἐστὶν ἡ προσωποποιΐα. διὰ ταύτης δὲ τῶν μένων ἀνάμνησις οὕτω γίνεται, οἷον ἐπὶ Μιλτιάδοι
544 νομένου μετὰ Πάρον. ἀναμνῆσαι γάρ ἐστι τοῦ Μι δου [καὶ Κίμωνος] δικαίων παρεισάγοντας τὸν κ τὸν Μηδικόν· ὑπολάβετε, ὦ Ἀθηναῖοι, τὸν καιρὸν νον αὐτὸν παρόντα νῦν ὑπὲρ Μιλτιάδου ποιεῖσθαι λόγους. καὶ ὑποθεὶς τὸ πρόσωπόν τις τοῦ καιροῦ λαιωδῶς ὑπομνήσει τοῦ φόβου τοῦ κατασχόντος αἰ τῶν τε τοῖς Ναξίοις συμβεβηκότων καὶ τῆς τῶν τριέων ἀναστάσεως, πῶς ἔπεισε τὸν πολέμαρχον τὴ φου τῆς αὐτοῦ γενέσθαι, πῶς δὲ τῶν στρατιωτῶν σατο τῆς νίκης, τῆς φυγῆς τῆς τῶν βαρβάρων. κέχ δὲ καὶ ὁ Δημοσθένης προσωποποιΐᾳ πρόσωπον ὑπ τὸν καιρὸν αὐτὸς αὐτῷ. ἐκεῖνος μὲν οὖν ἐν ἀρχ πρώτου τῶν Ὀλυνθιακῶν τὸν καιρὸν παρεισήγαγ ἐπὶ τέλει δὲ τοῦ λόγου ἥρμοσεν ἂν παρεισαχθεὶς ε ἀνάμνησιν τῶν εἰρημένων· „ὁ γὰρ παρὼν καιρὸς τας ἀφίησι τὰς φωνάς, ὅτι τῶν πραγμάτων ὑμῖν ἐκ αὐτοῖς ἀντιληπτέον ἐστίν, ὅτι ἡ τῆς πόλεως τύχη τίων τῆς Φιλίππου, ὅτι πολλὰ πρὸς τὸ νικᾶν ἐστὶ πλεονεκτήματα, ὅτι ἀσθενῆ τὰ τοῦ Φιλίππου παν

σιν, ὅτι ἀναιρεθέντων Ὀλυνθίων ἐν τῇ ὑμῶν αὐτῶν ἀμυνεῖσθε τὸν βάρβαρον.“ οὕτως ἀνέμνησεν ἂν διὰ τῆς προσωποποιΐας τὰ κεφαλαιωδῶς τῶν εἰρημένων.

Ἔτι ἀναμνήσομεν ἐξ ὑποτυπώσεως τινὸς μέλλοντος γίνεσθαι πράγματος, ὡς Πολύευκτος ἐν τῷ κατὰ Δημάδου. ἐγράφη μὲν γὰρ ψήφισμα χαλκῆς εἰκόνος τῷ Δη- (708)
μάδῃ, ὁ δὲ κατηγορεῖ τοῦ ψηφίσματος. ὅσα οὖν ἦν αὐτῷ διὰ πλειόνων εἰρημένα εἰς τὴν κατασκευὴν τοῦ ὅτι μὴ ἦν ἄξιος τῆς τιμῆς τυχεῖν ταύτης, ταῦτα κεφαλαιωδῶς 545
ἀνέμνησεν ὑποτυπῶν τὸ σχῆμα τοῦ ἀνδριάντος. „τί γάρ,“ φησί, „σχῆμα ἕξει, τὴν ἀσπίδα προβαλεῖται; ἀλλὰ ταύτην γε ἀπέβαλεν ἐν τῇ περὶ Χαιρώνειαν μάχῃ· ἀλλὰ ἀκροστόλιον νεὼς ἕξει;“ ἔπειτα πυνθάνεται, „ποίας; ἢ τῆς τοῦ πατρός; ἀλλὰ βιβλίον, ἐν ᾧ φάσεις καὶ εἰσαγγελίαι ἔσονται γεγραμμέναι. ἀλλὰ νὴ Δία στήσεται προσευχόμενος τοῖς θεοῖς, κακόνους ὢν τῇ πόλει καὶ τὰ ἐναντία πᾶσιν ὑμῖν ηὐγμένος; ἀλλὰ τοῖς ἐχθροῖς ὑπηρετῶν;“ οὕτως μὲν οὖν ἀνέμνησε κεφαλαιωδῶς, ἐξ ὧν αὐτὸν ἐδείκνυεν οὐκ ὄντα τῆς τιμῆς τυχεῖν ταύτης ἄξιον.

Ἔτι ἀναμιμνήσκειν ἐστὶν ἐκ τῆς καλουμένης ἠθοποιΐας. ἔστι δὲ ἠθοποιΐα λόγος περιτιθέμενος προσώποις ὑκοῦσιν, οἷον, τίνα νῦν ἐροῦσιν οἱ θεασόμενοί με ἀγόμενον εἰς τὸ οἴκημα; Μιλτιάδης οὗτος ὁ στρατηγήσας τῆς ἐν Μαραθῶνι μάχης, ὁ τὴν νίκην παρασκευάσας τῇ πόλει, ὁ τοὺς βαρβάρους σφήλας τῆς ἐλπίδος. κέχρηται τούτῳ τῷ τόπῳ καὶ Ὑπερείδης ὑπὲρ Λυκούργου λέγων· „τίνα φήσουσιν οἱ παριόντες αὐτοῦ τὸν τάφον; οὗτος ἐβίω μὲν σωφρόνως, ταχθεὶς δὲ ἐπὶ τῇ διοικήσει τῶν χρημάτων εὗρε πόρους, ᾠκοδόμησε δὲ τὸ θέατρον, τὸ ᾠδεῖον, τὰ νεώρια, τριήρεις ἐποιήσατο, λιμένας. τοῦτον 546
ἡ πόλις ἡμῶν ἠτίμωσε, καὶ τοὺς παῖδας ἔδησεν αὐτοῦ.“

κέχρηται καὶ Σοφοκλῆς ἐν Ἠλέκτρᾳ τὴν ἀδελφὴν αὐτῆς τὸν Αἴγισθον καὶ τὴν μητέρα ἀποκτεῖναι κελευούσῃ [καὶ] τὴν Κλυταιμνήστραν, πειρᾶται δὲ αὐτὴν ἀναπείθειν ἐξ ἠθοποιΐας· οἱ γὰρ βλέποντες ἡμᾶς, φησί, τὰ καὶ τὰ ἐροῦσι. καὶ ἐν Ἀπολογίᾳ δὲ Σωκράτους ὁ Πλάτων δι' ἠθοποιΐας ἀναμιμνήσκει. τοιοῦτος μὲν οὖν ἐστιν οὗτος ὁ λόγος.

Ἐπαναμνήσομεν δὲ καὶ διὰ τῆς συγκρίσεως τῶν ἀμφοτέροις δικαίων, οἷον, ὁ μὲν ἥκει πρὸς ὑμᾶς τῆς ἀδείας τυχεῖν βουλόμενος, ἐμπρήσας μὲν ὑμῶν τὰς τριήρεις, γεγονὼς δὲ ὑμῖν τηλικαύτης αἴτιος ζημίας, προβαλλόμενος δὲ τὴν στρατηγίαν, ἐν ᾗ ταῦτα διεπράξατο· ἐγὼ δὲ ὑπάγων αὐτὸν τοῖς νόμοις καὶ βουλόμενος ὑμῖν αὐτὸν τιμωρίαν ὑποσχεῖν ἀνθ' ὧν ἐζημίωσε τὸ κοινόν. καὶ ὁ μὲν πρὸς τῷ τὴν πόλιν αὐτὸς ἠδικηκέναι καὶ τοῖς ἄλλοις στρατηγοῖς οἴεται ἄδειαν παρασχεῖν τοῦ τὰ ὅμοια πράττειν· ἐγὼ δὲ καὶ τούτους ἡγοῦμαι τῷ τὰ ὅμοια τούτῳ παθεῖν δεδοικέναι μηδὲν ὅμοιον αὐτῷ ζημιῶσαι τὴν πόλιν. ἢ οὕτως ἀντιπαραβαλοῦμεν τὰ ἀλλήλων δίκαια· ἐγὼ μὲν ἀξιῶν ὑμῖν τοὺς νόμους εἶναι κυρίους δευρὶ πάρειμι, ὁ δὲ ἀκύρους αὐτοὺς καὶ μηδενὸς ἀξίους· κἀγὼ μὲν τιμᾶσθαι παρ' ὑμῖν τοὺς ὑμετέρους εὐεργέτας, ὁ δὲ τοὺς ἄνωθεν ὑμᾶς λελυπηκότας· κἀγὼ μὲν τοῦτο γενέσθαι ὃ πραχθὲν οὐ ζημιώσει τὴν πόλιν, ὁ δὲ ἐξ οὗ τὸ
547 *κοινὸν μέλλει βλάπτεσθαι.*

Ἔτι δὲ ἀναμνήσομεν διὰ ψηφίσματος εἰσφορᾶς, ὡς ὁ Ὑπερίδης ψηφίσματος κατηγορῶν ὑπὸ Δημάδου γραφέντος, πρόξενον Εὐθυκράτην εἶναι γράψαντος, αὐτοῦ εἰσφέρει ψήφισμα δι' οὗ ποιεῖται τὴν ἀνακεφαλαίωσιν τῶν εἰρημένων· ἃ μὲν γὰρ οὗτος, φησίν, εἰσκεκόμικεν, οὐκ ἔχει τὰς ἀληθεῖς αἰτίας τῆς προξενίας, ἐγὼ δὲ εἰ δεῖ πρόξενον ὑμῶν αὐτὸν γενέσθαι, δι' ἃ τούτων τεύξεται

εἰσφέρω. ἔπειτα τὸ ψήφισμα εἰσφέρει· δεδόχθαι ιι πρόξενον αὐτὸν εἶναι, διότι τὰ Φιλίππῳ συμ- ι καὶ πράττει καὶ λέγει, ὅτι γενόμενος ἵππαρχος ἰυνθίων ἱππέας προὔδωκε Φιλίππῳ, ὅτι τοῦτο αἴτιος τοῦ Χαλκιδέων ὑπῆρξεν ὀλέθρου, ὅτι ; Ὀλύνθου τιμητὴς ἐγένετο τῶν αἰχμαλώτων, ὅτι ιξε τῇ πόλει περὶ τοῦ ἱεροῦ τοῦ Δηλίων, ὅτι τῆς περὶ Χαιρώνειαν ἡττηθείσης οὔτε ἔθαψε τῶν τῶν τινάς, οὔτε τῶν ἁλόντων οὐδένα ἐλύσατο· των κεφαλαιωδῶς ἀναμιμνήσκει τῶν παρ' ὅλην ηγορίαν εἰρημένων κατ' αὐτοῦ.

ἀναμνήσομεν ἐπὶ τῆς καλουμένης γνωσιγραφίας, ιύτην κεφαλαιούμενοι τὰ εἰρημένα· ἔστι δὲ ἡ ραφία ἀπόφασις δικαστῶν, οἷον, τί δὲ ἀφιέντες(709) ; ἐξεῖναι καταλύειν τοὺς νόμους, πράττειν τὰ ι μὴ συμφέροντα, δημεύειν ἀλλοτρίας οὐσίας.

ιν ἀναμιμνήσκειν διὰ νόμων εἰσφορᾶς, ὡς ανα- ιειν ὑπάρχει διὰ ψηφίσματος εἰσφορᾶς, οἷον, 548 βάνετέ [με] νῦν νόμον εἰσφέρειν μηδένα ἐπιβου- τοῖς ἀλλοτρίοις παισίν, ἐξουσίαν ἔχειν τοὺς πατέ- ν υἱέων, τοὺς στρατιώτας μὴ ἐπιβουλεύειν τοῖς αις τοῖς ἑαυτῶν, μὴ ποιεῖσθαι κέρδη τὰς ἀλλο- ομφοράς, εἰ τοῦτον εἰσέφερε τὸν νόμον, οὐκ ἂν ατε; τοῦτον δὲ ἀντὶ τούτου εἰσφέρειν ἕτερον νό- ν τὰ ἐναντία τούτοις ποιεῖν κελεύοντα, κυρίους ῶν ἀλλοτρίων παίδων τοὺς μηδὲν προσήκοντας τοὺς ἀδικήσαντας μηδεμίαν τιμωρίαν ἐκτίνειν, τοὺς στρατιώτας ἔχειν τοῦ ποιεῖν ἅπαντας κακῶς.

ἀναμνήσομεν δι' ὑπογραφῆς ἤτοι εἰκόνος ἢ ἀν- ς ἢ τάφου ἢ τῶν τοιούτων τινός, οἷον καὶ τὸν νώνδαν φασὶ θανάτου κρινόμενον παρὰ τοῖς Θη- τοιῆσαι. παρελθὼν γὰρ ἔφη „ἀποκτείνατέ με, ὦ

Θηβαῖοι. ἐκεῖνο δέ μοι παρ' ὑμῶν ὑπαρξάτω ἐν τῇ σι
ὅτι παραλαβὼν τὴν πόλιν δουλεύουσαν τὴν ἑαυτοῦ ἠ
θέρωσε, καὶ Λακεδαιμονίους ἐκράτησε μάχῃ, καὶ ἐ
εἰς Πελοπόννησον, τὰ καὶ τὰ διεπράξατο." δύναται
Ἐπαμεινώνδας καὶ οὕτω λέγειν· μὴ ποιήσητέ μοι
φον· παριὼν γάρ τις μνημονεύσει καὶ ἐρεῖ τὰ καὶ τά.
δὲ ὑπομιμνήσκειν οὐ μόνον διὰ τῆς ἐπιγραφῆς
γιγνομένης διὰ γραμμάτων, ἀλλὰ καὶ τῆς ἐκτύπ
ἐχούσης τῶν γεγενημένων, ὡς ἐπὶ Θεμιστοκλέους,
ἀποκτενεῖτέ με, ἔστω μνῆμα δηλοῦν ἐπὶ τῷ ἐμῷ τ
549 τούτων ἕκαστον, δι' ἃ νῦν φθονούμενος κρίνομαι,
τεμίσιόν που καὶ Σαλαμὶς γεγράφθω καὶ στόλος βα
κὸς καὶ τὸ Ἀθηναίων ναυτικὸν καὶ τῶν ἄλλων ἕκα
ἀξιώσει τούτοις ἐγγεγράφθαι.

Ἔστι δὲ ἀναμιμνήσκειν τῶν εἰρημένων καὶ καθ'
ρον τρόπον τῷ σχήματι τῆς πεύσεως χρώμενον, ἀν
τῶντα τοὺς δικαστάς, διὰ τί ἀφήσετε τὸν φεύγοντα
Αἰσχίνης πεποίηκε. πυνθάνεται γὰρ τῶν δικαστῶν·
τί ἀφήσετε τὸν Κτησιφῶντα; ὅτι νόμιμον τὸ ψήφι
ἀλλὰ δέδεικται παρὰ τοὺς νόμους γεγραμμένον· ὅτι
μοσθένης εὔνους τῇ πόλει; ἀλλὰ καὶ οὗτος δέδεικται
κόνους ὢν τῷ δήμῳ. ὅτι Κτησιφῶν αὐτὸς ἐξ ἀγνοί
ψήφισμα ἁμαρτὼν ἔγραψεν, ἀναγκάσαντος αὐτόν τι
οὐδὲ διὰ τούτων οὐδὲν αὐτοῦ ἀποψηφιεῖσθε.

Τοσαυταχῶς οὖν ἀναμιμνήσκειν ὑπάρχει, του
χρῆσθαι τῇ ἀνακεφαλαιώσει καλουμένῃ· ἀναμνήσ
γὰρ καὶ ἐπερωτῶντες τοὺς δικαστὰς τὰς αἰτίας, δι
φήσουσι τοὺς κρινομένους ἐᾶν, ἔπειτα ἐξ ἐπιγράμμ
καὶ τούτου διχῶς θεωρουμένου, ἐξ εἰσφορᾶς νόμου
ψηφίσματος, ἐκ τῆς γνωσιγραφίας, ἐκ τῆς [παραθέσ
ἀμφοτέρων τῶν δικαίων συγκρίσεως, πάλιν ἐξ ἠ
ποιΐας, ἐξ ὑποτυπώσεως, ἐκ προσωποποιΐας, ἐκ τῆς

αλαιώδους ἐκθέσεως τῶν εἰρημένων. καὶ περὶ μὲν τῆς ιακεφαλαιώσεως ταῦτα λέγειν ὑπάρχει.

Περὶ ἐλέου. 550

Ἐπειδὰν δὲ μέλλωμεν κινεῖν ἔλεον, προπαρασκευάιμεν τὸν δικαστὴν πρὸς τοῦτο ἡμῖν ἐπιτηδείως ἔχειν· ὶ γὰρ ἐξαίφνης ἐπιχειρεῖν δεῖ τούτῳ τῷ τόπῳ, ἀλλὰ ιτὰ προπαρασκευῆς τινος· ἀνύσομεν γάρ τι καὶ οὕτω ἰλλον τῶν δικαστῶν ἀναπεπεισμένων καὶ παρωξυσμέον πρὸς τὸ ἐλεεῖν τὸν κρινόμενον. πῶς οὖν προπαρα:ευάσομεν; τοῦτον τὸν τρόπον· κοινῷ τόπῳ χρησόθα τῷ περὶ ἐλέου καὶ φιλανθρωπίας, καὶ περὶ τοῦ δεῖν ρονεῖν ἀνθρώπινα καὶ ἡμέροις χαίρειν μᾶλλον ἤπερ ιοτόμοις, τὸ τοιοῦτον εἶναι λέγοντες πολὺ καὶ χρηστὸν ὶ φιλάνθρωπον καὶ τρόπου πεπαιδευμένου, καὶ τοὺς ἵτως ἔχοντας ἐπαινεῖσθαι μᾶλλον τῶν οὕτως οὐκ ἐχόνιν, καὶ ὅσον διαφέρουσιν οἱ ἄνθρωποι τῶν θηρίων, (710) σοῦτον διαφέρειν τοὺς ἐλεήμονας τῶν ἀνηλεῶν. καὶ ι φήσομεν τοὺς οὕτως ἔχοντας εἴ ποτε ἄρα δεηθεῖεν ῆς παρ᾽ ἄλλων φιλανθρωπίας, ῥᾷον αὐτῆς τυγχάνειν. ἰν δ᾽ ὄντας ἀνθρώπους προορᾶσθαι τὸ μέλλον. Ἀθήισι μὲν οὖν λέγοντες καὶ ἀπὸ κρίσεως καὶ ἀπὸ ἔργων :γενημένων τὸν κοινὸν τόπον τοῦτον κατασκευάσομεν· λέου βωμός ἐστι παρ᾽ ὑμῖν, θεὸς εἶναι δοκεῖ παρ᾽ ὑμῖν κοινὴ πάντων φιλανθρωπία, ἐπὶ τούτῳ παρὰ τοῖς ἄλιις εὐδοκιμεῖτε πᾶσι, μὴ οὖν ἀλλοιωθῆτε νῦν. καὶ παιδείγματα προοισόμεθα, τοὺς καταφυγόντας μὲν ἐπὶ ιν βωμόν, μὴ ἀτυχήσαντας δὲ ὧν ἠξίωσαν, οἷον τοὺς ρακλείδας, καὶ εἰ δή τινες ἕτεροι λέγονται τὸ ὅμοιον ἰτοῖς ποιῆσαι. εἰ δὲ παρ᾽ ἄλλοις ἐσμέν, παράδειγμα τὸ 551
ῶν Ἀθηναίων προοισόμεθα καὶ ἐπαινεσόμεθα τοὺς θηναίους, καὶ ἐὰν μὲν ὦσι φίλοι, ὡς καὶ περὶ φίλων

διαλεξόμεθα, εἰ δ' ἐχθροὶ τῶν Ἀθηναίων τινές, προθεραπεύσομεν τὸν λόγον, ὡς ὁ Αἰσχίνης· μέλλων γὰρ λέγειν πεπραγμένον τι τοῖς Λακεδαιμονίοις, προθεραπεύει τοῦτο καλὸν εἶναι λέγων μιμεῖσθαι καὶ τὰς ἀλλοτρίας καὶ τὰς οἰκείας ἀρετάς.

Οὐ μόνον δὲ τούτῳ τῷ τόπῳ πρὸς τὸν ἔλεον τοὺς δικαστὰς παρασκευάσομεν, ἀλλὰ καὶ ἀναμιμνήσκοντες τῶν τοῖς φεύγουσι δι' αὐτοὺς πεπραγμένων, λόγου χάριν, οὗτος μέντοι πένης ὢν οὐκ ὂν αὐτῷ φιλοτιμεῖσθαι πρὸς ὑμᾶς ἐκ χρημάτων γέγονεν ὑμῖν καὶ ἐκ τῶν ὄντων τὰ δυνατὰ αὐτῷ χρήσιμος, αὐτόν γε μὴν ἔταξεν ἐπὶ τὰ τῇ πόλει συμφέροντα. καὶ γάρ τοι δημηγορῶν ὠφέλει τὸ κοινὸν νόμους εἰσφέρων ψηφίσματα· ὑπὲρ δὲ τῶν δικαίων ἐπρέσβευσεν, ἐστρατήγησεν. ἔτι προπαρασκευάσομεν πρὸς τὸ ἐλεεῖσθαι τοὺς κρινομένους τὰ ὑπ' αὐτῶν φιλανθρώπως πρὸς ἄλλους πεπραγμένα διεξιόντες· ἐνὸν αὐτῷ παρὰ τοῦ δεῖνος τιμωρίαν ἀδικηθέντι λαβεῖν ἀφῆκεν· ἐν μέντοι τῷ παρασκευαστικῷ πρὸς τὸν ἔλεον τούτῳ οἰκείῳ χρησόμεθα τῷ παρόντι πράγματι.

Μετὰ μέντοι τοὺς κοινοὺς τόπους τοὺς τὴν παρασκευὴν ἔχοντας πρὸς τὸν ἔλεον ἀπὸ τοῦ παρὰ τὴν ἀξίαν καλουμένου τὸν ἔλεον κινήσομεν· παρὰ τὴν ἀξίαν δέ ἐστι τὸ ταῦτα πάσχειν τινά, ἅπερ αὐτῷ δοκεῖ εἶναι ἧττον, οἷον τὸ πένεσθαι τοὺς ἐν πλούτῳ γεγονότας, τὸ φεύγειν δημαγωγούς, τὸ ἀτιμίᾳ περιπεπτωκέναι στρατηγούς,
579 *συνελόντι δ' εἰπεῖν ἡ ἀπὸ τῶν βελτιόνων ἐπὶ τὰ χείρω μεταβολὴ κατὰ τὸν τόπον θεωρεῖται τὸν παρὰ τὴν ἀξίαν καλούμενον, οἷον ὁ Δημοσθένης ἐπιστέλλει πως τοῖς Ἀθηναίοις περὶ τῆς καθόδου τῆς ἑαυτοῦ. οἶμαι μὲν ὅτι καὶ αὐτὸς κινεῖ τὸν ἔλεον ἐκ τοῦ παρὰ τὴν ἀξίαν θεωρεῖσθαι· εἰ δὲ καὶ παραλέλειπται τοῦτο αὐτῷ, ὑπῆρχεν ἂν κινῆσαι τὸν ἔλεον αὐτῷ τόνδε τὸν τρόπον, ἀλλὰ νῦν ὁ*

πρότερον διοικῶν τὰ ὑμέτερα πράγματα καὶ λαμπρὸς καὶ περίβλεπτος ὢν καὶ ὑπὸ τῶν πάντων ζηλούμενος οὐ μόνον τούτων ἀφήρημαι, ἀλλὰ καὶ τῆς πατρίδος ἐξελήλαμαι. καὶ ἱκέτης ἄλλων γίνομαι ὁ τέως ἄλλους εὐεργετῶν.

Ἔτι κινήσομεν ἔλεον καὶ ἀπὸ τοῦ καλουμένου παρὰ 580
τὴν ἐλπίδα, οἷον, ἤλπιζον δημαγωγῶν καὶ τὰ ὑμέτερα πράττων καὶ τολμήσας διὰ τὰ ὑμῖν συμφέροντα προσκροῦσαι τοῖς πλουσίοις ἀποκεῖσθαί μοι παρ' ὑμῖν ἀντὶ τούτου τὴν χάριν, εἰ δὲ μὴ μᾶλλον εὐδοκιμήσειν τῶν πλουσίων, ἀλλ' οὖν ἀπολαύσειν αὐτοῖς τῆς τιμῆς τῆς ἴσης· νυνὶ δὲ τούτων ἁπάντων ἐσφάλην, ᾔτησέ με παρ' ὑμῶν ὁ πλούσιος δωρεάν, ὑμεῖς ἔδοτε, ψήφισμα περὶ τούτων ἐκυρώσατε. δύναται δέ τις τὸν τόπον τοῦτον κινεῖν πολλαχῶς· ἤλπισα γηροβοσκὸν παῖδα ἔσεσθαί μοι. ὁ δὲ οὐ μόνον οὐδὲν τούτων ποιεῖ, ἀλλὰ καὶ συκοφαντεῖ καὶ παρανοεῖν φησὶ καὶ δῆσαι βούλεται. καὶ στρατηγὸς (721)
κρινόμενος ἐπὶ νίκῃ γεγενημένῃ ἀπὸ τούτου τοῦ τόπου εἰς τὸν ἔλεον εὐπορήσει λημμάτων.

Ἔτι ἔλεον κινήσομεν ἀπὸ τῆς εὐδαιμονίας τῆς πρὸ τοῦ αὔξοντες αὐτήν, ὡς ἐπὶ Μιλτιάδου, οὗτος μέντοι παρ' ὑμῖν εὐδοκιμῶν πρὸ τοῦ καὶ τιμῆς καὶ στρατηγίας ἠξιωμένος οὐκ ἐπὶ τῆς αὐτῆς τούτοις χώρας μένει, ἀλλ', ὁρᾶτε γὰρ τὴν μεταβολὴν αὐτοῦ τῆς τύχης, κρίνεται μὲν ὡς ἀδικῶν τὴν πόλιν, κεκόμισται δὲ νοσῶν εἰς τὸ δικαστήριον, ἔχει δὲ τὴν ἐλπίδα τῆς ἀφέσεως οὐκ ἐν τοῖς ἑαυτοῦ λόγοις, ἀλλ' ἐν οἷς ἄλλοι μέλλουσιν ὑπὲρ αὐτοῦ λέγειν. καὶ ὡς ἐπὶ τῶν Ἀθηναίων λόγου χάριν, εἴ τινες ἠξίουν τοὺς Λακεδαιμονίους καταλῦσαι τὴν ἀρχὴν τῶν τριάκοντα. τὴν γὰρ εὐδαιμονίαν τὴν οὖσαν τῇ πόλει πρὸ τοῦ ἐπιών τις καὶ αὔξων καὶ τὰ παρόντα δεινὰ νῦν τούτοις καταριθμούμενος καὶ ἀξιῶν ἐλέου τυχεῖν αὐ-

581 τοὺς νῦν δόξει δικαίως κεκινηκέναι τὸν τόπον τοῦτον, ὅτι καὶ αὐτῶν τῶν Λακεδαιμονίων οἱ Ἀθηναῖοι μείζονες ὄντες οὐκέτι μὲν ἀμφισβητοῦσι τῶν πρωτείων τῆς Ἑλλάδος, κεῖνται δ' ἐπ' ἄλλοις κριθησόμενοι ἐν τῇ τῶν ἠδικημένων φιλανθρωπίᾳ, * καὶ ὁμηρεύοντες ὡς Ἀλέξανδρον ἀπάγονται· ἡμεῖς δέ φησιν ἡ κοινὴ τῆς Ἑλλάδος καταφυγή, πρὸς ἣν ἐβάδιζον αἱ πανταχόθεν πρεσβεῖαι, νῦν κινδυνεύομεν περὶ τοῦ ἐδάφους τῆς πατρίδος. κέχρηται τούτῳ τῷ τόπῳ καὶ ὁ Εὐριπίδης. λέγει γοῦν καὶ ἡ Ἑκάβη παρ' αὐτῷ·

ἤμην τύραννος κεἰς τύρανν' ἐγημάμην,
κἀνταῦθ' ἀριστεύοντ' ἐγεινάμην τέκνα,
οὐκ ἀριθμὸν ἄλλως, ἀλλ' ὑπερτάτους Φρυγῶν.
οὐ Τρῳὰς οὐδ' Ἑλληνὶς οὐδὲ βάρβαρος
γυνὴ τεκοῦσα κομπάσειεν ἄν ποτε.

τὴν εὐπαιδίαν καὶ τὸ γήμασθαι τυράννῳ καὶ τὸ ἐκ τυράννων γεγενῆσθαι ἀντιπαρατίθησι καὶ τὰ παρόντα δεινά. φησὶν οὖν εὐθὺς

καὶ ταῦτ' ἐπεῖδον δορὶ πεσόνθ' Ἑλληνικῷ,
καὶ τὸν φυτουργὸν Πρίαμον οὐκ ἄλλων πάρα
ἤκουον, ἀλλὰ τοῖσδ' ἐπεῖδον ὄμμασιν
αὐτὴ κατασφαγέντ' ἐφ' ἑρκείου Διός,
αὐτὴ δὲ δούλη ναῦς ἐπ' Ἀργείων ἔβην.

ἡ ἀντιπαράθεσις τοῖς ἀγαθοῖς τῶν κακῶν τὸν ἔλεον κεκίνηκεν. ἐλεεινοὶ μὲν γάρ εἰσι καὶ οἱ ὁπωσοῦν δυστυχοῦντες, ἐλεεινότεροι δὲ εἶναι δοκοῦσιν οἱ ἐκ λαμπρᾶς
582 εὐδαιμονίας συμφοραῖς μεγάλαις χρώμενοι. ἐπειδὰν δέ τινας τὸν περὶ αὐτῶν κινοῦντες ἔλεον ἀτυχοῦντας ἐπιδεῖξαι θέλωμεν, πάσχοντας αὐτοὺς κακῶς ἀποδείξομεν ἀπὸ τριῶν τόπων, καὶ κατὰ ψυχὴν καὶ κατὰ σῶμα καὶ κατὰ τὰ ἐκτὸς καλούμενα· καὶ κατὰ μὲν ψυχὴν οὕτως, λύπην [περὶ αὐτὸν] λέγοντες ἢ παράνοιαν ἤ τι τῶν τοῦ-

τοις ἐοικότων. ἔστι δὲ καὶ ὁ ἔρως τῶν τῆς ψυχῆς παθῶν· ἔλεον οὖν κινήσει τις καὶ περὶ τοῦ ἔρωτος διεξελθὼν εἰ βιασάμενός τις ἧς ἤρα, ἐπὶ ταύτῃ κινδυνεύοι. τὰ δὲ κατὰ σῶμα οὕτω θεασόμεθα, εἰ τέτρωται, εἰ πληγὰς ἢ μάστιγας ἀνεδέξατο περὶ τὸ σῶμα, εἰ δεσμοῖς κέχρηται, ἤ τινι τοιαύτῃ ταλαιπωρίᾳ. ἐπειδὰν δὲ τῶν τοιούτων ὁτιοῦν προφερόμενος ἐθέλοι τὸν ἔλεον ἐξεργάσασθαι, οὐχ ἁπλῶς δεῖ τὸ στοιχεῖον τοῦ ἐλέου λέγειν, ἀλλ' ἐπεξιέναι σαφῶς καὶ τὰ παρακολουθοῦντα αὐτοῖς, οἷον εἰ λύπη ἢ ἔρως ἢ μανία· τούτων γὰρ ἕκαστον πρᾶγμά ἐστι, καὶ κινεῖ μὲν ἔλεον καὶ ἁπλῶς λεχθέν, μᾶλλον δὲ κινήσει, ὅταν τὰ παρακολουθοῦντα τῷ ἔρωτι ἐπεκδιδάσκωμεν ἢ τῇ μανίᾳ ἢ τῇ λύπῃ ἢ ὁτῳδήποτε τῶν τῆς ψυχῆς παθῶν, οἷον, ἐν τίσι γάρ ἐστιν οὗτος, οὐκ οἶδεν, οὐ γυναῖκα γνωρίζει, οὐ παῖδας τοὺς ἑαυτοῦ, οὐ νόμους, οὐ τὸ δίκαιον ἐπίσταται. οὐ συνίησιν ἡμέρας, οὐχ ἡλίου φῶς. φεύγει τὰ τοῖς ἄλλοις ἥδιστα δοκοῦντα εἶναι, ποθεῖ δὲ ἃ φεύγουσιν ἄλλοι, ἐρημίᾳ χαίρει καὶ ἐπεμβαίνει πυρί, καὶ τὸν μετὰ θηρίων μᾶλλον ἀσπάζεται βίον. ἔλαβον τὰ παρακολουθοῦντα τῇ μανίᾳ ἁρμοζόντων ἁπάντων αὐτῶν εἰς τὸν ἔλεον. ὁμοίως καὶ ἐπὶ τοῦ λυπουμένου καὶ ἐπὶ τοῦ ἐρῶντος ἐν μέρει ἐκ τῶν παρακολουθούντων 583
καὶ ἔρωτι καὶ λύπαις λαμβάνοιντ' ἂν καὶ οἱ περὶ τούτων ἑκάστου λόγοι, ἅμα τε αὐξήσουσι τὸ στοιχεῖον τοῦ ἐλέου καὶ τοὺς δικαστὰς ἐπισπάσονται πρὸς τὸ οἰκεῖον αὐτοῦ. τὸν αὐτὸν τρόπον καὶ ὅταν τῶν ἀπὸ τοῦ σώματος παθῶν κινήσωμεν τὸν ἔλεον, πηρώσεως ἢ δεσμῶν ἢ ἀπὸ τραύ- (722)
ματος, καὶ τὰ τούτοις παρακολουθοῦντα ληψόμεθα. τίνα τοίνυν τῇ πηρώσει παρακολουθεῖ; σκότος πολὺ καὶ τὸ μηδενὶ χαίρειν τοῖς αὐτοῖς τοῖς ἄλλοις δύνασθαι, καὶ τῶν ἄλλων ἕκαστα. τὰ δὲ ἐκτὸς καλούμενα θεωρεῖται ἐν σπάνει τροφῆς ἢ χρημάτων. καὶ ἀπὸ τούτων οὖν ἔλεον

κινήσομεν λόγου χάριν. καὶ ὁ τέως σὺν πᾶσι τρυφῶν καὶ ἑτέρους εὖ ποιῶν ἐνδεής ἐστι καὶ τοῦ πιεῖν καὶ τοῦ φαγεῖν, παρ' ἄλλων ἐρανίζεται τροφάς. ὁπόταν μέντοι λαμβάνωμεν τὰ παρακολουθοῦντα τοῖς ἐκτὸς καὶ τοῖς κατὰ σῶμα καὶ τοῖς κατὰ ψυχήν, παραπεφυλαγμένως τοῦτο ποιήσομεν· οὐ γὰρ ταῦτα πάντα ἐροῦμεν κινεῖν τὸν ἔλεον πειρώμενοι τὰ λεχθέντα· ἔλεον οὖν ὁμοίως κινεῖ οἷον ζημία εἰς χρήματα καὶ ἀφαίρεσις οἰκέτου, καὶ τούτων ἕκαστον, ἀλλὰ δουλεία, αἰχμαλωσία, θάνατος παιδὸς ἢ γυναικός, τὰ δὲ ἐξέχειν δοκοῦντα τῶν κακῶν καὶ ἐφ' οἷς λεχθεῖσιν παρακολουθεῖ τὸ δακρύειν, ταῦτα προοισόμεθα καὶ τὰ παρακολουθοῦντα αὐτοῖς ἐκελευσόμεθα, τίνα παιδοτροφίᾳ παρηκολούθησεν, ἐν τίσι νῦν ἐστιν [γάμων χηρείᾳ].

Κινεῖ δὲ ἔλεον καὶ τὰ ἀπρεπῆ καὶ τὰ αἰσχρά, καὶ οἷς ἂν ὄνειδος προσῇ περί τινων λεγόμενα, ἐπειδὴ νῦν αὐτῶν κίνδυνος καὶ παθεῖν, ὡς Ὅμηρος περὶ τῆς Ἀνδρομάχης

καί κεν ἐν Ἄργει ἐοῦσα πρὸς ἄλλης ἱστὸν ὑφαίνοις.

584 καὶ τὰ ἑξῆς ἅπαντα ὑπὸ τοῦ Ἕκτορος εἰρημένα τὸν ἔλεον τὸν τῆς Ἀνδρομάχης κινεῖ. ἀλλὰ καὶ ἡ Ἀνδρομάχη τὰ παρακολουθοῦντα τῇ ὀρφανίᾳ περὶ τοῦ παιδὸς λέγουσα τοῦ ἑαυτῆς καὶ αὐτὴ τὸν ἔλεον κινεῖ,

ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος

καὶ

τῶν δ' ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχε

καὶ

χείλεα μέν τ' ἐδίηνε

καὶ

δακρυόεις δέ τ' ἄνεισι πάϊς ἐς μητέρα χήρην.

ἐν πολιτικῷ δὲ ζητήματι ἀπὸ τῶν ἀπρεπῶν οὕτως ἔλεον κινήσομεν, οἷον πλούσιος ἐχθροῦ πένητος παῖδα ἀρι-

στεὺς πρὸς ἀναίρεσιν ᾔτησεν, ἔδωκεν ἡ πόλις, εὐθὺς αὐτὸν ὁ πατὴρ ἀναιρεῖσθαι βούλεται. ἐνταῦθα ἀπὸ τῶν αἰσχρῶν καὶ τῶν ἀπρεπῶν ἔλεον ὁ πένης κινήσει, ἥξεις πρὸς τὸν πλούσιον, παιδίον, καὶ οὗτος ἔσται σου κύριος, ἐξουσίαν ἀνελεῖν ἔχων· πῶς οὖν σοι χρήσεται νέῳ ὄντι καὶ ὥραν ἔχοντι; τὰ ὑπὸ τῶν νόμων ἀπειρημένα ποιήσει μετ' ἐξουσίας, ἃ καὶ τοὺς παθόντας οἱ νόμοι κωλύουσι δημηγορεῖν, ἐπεὶ τῶν αἰσχρῶν καὶ τῶν ἀπρεπῶν ἕκαστον ἔλεον κινήσει. ἀλλὰ καὶ ὁ Ἀγαμέμνων ἔλεον ἐκίνησεν ἐπὶ τοῦ Μενελάου τετρωμένου ἔκ τινος τῶν τοῖς Ἕλλησιν αἰσχύνην φερόντων

καί κέ τις ὧδ' ἐρέει Τρώων ὑπερηνορεόντων
τύμβῳ ἐπιθρώσκων Μενελάου κυδαλίμοιο,

καὶ τὰ ἑξῆς. δύναται τοίνυν τούτοις ὁμοίως ὁ πένης ἐπὶ τοῦ παιδὸς ἔλεον κινῆσαι· οὐ γὰρ μόνον ἅ τις πείσεται 585
ὄντα αἰσχρὰ λέγειν χρή, ἀλλὰ καὶ τί περὶ αὐτῶν ἐροῦσιν ἕτεροί τινες· τίνα τοίνυν ἐρεῖ ὑμῶν αὐτῶν ἕκαστος; οὐ ταῦτα δή, τὴν ὕβριν, τὴν αἰσχύνην τοῦ σώματος, τὰ ὄνειδος ἡμῖν ἀμφοτέροις φέροντα; ἐπὶ ταῦτα οὖν αὐτὸν δώσετε;

Τὰ μέντοι δεινὰ τὰ συμβεβηκότα τισὶν ἢ συμβησόμενα οὐ δεῖ κεφαλαιωδῶς ἐκτίθεσθαι· ἡ γὰρ ἀθρόα τούτων δήλωσις ἔκπληξιν ἔχει μᾶλλον τῶν ἀκουόντων αὐτά, ἢ ἔλεον τῶν πεπονθότων. παράδειγμα τὸ Αἰσχίνου ἀθρόας δηλώσεως κακῶν τὸ περὶ τῶν Θηβαίων εἰρημένον· „Θῆβαι δὲ Θῆβαι πόλις ἀστυγείτων μεθ' ἡμέραν ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται·“ ἀλλ' οὐχ ὁ Δείναρχος, ἀλλ' ἐπὶ τὸν αὐτὸν ἐλθὼν τόπον καὶ ἄλλα μὲν εἶπε δεινὰ δι' ὧν τὸν ἔλεον ἐκίνησε, καὶ μέντοι γε καὶ τὴν ἰσχυρὰν ἐρημίαν τῶν Θηβαίων παραστῆσαι βουλόμενος εἶπε· „περιπέτονται δὲ τὸ τῶν ταλαιπώρων Θηβαίων ἄστυ χελιδόνες.“ ὡς δὲ τὸ ἀθρόως λέγειν τὰς τινῶν

συμφορὰς ὀξὺ ἄκουσμα ὂν ἀλλοτρίως ἔχει πρὸς τὸν ἔλεον, οὕτως ἐπακριβὲς [ἐπὶ] πάντα ἐπεξιέναι πειρᾶσθαι καὶ καταβάλλει τὸν ἔλεον· τὴν μέσην οὖν βαδίζειν δεῖ, ὡς Ὅμηρος,

ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας,

(723)ἀπὸ τῶν ἐνεχομένων ἁλώσει πόλεως τὸν ἔλεον ἐκίνησεν,
ὧν ἐκινδύνευσεν ἡ πόλις παθεῖν· εἰ δὲ δὴ πάντα διεξῄει
586 τὰ παρακολουθοῦντα πόλεως ἁλώσει, γελοῖος ἂν ἦν καὶ
μικροπρεπής.

Κινεῖ δὲ ἔλεον ἐν τοῖς μάλιστα καὶ ἡ ἐνάργεια ἡ τῶν ἀτυχούντων καὶ ἠθοποιΐα καὶ χαρακτηρισμὸς ὁ περὶ αὐτῶν γινόμενος, ὡς ὁ Δημοσθένης περὶ τοῦ Στράτωνος· „κάλει δὲ καὶ τὸν Στράτωνα αὐτὸν τὸν τὰ τοιαῦτα πεπονθότα. οὗτος τὰς ἐφ' ἡλικίας στρατείας ἐστρατευμένος ἕστηκε τὰ νῦν σιωπῶν, οὐδὲ ὀδύρασθαι τὰς ἑαυτοῦ συμφορὰς ἐξουσίαν ἔχων.“ ἐχαρακτήρισε γὰρ αὐτὸν σιωπῶντα παραστήσας δικαστηρίῳ, καὶ ἦθος περιέθηκεν αὐτῷ τὸ τοῦ σιωπῶντος καὶ δεδοικότος λέγειν. ἠθοποιΐαν δὲ τὴν διὰ λόγων τόνδε τὸν τρόπον ποιήσομεν, οἷον, τίνα δ' ἔλεγε σφαττόμενός τις, ἢ βιαζομένη παρθένος ἢ ὁτιοῦν τις κινδυνεύων παθεῖν; ὡς ἐπὶ ταύτης τῆς ὑποθέσεως, τοῖς φυγάσι συμφεύγειν τοὺς παῖδας, ἔφευγέ τις, συνέφευγεν αὐτῷ καὶ ἡ γυνὴ κύουσα, τὸ τεχθὲν παιδίον κατιὸν μετὰ τῆς μητρὸς ἀπέκτεινέ τις, καὶ φόνου κρίνεται. ἐνταῦθα ἔστι δι' ἠθοποιΐας ἔλεον κινῆσαι περιθέντας λόγους τινὰς τῇ μητρὶ τοῦ παιδός, οὓς εἶπε παραιτουμένη τὴν ἀναίρεσιν αὐτοῦ.

Κινεῖ δὲ ἔλεον καὶ τὸ τῆς ὁμοιοπαθείας στοιχεῖον, οἷον ὑπὲρ παιδός τις ἀγωνίζεται ἢ μητρὸς ἢ πατρός· οὗτος εἰ καὶ λέγοι τοὺς δικαστὰς ἐν τοῖς αὐτοῦ γενέσθαι πάθεσιν, ἔλεον κινήσει, οἷς αὐτὸς ἐπεπόνθει, ἐπιστήσας

'ς ὄντας κυρίους τῆς ψήφου. κεκίνηκε τοῦτον τὸν τό-ι καὶ Ὅμηρος ἐν Λύτροις· τὸ γὰρ

μνῆσαι πατρὸς σεῖο θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,

τὰ τούτοις ἑξῆς εἰς τὴν ὁμοιοπάθειαν αὐτὸν ἄγει. 587 ιδὰν μέντοι πρὸς τοὺς δικαστὰς τοιοῦτόν τι λέγωμεν, δοκεῖν τι κατ' αὐτῶν φυλαξόμεθα. χρησόμεθα οὖν τῇ ιδιορθώσει καλουμένῃ, οἷον, τὰ μὲν οὖν ἐμοὶ συμ-ηκότα μηδενὶ συμβαίη παθεῖν ὑμῶν, ἀλλ' οὐδὲ συμ-ἔεται τῶν θεῶν ὑμῖν εὐμενῶν ὄντων· ὅσοις δὲ ὑμῶν γατέρες εἰσὶ παρθένοι, νομισάτω τούτων ἕκαστος τάσθαι τὴν ἑαυτοῦ καὶ ὑπὸ τοσούτων τὴν βίαν πε-ῖχθαι, καὶ τὰ ἑξῆς εἰ λέγοι, ἔλεόν τινα κινήσει ἀπὸ τοῦ ιχείου τοῦ προειρημένου.

Ἔτι κινήσομεν ἔλεον αὐτοὶ κατηγοροῦντες ἑαυτῶν. ἰτό ἐστι μὲν εὑρεῖν καὶ παρὰ τοῖς τραγικοῖς ποιηταῖς, ἰλει παρὰ τῷ Εὐριπίδῃ ἡ τοῦ Πενθέως μήτηρ Ἀγαυὴ κλλαγεῖσα τῆς μανίας καὶ γνωρίσασα τὸν παῖδα τὸν ιτῆς διεσπασμένον κατηγορεῖ μὲν αὐτῆς, ἔλεον δὲ εῖ. ἐν δικανικῇ δὲ ὑποθέσει οὕτως· πένης μὲν ὑπὸ ιυσίου ἐξητημένος, ἀξιῶν δὲ ἤδη τεθνάναι μέλλοντος ἱ πλουσίου καὶ διατρίβοντος· οὗτος αὑτοῦ κατηγο-ν τῆς προαιρέσεως καὶ τῆς ἀντιπολιτείας ἔλεον κινή-. τί γάρ ἔδει μοι τῆς ἔχθρας τῆς πρὸς τὸν πλούσιον; ἰὲ ἐμαυτὸν παρεξῆγον; διὰ τοὺς νόμους ἐρεῖ τις ἴσως τὴν δημοκρατίαν καὶ ὑμῶν αὐτῶν ἕκαστον· τί οὖν ησέ με ταῦτα; οἱ νόμοι προδεδώκασιν, ἐγκαταλέ-πεν ἡ δημοκρατία, ὑμεῖς αὐτοί με καταψηφίσασθε. πάλιν, γήμας τις καὶ ἐκ τοῦ γάμου δίκας ἔχων καὶ ἔγματα αὐτὸς ἑαυτοῦ κατηγορεῖ, καὶ παῖδας ποιησά-ιος ἄλλος. καὶ συνελόντι εἰπεῖν πολλαχῶς ὁ τόπος 588 ;ος μεθοδεύεσθαι πέφυκε.

Κινεῖ δὲ ἔλεον καὶ λόγος πρὸς τόπον τινὰ γιγνόμε-

νος, οἷον πρὸς βῆμα, πρὸς δικαστήριον· παράδειγμα τούτου τὸ τοῦ Σοφοκλέους, πεποίηκε δὲ Οἰδίποδα πρὸς τὸν Κιθαιρῶνα διαλεγόμενον

ἰὼ Κιθαιρών, τί μ' ἐδέχου, τί μ' οὐ λαβὼν
ἔκτεινας;

καὶ πάλιν Ἡρακλέα που διαλεγόμενον πεποίηκε πρὸς τοὺς βραχίονας αὐτοῦ καὶ τὸ στέρνον· ξαινόμενος γὰρ ὑπὸ τοῦ φαρμάκου φησίν·

ὦ στέρν', ὦ φίλοι βραχίονες,
ὑμεῖς,

καὶ τὰ ἑξῆς. δύνανται δὲ καὶ οἱ προσόντες λόγοι γινόμενοι κινεῖν ἔλεον κατὰ τὸ ὑποκείμενον· εἴ τις ἠριστευκὼς πολλάκις κρίνοιτο προδοσίας διὰ τὰ ἀπὸ τῶν πολεμίων εἰλημμένα. ὡς εἰ Δημοσθένης παρὰ τοῖς Ἀθηναίοις κρίνοιτο περὶ τῶν ἐν Αἰτωλίᾳ τὰ ἐξ Ἀμβρακίας ὅπλα κομίσας, ἄγοι δὲ αἰχμάλωτα.

(724) Κινεῖ δ' ἔλεον καὶ τὸ δέον γενέσθαι οὐ γεγενημένον, γενόμενον δὲ ὅπερ οὐκ ἔδει γενέσθαι, οἷον εἰ πατὴρ ὑπὲρ παιδὸς εἰσίοι δίκην ἀνῃρημένου, τὸ δέον γενέσθαι λέγων, δεικνὺς αὐτὸ μὴ γεγενημένον, ἔλεον κινήσει, οἷον, ὃν ἔδει περιόντα μου καὶ γηροκόμον εἶναι καὶ θεραπευτήν, καὶ ὃν εἰκὸς ἀποθανόντα με περιστεῖλαι, καὶ τῶν νενομισμένων ἀξιῶσαι, οὗτος μὲν οἴχεται καὶ τέθνηκεν. ἐγὼ δὲ αὐτὸν προὐθέμην καὶ τῶν νενομισμένων ἠξίωσα τὸν νέον ὁ τηλικοῦτος, ὁ πατὴρ τὸν υἱόν.

589 Κινεῖ δ' ἔλεον καὶ λόγος τις γινόμενος πρὸς κτήματα τοῦ τεθνεῶτος, ὡς ὁ Κτησίας πεποίηκε τὴν τοῦ Κύρου μητέρα περὶ τῶν ἵππων αὐτοῦ καὶ τῶν κυνῶν καὶ τῶν ὅπλων διαλεγομένην, καὶ ἀπὸ τούτων οἶκτον κεκίνηκε. δύναται δὲ καὶ ἐν δίκῃ πατὴρ υἱοῦ τεθνεῶτος ἀπ' εἰκόνος ἔλεον αὐτοῦ κινεῖν, χλαμύδος διαβολάς. καὶ ἡ Ἠλέκτρα ἐν τῷ Ὀρέστῃ θεασαμένη τὴν ὑδρίαν ἐν ᾗ πλαστῶς

ιεκομισμένα ὀστέα αὐτοῦ, διαλέγεται μὲν πρὸς αὐτήν, κινεῖ δὲ ἔλεον· φησὶ γοῦν

ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοὶ
ψυχῆς Ὀρέστου λοιπόν.

ἔπειτα τούτοις συνάπτει τὸν παρ' ἐλπίδας τόπον καλούμενον καὶ αὐτὸν ἔλεον κινεῖν δυνάμενον· φησὶ γὰρ

κοίτης μικρὸς ἐν μικρῷ,

καὶ ἐπιτίμησιν αὐτῷ συνέπλεξεν, ὥσπερ μήποτε ὤφελε, φησίν, ἀλλὰ πρότερον τεθνήκειν· ἔπειθ' ἃ ἔδει τεθνεῶτος αὐτοῦ γεγονέναι ὡς οὐ γεγονότα διέξεισιν· οὐ γὰρ ἔθαψά σε φησὶν οὐδὲ περιέστειλα.

Κινεῖ δὲ ἔλεον καὶ ὁ πρὸς πατρίδα λόγος γινόμενος ιερὶ τοῦ τεθνεῶτος, λόγου χάριν, ἔστω τις Ἀθηναῖος νῃρημένος· ἐὰν ἀποστρέφῃ τις τὸν λόγον εἰς τὰς Ἀθή- 590 ας, ἔλεον κινήσει παρὰ τοῦ τεθνεῶτος, οἷον ἡ μὲν ὠτα- ουστεῖ καὶ καραδοκεῖ περὶ αὐτοῦ τὸ μέλλον καὶ ὅσον ὐδέπω ἥξειν οἴεται, καὶ ἕξειν δημηγόρον, στρατηγόν, δὲ πόρρω τῆς ἑαυτοῦ τέθνηκε. καὶ οἱ πρὸς τὰ παιδία ῶν τεθνεώτων γονέων λόγοι γινόμενοι κινοῦσιν ἔλεον, α τῶν μέν τις τὴν ὀρφανίαν ὀδύρηται καὶ τὰς ταύτῃ αρακολουθούσας συμφορὰς καὶ τὸ ἀναίσθητον αὐτῶν ν οἷς δυστυχοῦσιν· τῶν γονέων δὲ τό τε γῆρας καὶ τὴν ρημίαν καὶ τὰ ταύτῃ παρακολουθοῦντα· γυναικὸς πάιν δὲ χηρείαν, καὶ ὅσα ταύτῃ παρακολουθεῖν πέφυκε. αὶ ἀπ' αὐτοῦ δέ τις τοῦ τεθνεῶτος ἔλεον κινεῖν δύναται, ἐὰν μὲν ᾖ διὰ φαρμάκων ἀνῃρημένος, καὶ τὰ παρακολουθήσαντα τῇ φαρμακίᾳ διεξιὼν τὰς ὀδύνας, ταλαιπωρίας, τὸ μῆκος τῆς νόσου, τὸ σῶμα λυμανθὲν τοῦ νθρώπου ὑπὸ τῶν φαρμάκων· ἐὰν δὲ βιαίως, τὰ ἐπόνα τραύματα, τὸν τρόπον τῆς ἀναιρέσεως. τοῦτον τὸν όπον κεκίνηκεν Εὐριπίδης οἶκτον ἐπὶ τῷ Πενθεῖ κινῆσαι βουλόμενος. ἕκαστον γὰρ αὐτοῦ τῶν μελῶν ἡ μήτηρ

νος, οἷον πρὸς βῆμα, πρὸς δικαστήριον· παράδειγμα τούτου τὸ τοῦ Σοφοκλέους, πεποίηκε δὲ Οἰδίποδα πρὸς τὸν Κιθαιρῶνα διαλεγόμενον

ἰὼ Κιθαιρών, τί μ' ἐδέχου, τί μ' οὐ λαβὼν
ἔκτεινας;

καὶ πάλιν Ἡρακλέα που διαλεγόμενον πεποίηκε πρὸς τοὺς βραχίονας αὐτοῦ καὶ τὸ στέρνον· ξαινόμενος γὰρ ὑπὸ τοῦ φαρμάκου φησίν·

ὦ στέρν', ὦ φίλοι βραχίονες,
ὑμεῖς,

καὶ τὰ ἑξῆς. δύνανται δὲ καὶ οἱ προσόντες λόγοι γινόμενοι κινεῖν ἔλεον κατὰ τὸ ὑποκείμενον· εἴ τις ἠριστευκὼς πολλάκις κρίνοιτο προδοσίας διὰ τἀπὸ τῶν πολεμίων εἰλημμένα. ὡς εἰ Δημοσθένης παρὰ τοῖς Ἀθηναίοις κρίνοιτο περὶ τῶν ἐν Αἰτωλίᾳ τὰ ἐξ Ἀμβρακίας ὅπλα κομίσας, ἄγοι δὲ αἰχμάλωτα.

(724) Κινεῖ δ' ἔλεον καὶ τὸ δέον γενέσθαι οὐ γεγενημένον, γενόμενον δὲ ὅπερ οὐκ ἔδει γενέσθαι, οἷον εἰ πατὴρ ὑπὲρ παιδὸς εἰσίοι δίκην ἀνῃρημένου, τὸ δέον γενέσθαι λέγων, δεικνὺς αὐτὸ μὴ γεγενημένον, ἔλεον κινήσει, οἷον, ὃν ἔδει περιόντα μου καὶ γηροκόμον εἶναι καὶ θεραπευτήν, καὶ ὃν εἰκὸς ἀποθανόντα με περιστεῖλαι, καὶ τῶν νενομισμένων ἀξιῶσαι, οὗτος μὲν οἴχεται καὶ τέθνηκεν. ἐγὼ δὲ αὐτὸν προὐθέμην καὶ τῶν νενομισμένων ἠξίωσα τὸν νέον ὁ τηλικοῦτος, ὁ πατὴρ τὸν υἱόν.

589 Κινεῖ δ' ἔλεον καὶ λόγος τις γινόμενος πρὸς κτήματα τοῦ τεθνεῶτος, ὡς ὁ Κτησίας πεποίηκε τὴν τοῦ Κύρου μητέρα περὶ τῶν ἵππων αὐτοῦ καὶ τῶν κυνῶν καὶ τῶν ὅπλων διαλεγομένην, καὶ ἀπὸ τούτων οἶκτον κεκίνηκε. δύναται δὲ καὶ ἐν δίκῃ πατὴρ υἱοῦ τεθνεῶτος ἀπ' εἰκόνος ἔλεον αὐτοῦ κινεῖν, χλαμύδος διαβολάς. καὶ ἡ Ἠλέκτρα ἐν τῷ Ὀρέστῃ θεασαμένη τὴν ὑδρίαν ἐν ᾗ πλαστῶς

ιισμένα ὀστέα αὐτοῦ, διαλέγεται μὲν πρὸς αὐτήν, δὲ ἔλεον· φησὶ γοῦν

ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοὶ
ψυχῆς Ὀρέστου λοιπόν.

κ τούτοις συνάπτει τὸν παρ' ἐλπίδας τόπον καλού- ' καὶ αὐτὸν ἔλεον κινεῖν δυνάμενον· φησὶ γὰρ

κοίτης μικρὸς ἐν μικρῷ,

ιτίμησιν αὐτῷ συνέπλεξεν, ὥσπερ μήποτε ὤφελε, ', ἀλλὰ πρότερον τεθνήκειν· ἔπειθ' ἃ ἔδει τεθνεῶ- ›τοῦ γεγονέναι ὡς οὐ γεγονότα διέξεισιν· οὐ γὰρ ί σε φησὶν οὐδὲ περιέστειλα.

νεῖ δὲ ἔλεον καὶ ὁ πρὸς πατρίδα λόγος γινόμενος :οῦ τεθνεῶτος, λόγου χάριν, ἔστω τις Ἀθηναῖος ιμένος· ἐὰν ἀποστρέφῃ τις τὸν λόγον εἰς τὰς Ἀθή- 590 λεον κινήσει παρὰ τοῦ τεθνεῶτος, οἷον ἡ μὲν ὦτα- εῖ καὶ καραδοκεῖ περὶ αὐτοῦ τὸ μέλλον καὶ ὅσον ω ἥξειν οἴεται, καὶ ἕξειν δημηγόρον, στρατηγόν, :όρρω τῆς ἑαυτοῦ τέθνηκε. καὶ οἱ πρὸς τὰ παιδία εθνεώτων γονέων λόγοι γινόμενοι κινοῦσιν ἔλεον, ὂν μέν τις τὴν ὀρφανίαν ὀδύρηται καὶ τὰς ταύτῃ ιολουθούσας συμφορὰς καὶ τὸ ἀναίσθητον αὐτῶν δυστυχοῦσιν· τῶν γονέων δὲ τό τε γῆρας καὶ τὴν κν καὶ τὰ ταύτῃ παρακολουθοῦντα· γυναικὸς πά- χηρείαν, καὶ ὅσα ταύτῃ παρακολουθεῖν πέφυκε. τ' αὐτοῦ δέ τις τοῦ τεθνεῶτος ἔλεον κινεῖν δύνα- ὰν μὲν ᾖ διὰ φαρμάκων ἀνῃρημένος, καὶ τὰ παρα- θήσαντα τῇ φαρμακίᾳ διεξιὼν τὰς ὀδύνας, ταλαι- ς, τὸ μῆκος τῆς νόσου, τὸ σῶμα λυμανθὲν τοῦ ίπου ὑπὸ τῶν φαρμάκων· ἐὰν δὲ βιαίως, τὰ ἐπόν- κύματα, τὸν τρόπον τῆς ἀναιρέσεως. τοῦτον τὸν κεκίνηκεν Εὐριπίδης οἶκτον ἐπὶ τῷ Πενθεῖ κινῆ- υλόμενος. ἕκαστον γὰρ αὐτοῦ τῶν μελῶν ἡ μήτηρ

ἐν ταῖς χερσὶ κρατοῦσα καθ' ἕκαστον αὐτῶν οἰκτίζεται. ἀπὸ τούτου τοῦ τόπου καὶ Ξενοφῶν τὴν Πάνθειαν ἄριστα συνεπέδειξεν οἶκτόν τινα καὶ ἔλεον περιτιθεὶς τῷ πάθει. πρῶτον μὲν γὰρ ἠθοποίησε τὸ σχῆμα τῆς γυναικός, ἱσταμένης ἐπὶ πένθει καὶ δακρυούσης, ἔπειτα τὸν Ἀβραδάτην παρακείμενον διηγήσατο, καὶ πῶς δεξαμένη τὴν χεῖρα ἀποκοπεῖσαν κατεφίλησε. καὶ
591 Ἑκάβη τὸν Ἀστυάνακτα τοῦτον πενθοῦσα τὸν τρόπον, κεφαλῆς τε αὐτοῦ ψαύουσα καὶ χειρῶν καὶ τοῦ λοιποῦ σώματος.

Κινεῖ δὲ ἔλεον καὶ ἡ ἀνάμνησις ὧν εἶπεν ἢ ἐποίησεν, οἷον, ἀνῃρήσθω πένης καὶ κρινέσθω ἐπ' αὐτῷ πλούσιος· ἔλεον οὖν αὐτῷ κινήσουσιν ἀναμιμνήσκοντες τοὺς δικαστὰς δημηγοριῶν αὐτοῦ, πρεσβειῶν, τῶν ἄλλων αὐτοῦ πολιτευμάτων, ὡς ἐπὶ τοῦ Μιλτιάδου κρινομένου μετὰ Πάρον ἢ καὶ Θεμιστοκλέους προδοσίας κρινομένου, ὁποῖος ἦν τὸν χρησμὸν ἐξηγούμενος τῶν ἄλλων ἕκαστόν ἐστιν ἐπιέναι. κατὰ τοῦτον τὸν τρόπον καὶ Σοφοκλῆς τοιούτους τινὰς λόγους τῇ Ἠλέκτρᾳ περιτέθεικε· θρηνοῦσα γὰρ τὸν ἀδελφόν ἐστι τεθνεῶτα, ὡς ᾤετο, διέξεισι τὰς ἀγγελίας ἃς ἔπεμπε πρὸς αὐτὴν ὡς ἥξων αὐτὸς οὐκ εἰς μακρὰν τιμωρησόμενος τὸν Αἴγισθον.

Κινεῖ δὲ ἔλεον καὶ ἡ τῶν ἐχθρῶν ἐπ' αὐτοῖς ἐσομένη χαρὰ δηλουμένη καὶ νὴ Δία τις ἡδονή· ἡ γοῦν Ἠλέκτρα
(725) καὶ ἀπὸ τῆς περὶ τὸν Αἴγισθον καὶ Κλυταιμνήστραν χαρᾶς οὔσης κινεῖ τὸν ἔλεον· γελῶσι δέ, φησίν, οἱ ἐχθροί, καὶ μαίνεται ἡ μήτηρ ὑπὸ τῆς ἡδονῆς. καὶ ὁ Δημοσθένης κεκίνηκε τοῦτον τὸν ἔλεον· ὁποῖον γάρ ἐστιν ἐχθρὸν ἰδεῖν ἐπ' αὐτῷ ἡδόμενον καὶ χαίροντα τῇ καταδίκῃ τινός;

Κινήσομεν δὲ ἔλεον κἂν ὑποδεικνύωμεν πάθος τὸ συμβεβηκὸς περί τινας τῶν οἰκείων τοῦ κρινομένου ἢ

τοῦ τεθνεῶτος· Ὑπερείδης ἐν τῷ κατὰ Ἀρχεστράτου· ἐπέξεισι γὰρ τὰ συμβεβηκότα τῇ τοῦ Ὀνείδου μητρί, καὶ 592
Λυσίας ἐν τῷ ὑπὲρ Ἀχιλλείδου τὸ πάθος τὸ τῇ ἀδελφῇ συμβὰν αὐτοῦ· λέγει γάρ, ὡς ἀκρατὴς λύπης γενηθεῖσα αὑτὴν ἀπέκτεινε. κεκίνηκε τοῦτον τὸν λόγον καὶ ὁ Αἰσχίνης ἐν τῇ ἀπολογίᾳ ἀπὸ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ ἐλεεινοὺς αὐτοὺς εἰπὼν αὐτῷ προσφαίνεσθαι. ὑπάρχει δὲ ἐν τοῖς ἀληθινοῖς ἀγῶσι καὶ περὶ μητρός τι λέγειν τοῦ κρινομένου καὶ περὶ πατρὸς καὶ τῶν ἄλλων τῶν παρόντων ὑπογράφοντας ἐναργῶς τὰ περὶ αὐτοὺς ὄντα πάθη λόγῳ, πῶς τέ εἰσιν ἱστάμενοι, καὶ πῶς δεδοίκασι, καὶ πῶς ὁ φόβος αὐτοὺς ἐξίστησι.

Κινεῖ δὲ ἔλεον καὶ τὰ ὑπὸ τῶν ἀτυχούντων ἢ λεγόμενα ἢ πραττόμενα δηλούμενα, ὥς πού τις τῶν παλαιῶν τῶν Θηβῶν ἁλουσῶν ἔλεον κεκίνηκε τὰ ὑπὸ τῶν ἀγομένων εἰς τὴν αἰχμαλωσίαν Θηβαίων πεπραγμένα διεξιών, τοὺς μετὰ βίας ἀγομένους ἀπὸ ἱερῶν, ἀπὸ ἀναθημάτων, κολπιζομένους τὴν γῆν τὴν πατρῴαν ἐναργῶς ὑπὸ τὴν ὄψιν ἄγων τοῖς ἀκούουσι· καὶ ἐπ' Ὀλυνθίων ἢ Φωκέων ἢ τινων ἄλλων ἔχοι τις ἂν λέγειν. καὶ ἐκ τῆς διαθέσεως τῶν ἀτυχούντων ἔλεόν ἐστι κινεῖν, ὡς Εὐριπίδης τὴν Κλυταιμνήστραν ἔλεον εἰσάγει κινοῦσαν αὐτὴν μετὰ τὸν τῆς Ἰφιγενείας θάνατον,

> τίν' ἐν δόμοις με καρδίαν ἕξειν δοκεῖς,
> ὅταν δόμους μὲν τούσδε προσίδω κενούς, 593
> κενοὺς δὲ παρθενῶνας;

καὶ τὰ ἑξῆς ἐπὶ τούτοις. καὶ πένητα δὲ ἐκ τῶν περὶ αὐτὸν γενησομένων παθῶν, εἰ μὴ δημηγορήσει διὰ τὸν πλοῦτον, ἔστι κινῆσαι τὸν ἔλεον· εἰ γὰρ τοῦτον δημηγοροῦντα βλέποιμι αὐτὸς τούτου τυχεῖν μὴ δυνάμενος, ποίαν με ψυχὴν ἔχειν δοκεῖτε τηνικαῦτα; λέγει παρανομῶ, σιωπῶ· καταλύει τοὺς νόμους, οὐ φθέγξομαι. ἐκ

τούτων ἔλεον κινήσει καὶ τῶν ἄλλων ἐπιὼν ἕκαστον τούτοις ὁμοίων.

Ἔτι ἔλεον κινήσομεν τὴν ἐρημίαν ὀδυρόμενοι ἑαυτῶν, οἷον ἐπὶ γῆς ἀλλοτρίας τις κρίνεται. ἀπὸ ἐρημίας οὖν οἶκτον κινήσει· ὁ μὲν ἀγών ἐστί μοι τ κοῦτος, κινδυνεύω περὶ ψυχῆς καὶ τοῦ σώματος, καὶ νος ἐν ὑμῖν ἀγωνίζομαι, οὐ συγγενεῖς ἔχων, οὐχ ἡλι τας, ἐπ' ἀλλοτρίας ἀγνὼς καὶ ἐν ἀγνῶσι· καὶ ἐπὶ αὐτοῦ δέ τις ἀγωνιζόμενος ὀδύροιτ' ἂν τὴν ἐρημίαν οὖσαν αὐτῷ πένης ὢν ἢ κατεστασιασμένος οἰκείους ἔχων, ἢ ἔχων μὲν ὑπ' αὐτῶν δὲ προδεδομένος.

Κινεῖ δὲ ἔλεον κἂν τοῖς μάλιστα καὶ ὁ τῆς ἐντ καλούμενος τόπος· πολλαχῶς δὲ αὐτῷ χρησόμεθα, (τίνα δὲ ἐνετείλατο ὁ τελευτῶν καὶ ὑπονοῶν ἐκ φαρ κων ἀνῃρῆσθαι, ἢ τίνα πάλιν τρωθείς μέν τις, μέλ δὲ τελευτᾶν, ἢ καὶ νὴ Δία τίνα ἀριστεὺς ἐνετείλατ γυναικί, οὐκ ἀξιῶν αὐτὴν γήμασθαι ἐντὸς πεντα ἢ ἀποθνήσκων πατὴρ ἐγχειρίζων παῖδας ἐπιτρόποις παρακαταθήκην διδούς, ἢ μέλλων ἀποδημεῖν, ἢ ἀγ νος παρὰ τύραννον. ἔστι δὲ ἐντελλομένους ποιεῖν τοὺς κρινομένους· ἐπισκήπτω δὲ ὑμῖν, εἰ καταψηφιε μου ὡς προδεδωκότος μετὰ τρεῖς ἀριστείας τὴν πό
594 ἀνελεῖν μου τὰς εἰκόνας, ἐξαλεῖψαί μου τὸ ὄνομα, κ λεῖν τὰ τρόπαια, τὰ ὑπομνήματα τῶν ἀριστειῶν. κέχρ τῷ τῆς ἐντολῆς τόπῳ καὶ ὁ Σωκράτης· μέλλων γὰρ σθαι τὸ κώνιον ἐντέλλεται τοῖς ἐπιτηδείοις αὐτοῦ κλαῦσαι μήτε ὀδύρασθαι, καὶ ἃ ποιοῦντες περὶ τοὺς δας αὐτοῦ καὶ τὴν γυναῖκα χαρίζοιντ' ἂν αὐτῷ. ἔ τὰς ἐντολὰς εὔγνωμόν τι ἔχειν καὶ εὐσεβές, ὁποία
(726) ἡ Σωκράτους καὶ τῶν δέκα στρατηγῶν ἀπολογία.

Περὶ πάθους.

Τὸ πάθος πολὺ μὲν ἐν ποιήσει τῇ τραγικῇ, ἥξει δέ ιτε καὶ εἰς τὸν πολιτικόν, ὅταν πόλει ἢ προσώπῳ τινὶ ἰν παρ' ἀξίαν συμβάντων κακῶν μνημονεύσῃς, οἷα τὰ ːρὶ Φωκέας. τὴν δὲ λέξιν δεῖ εἶναι ἄπλαστον καὶ ἀκαλ-ὁπιστον· τὸ γὰρ καλλωπίζειν οὐ τοῦ θρηνοῦντος, τὴν σύνθεσιν μᾶλλον ἄνετον, τὰ δὲ σχήματα γοργότερα ιὶ ἀκμαιότερα. καὶ ταῦτα μὲν ἀμυδρότερα, ἴδωμεν δὲ ιὶ καθ' ἕκαστα.

Πάθος ποιοῦσιν αἱ ἀντεξετάσεις μάλιστα πρὸς τὰ ɔότερα, οἷον πρότερον μὲν ἐν ᾧ ἦν ἡ τύχη καὶ ὅτι λαμ-ροτέρα, νῦν δὲ οἵοις πέπτωκεν, ὡς παρ' Εὐριπίδῃ,

πρῶτον μὲν οὖν μοι τἀγάθ' ἐξᾷσαι φίλον·
πρὸς γὰρ κακοῖσι πλεῖον' οἶκτον ἐμβαλῶ.

Πάθος ποιοῦσι καὶ αἱ παραθέσεις πρὸς ἕτερον· οἷον λέγοις ἐν ἐκείνῳ τῷ ζητήματι· οἱ Ἀθηναῖοι πρεσβεύ-παι ἐπὶ τῶν τριάκοντα πρὸς Λακεδαιμονίους ἀξιοῦντες ῥ' ἑνὸς τυραννεῖσθαι· εἰ οὖν λέγοις, οὐδὲν τοσοῦτον ἡ ιμώδης νόσος, οὐχ ἡ Σικελία ἤνεγκε ταῖς Ἀθήναις πά- 595 ος, ὅσον οἱ τριάκοντα. ἐκεῖνα μὲν γάρ εἴς γε μοῖράν τινα ῆς δυνάμεως ἐλυμήναντο, οἱ δὲ διὰ πάντων διήκουσι.

Πάθος ποιοῦσι καὶ αἱ ὑπερβολαὶ ἐν τῷ ἀορίστῳ· ιύτων δὲ δεινότερα οὐ γέγονεν οὐδὲ μείζω πράγματα ɔ' ἡμῶν ἐν τοῖς Ἕλλησιν, οἶμαι δὲ οὐδ' ἐν τῷ πρόσθεν ιόνῳ.

Πάθος ποιοῦσι καὶ αἱ ποιότητες τῶν προσώπων ἐξε-ːζόμεναι, τίς ὢν δεινὰ πέπονθεν, οἷον ὅτι καλὸς κἀγα-ὸς, ἢ ὅτι εὐεργέτης· ὡς περὶ τῶν Φωκέων ὁ Δημοσθέ-ς· τίνες ὄντες ταῦτα πεπόνθασι. καὶ μὴν ὅτι τὴν αντίαν ποτὲ Θηβαίοις ὑπὲρ ἡμῶν ἔθεντο. πάθος γίνε-ι καὶ ἀπὸ τοῦ ἐναντίου· οὐ μόνον τίς ὢν πέπονθεν, λὰ καὶ ὑπὸ τίνος, ὡς ἐν τῷ περὶ Στράτωνος λόγῳ Δη-

μοσθένης· „καὶ ταῦτα πέπονθεν ὑπὸ Μειδίου καὶ τοῦ Μειδίου πλούτου.“

Ἐν τοῖς πάθεσι καὶ αἱ διαπορήσεις χρήσιμοι εὐθὺς ἐν ἀρχῇ· τί πρῶτον ἢ τί τελευταῖον εἴπω; ἢ οὕτως· ἀπορῶ τί χρὴ δρᾶσαι; πότερον μεθεῖναι ἀμνημόνευτα; ἀλλ' ἀλυσιτελὲς τοῦτό γε· ἀλλὰ διεξελθεῖν δεῖ; ἀλλ' οὐ ῥᾴδιον ἀδακρυτὶ τοῦτο δρᾶν.

Πάθος ποιοῦσιν καὶ αἱ δεινώσεις· „θέαμα δεινόν.“ πάθος ποιοῦσι καὶ οἱ σχετλιασμοί, φεῦ καὶ οἴμοι· πάθος ποιεῖ καὶ τὰ ἀνακλητικά· „θέαμα δεινόν, ὦ γῆ καὶ θεοί.“ πάθος ποιοῦσι καὶ οἱ διπλασιασμοί, Θῆβαι δὲ Θῆβαι.

Ἐν τοῖς πάθεσιν οὐ πολὺν δεῖ εἶναι τὸν κόσμον,
596 οὐδ' ἐπεμβάλλεσθαι τὰς ἐννοίας, ἀλλὰ κομματικὰ τὰ πλείω. ἐὰν μὲν βουληθῇς συνέχειαν ποιῆσαι ἐν τῷ πάθει, κατὰ τὸ ἀσύνδετον εἰσάξεις· „οἰκίαι κατεσκαμμέναι, τείχη περιῃρημένα·“ ἐὰν δὲ βουληθῇς ἔτι μᾶλλον αὐξῆσαι, τοῖς δικαστικοῖς σχήμασι χρήσῃ· οὐ τοίνυν τοῦτο ἀπέχρησε μόνον, ἀλλ' ἐκεῖνο τούτου οἰκτρότερον συνέβη.

Πάθος δὲ κινήσομεν οὐ μόνον ἐφ' οἷς προπεπόνθαμεν, ἀλλὰ καὶ ἐφ' οἷς δέος ἐστὶ μὴ πάθωμεν, ὡς ἐν τῇ Πλαταιέων δημηγορίᾳ· τὰ γὰρ συμβησόμενα ἐν πάθει εἰσάγει· μηδὲ τὴν Πλαταιΐδα Θηβαΐδα ποιήσητε, μηδὲ ἱερὰ καὶ τάφους προπατόρων ἀτιμωρήτους, καὶ ὅσα ἄλλα παθαινόμενος λέγει.

Ἐν τοῖς πάθεσι καὶ αἱ πλάσεις ἐνίοτε, οἷα εἰκὸς εἰρηκέναι ἐχθρὸν ἐπεμβαίνοντα, οἵας φωνὰς ἀφεῖναι τὸν πάσχοντα. τὰ πάθη ὕποπτά ἐστι τοῖς ἀκούουσι· δοκεῖ γάρ τις οὐ θαρρῶν τοῖς λογισμοῖς ἐξ ἐπιβουλῆς ἐπὶ τὸ ἐλεεινὸν καταφεύγειν· διὸ δεῖ ἐμφαίνειν, ὅτι καὶ τοῖς λογισμοῖς τεθαρρήκαμεν, καὶ τὸ πάθος δὲ ἀναγκαῖόν ἐστι λεχθῆναι. δεῖ δὲ τὸ πάθος ἐν τῷ πολιτικῷ μέτρῳ ἔχειν, ἵνα μὴ εἰς τραγῳδίαν ἐμπέσῃ, πλὴν εἰ μὴ ἡ ὑπόθεσις τραγικὴ εἴη·

ΑΨΙΝΟΥ

ΠΕΡΙ ΤΩΝ ΕΣΧΗΜΑΤΙΣΜΕΝΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ. 534 (727)

[Τῶν ἐσχηματισμένων προβλημάτων τὰ μέν ἐστι κατὰ τὸ ἐναντίον, τὰ δὲ πλάγια, τὰ δὲ κατ' ἔμφασιν. ἐναντίον μὲν οὖν ἐστιν, ὅταν τὰ ἐναντία κατασκευάζωμεν οὗ λέγομεν, οἷον, ᾔτησαν Ἀθηναῖοι παρὰ Λακεδαιμονίων εἰρήνην, οἱ δὲ ἀντῄτησαν Περικλέα. βουλευομένων τῶν Ἀθηναίων αὐτὸς ὁ Περικλῆς ἀξιοῖ ἀπιέναι· ὁμολογουμένως γὰρ ὁ Περικλῆς, εἰ καὶ λέγει πέμπεσθαι, ἀλλὰ σχήματι λόγου χρῆται. πλάγιον δέ ἐστιν, ὅταν μετὰ τοῦ κατασκευάζειν τὸ ἐναντίον καὶ ἄλλο τι περαίνῃ ὁ λόγος, οἷον, πλούσιος ἐν λιμῷ ὑπέσχετο θρέψειν τὴν πόλιν, εἰ λάβοι πένητα πρὸς σφαγήν, οὐ δέδωκεν ὁ δῆμος, ὁ πένης ἑαυτὸν προσαγγέλλει. ἐνταῦθα γὰρ τὸ ἐναντίον ὁ λόγος βούλεται καὶ ἐκ πλαγίου κατασκευάζει τὸ μὴ εἶναι σῖτον, καὶ εἰ ἔστιν ἁπλῶς λαβεῖν ἄνευ τοιαύτης ἀντιδόσεως. κατὰ ἔμφασιν δέ ἐστιν ὅταν λέγειν μὴ δυνάμενοι τῷ κεκωλῦσθαι καὶ παρρησίαν μὴ ἔχειν ἐν σχήματι ἄλλης ἀξιώσεως ἐμφαίνωμεν κατὰ τὴν σύνθεσιν τοῦ λόγου, οἷον, τὸν μαινόμενον φεύγειν ὁ νόμος ἐκέλευεν· φήμης οὔσης ὅτι σύνεστιν ὁ πατὴρ τῇ γυναικὶ τοῦ υἱοῦ ἀξιοῖ ὁ παῖς ὡς μαινόμενος φεύγειν· ἐνταῦθα 535 γὰρ τῷ μὲν δοκεῖν περὶ τοῦ φεύγειν διαλέγεται καὶ τούτῳ τῷ λόγῳ ἐπερείδεται, δι' ὅλου δὲ δοκεῖ ἐμφαίνειν τὴν τοῦ πατρὸς μοιχείαν τὴν κατὰ τῆς γυναικός.]

Ἄλλο. Τῶν ἐσχηματισμένως προαγομένων ζητημάτων, ἐν οἷς τὸ δι' ὑπονοίας ἐστὶ καὶ ἐμφάσεως, ὅταν ἄλλο

μὲν τι διοικῆται, ἄλλο δέ τι σπουδάζειν προσποιῆται δι' ἑτέρων λύων, τὰ εἴδη πολλά ἐστιν· ἓν γὰρ κἀκεῖνο τὸ εἶδος τοῦ ἐσχηματισμένου τρόπου, περὶ οὗ πρότερον ἐλέγομεν, ὅταν ὑποτιμώμενος αὐτῷ μείζονος διὰ τούτου ταῦτα καθαιρῇ, ἐφ' οἷς ἑάλωκε· καὶ ἔστιν οἱονεὶ λύοντος τὰ κεκριμένα. Δημοσθένης ἐπὶ τοῖς Ἁρπαλείοις χρήμασιν ἑάλω, καὶ ὁ μὲν Ὑπερείδης αὐτῷ τιμᾶται φυγῆς, ὁ δὲ ἀποθνήσκειν αἱρεῖται. πάλιν ὁ Μιλτιάδης ἐπὶ τοῖς περὶ Πάρον ἑάλωκε, καὶ ὁ μὲν Ξάνθιππος αὐτῷ τιμᾶται φυγῆς, ὁ δὲ ἀνθυποτιμᾶται θανάτου. τί οὖν δεῖ ποιεῖν ἐν τούτοις πᾶσι; βαρύτητι χρῆσθαι. ἡ δὲ βαρύτης ἕξει μέγεθος, ἐὰν προάγηται κατηγορεῖν ἑαυτοῦ, καὶ οἷα τετόλμηκεν. ἐνταῦθα μέντοι βαρέως τὴν κατηγορίαν καθ' ἑαυτοῦ εἰσάξει, τὰς δὲ λύσεις πρὸς τὰ ἐγκλήματα ἐν τρόπῳ αὐξήσεως παραλαμβάνοντες. οἷον ὁ Δημοσθένης λέγει, ὅτι εἰκότως τεθνήξεται, διότι νεώτερος μὲν ὢν οὐδὲν αἰσχρὸν ἐπὶ λήμματι προείλετο, πρεσβύτατος δὲ γενόμενος τηνικαῦτα δεδωροδόκηκε, καὶ παρὰ Φιλίππου
536 μὲν οὐκ ἔλαβον, οὐδὲ παρὰ Ἀλεξάνδρου διδόντων οὐκ ἐλάττω, ὑπὸ δὲ τῶν δούλων τῶν ἐκείνου διεφθάρην, καὶ πρότερον μὲν οἴκοθεν προεῖτο καὶ εἰς αἰχμαλώτων λύσεις καὶ θυγατέρων ἐκδόσεις. ὅσα οὖν ἐστι τὰ λύοντα τὰς αἰτίας, ταῦτα ἐν τρόπῳ αὐξήσεως παραλήψεται. τοῦτο καὶ ἐπὶ τοῦ Μιλτιάδου, ὅταν λέγῃ πονηρότατος προδότης γεγενῆσθαι, καὶ ὅτι ἐξηπάτηκε τὸν δῆμον, πρότερον μεγάλην δόξαν παραστήσας, νῦν δὲ ἄλλος φανείς, καὶ ὅτι συγγνώμης τυχεῖν οὐκ ἄξιος, εἰ μὴ λαβὼν παρὰ βασιλέως χρήματα πολλὰ διδόντος Παρίους ὑπῆλθε καὶ ἐθαύμασε τὰ παρὰ τούτων διδόμενα. καὶ ταῦτα μὲν ὡς ἐν προκαταστάσει, τὰ δὲ προκαταρκτικὰ ἔσται σοι ἐν τούτοις· καί γε ἐλεγκτικῶς ἐρεῖς φάσκων ὅτι περιπίπτουσιν αὐτοῖς οἱ κατήγοροι, μεγάλα μὲν κατηγοροῦν-

ες, τιμώμενοι δὲ ὀλίγων καὶ ἐλαττόνων, καὶ ὡς ἀπορῶν ρεῖς καὶ τεθαυμακώς, τί ποτ' ἐπῆλθεν αὐτοῖς ἀντὶ ιεγάλων ἐγκλημάτων ὁρίσαι μικρὰ ἐπιτίμια καὶ κατ' ρχὰς εὐθέως, ὡς εἰ καὶ πρότερον διημάρτανες γνώμης (728) νδιδοὺς ἑαυτὸν πρὸς ἀδικήματα, ἀλλὰ νῦν γε βελτίων ραίνῃ. ταῖς δὲ ἀντιθέσεσι προσήκει ἐνδιατρίβειν καὶ ιατασκευὰς ἀντεπάγειν τῶν ἀντιθέσεων τὰς εἰς τὸν σκο- τὸν συντεινούσας, οἷον ὅταν λέγῃς, ἀλλὰ νὴ Δία φιλαν- θρωπεύεσθε. δεῖ δὲ πρότερον καὶ κατ' εἶδος λέγειν, καὶ ιεξέρχεσθαι μέχρι πολλοῦ τίνα ἐστὶ δι' ἃ δεῖ φιλανθρω- πεύεσθαι. ὑπὲρ γὰρ σοῦ ἐστι ταῦτα διαιρεῖσθαι. δεῖ σε αυτῷ ἀνθρώπων βελτιόνων χείρων γέγονας. καὶ πάλιν οιαῦτα εἰσάξεις, ὅσα ἐστὶν ἀνατρεπτικὰ τῶν κατὰ σοῦ, τι οὐκ ἔστι τῶν αὐτῶν δίκην μὲν ἐπιβάλλειν, ὡς ἐπὶ δικήματι, περιορᾶν δ' αὐτοὺς ζῶντας καὶ μὴ λυμαίνε- 537 θαι, καὶ ὡς εἴη αὐτοῖς ὁ βίος ἀβίωτος, ὀνείδη ἐχόντων ιὰ τὰ πρότερον πολιτεύματα, καὶ τοῖς κατ' εἶδος ἐνδια- ρίψεις οὐδὲν ἧττον, ἅμα καὶ ἐν ἐπιλόγοις αὖθις ἀνα- νήσεις περὶ τῶν πεπολιτευμένων καὶ πεπραγμένων, ἐὰν έγῃς, ὅτι μὴ συγχωρηθῆναί σοι δεῖ ἀποφεύγειν, ἀνθ' ν [πρότερον] ἠδίκεις. ταῦτα γάρ ἐστι τὰ ὠφελοῦντα ὸν λόγον, αἱ πράξεις αἱ προγεγονυῖαι. σχήμασι δὲ χρήσῃ χετλιαστικοῖς ὅταν λέγῃς· ὢ τῆς ἐμῆς ἀδοκήτου τύχης, αὶ νέος μὲν ὤν, ὦ γῆ καὶ θεοί, τίσιν εἰκὸς καὶ αὐτὸν ὕτω βουλεύσασθαι; καὶ παράνοιαν καὶ παραφροσύνην ατὰ ἑαυτοῦ λέγων καὶ ὅσα τοιαῦτα ὀνόματα τὴν βαρύ- ητα πλείω ἐργάσῃ. οὐκ ὀκνήσεις δὲ καὶ θετικώτερον τεξιέναι τῷ κατὰ τῶν προδοτῶν λόγῳ, ἢ κατὰ τοῦ ἀδι- ήματος ἐκείνου ἐφ' ᾧ κρίνῃ· ἀξιόπιστον γάρ σοι ποιεῖ ὸ τοιοῦτο τὸν λόγον. παραλήψῃ δὲ αὐτὰ οὐκ ἀκαίρως, λλὰ ἐν τῇ συστάσει τοῦ ὅτι ἄχρι θανάτου δεῖ γενέσθαι ὸ τίμημα· τὸ γὰρ ἀδίκημα μέγα καὶ χαλεπόν.

Ἄλλο. Ἑτέρα φύσις τῶν ἐσχηματισμένων, ὅταν τινὲς τοῖς πρότερον εἰρημένοις ὑπ' αὐτῶν τὰ ἐναντία συμβουλεύσωσιν, οἷον χειμῶνι ἐχρήσατο ἐπὶ Σικελίαν στόλος πεμφθείς, καὶ ἐπανῆκεν εἰς τὸν Πειραιᾶ, καὶ τὰς ἐναντίας γνώμας Νικίας καὶ Ἀλκιβιάδης. καὶ πάλιν, Κλέων καὶ Διόδοτος τὸ δεύτερον ἀποστάντων Μυτιληναίων ἐναντία λέγουσι· καὶ ὁ Δημοσθένης Φιλίππου ἐξαιτοῦντος τὰς τριήρεις ἀντειπὼν καὶ ἡττηθεὶς καὶ τὰ πληρώματα συμπέμπειν ἀξιοῖ· τί οὖν δεῖ ποιεῖν ἐν τούτοις; τὸ
538 ἀντιπῖπτον ἐκεῖνο λύειν, ὅτι τὰ ἐναντία γράφεις, λογισμοὺς εἰς τοῦτο παραλαμβάνειν δι' ὧν τὰ πρότερα ἐδοκίμασε. διὰ τούτων τὸ ἑαυτοῦ δόγμα κρατύνειν, οἷον ἐὰν Νικίας λέγῃ τὸ ἀντιπῖπτον ἐκεῖνο, ὅτι θαυμάζουσίν τινες διὰ τί πρότερον ἐγένετό μοι δοκεῖ, ἔπειτα δὲ ἕτερα ἀντέλεγε, καὶ οὐχ ἅπερ πρότερον αὐτὸν ἔπεισεν, ἐκεῖνα συμβουλεῦσαι. ταῦτα κατασκευαστικὰ ὧν βούλεται κρατῆσαι, βούλεται δὲ αὐτοὺς ἀποτρέψαι τῆς στρατείας. τίνα οὖν ἐστι κατασκευαστικά; ὅτι ἄρα πόλεμον μέγαν κεκινημένον καὶ οὐδαμοῦ λυσιτελοῦν τὸ διπλοῦς ἐπ' αὐτοὺς ποιῆσαι πολέμους καὶ τὸ μῆκος τοῦ πλοῦ ὅτι ἐνεθυμεῖτο, καὶ πάντα ὅσα συστατικὰ τοῦ μὴ συμφέρειν ἐπ' ἐκείνους στρατεύειν καὶ οὕτως μεταβήσεται· ἀλλ' ἔδοξεν, καὶ οὐ δεῖ ἐναντιοῦσθαι τοῖς δόξασι. καὶ τὸ τοῦ Ἀλκιβιάδου μέρος τὸν αὐτὸν ἕξει τρόπον, λέγοντος κἀκείνου ὑφ' ὧν ἀνεπείθετο μὴ ὀκνῆσαι τὴν στρατείαν, λύοντος ταῦτα τὰ ἀντικείμενα δι' ἅπερ φαίη τις ἂν μὴ δεῖν στρατεύειν, καὶ ὅσα περὶ τοῦ πολέμου τοῦ πρὸς Λακεδαιμονίους, ὅτι ἑώρων δύναμιν ἀντιπολεμοῦσαν ἑτέραν, ἢ ὅτι οὐ δύναται Λακεδαιμονίους κατείργειν. καὶ ὅτι κωλύειν ἐνόμιζε προσήκειν τοὺς ἐκεῖθεν βοηθοὺς ἐλθεῖν Λακεδαιμονίοις, καὶ ὅτι ῥᾷστον ἑλεῖν Σικελίαν διὰ τὸ στασιάζειν ἐν ἀλλήλοις, καὶ ὅτι τὸ μέγεθος τῶν

πόλεων προτρέπεται μᾶλλον καὶ παροξύνει ἐφίεσθαι τῶν ἐκεῖ [πόλεων], καὶ ὅτι κατασχεῖν ἑώρων οἷόν τε τὰ ὀνείδη, καὶ ὅτι βασιλεὺς ὅλης Κύπρου δύναται κρατεῖν, νήσου καὶ ταύτης οὔσης. εἰσάξεις δέ που καὶ τὰ τοιαῦτα 539
ἀπὸ τῆς ἀρχῆς ἀρξάμενος ἐκείνης κατὰ τὸν ἀκμαῖον λόγον, ὡς δεινὸν εἰ τῶν μὲν Κυκλάδων καὶ Σποράδων ὅπως ἄρξομεν τοσαύτην σπουδὴν ποιούμεθα καὶ τῶν κατ' Αἰγαῖον ἐφιέμεθα, τῆς δὲ ἑσπέρας ἑτέροις παραχω- (729)
ρήσομεν, καὶ ἐξὸν προαγαγεῖν μέχρι τοῦ Ἰονίου, ἡμεῖς δὲ ὀκνήσομεν. τί οὖν ἐμποδών; ὁ χειμὼν δηλαδή. καὶ ταῦτα ἐρεῖς οὐκ ἐξιών, ἐπεὶ ἐναντίον ἑαυτῷ ποιήσεις, καὶ ἐν τούτῳ δὲ τὰς ἀντιθέσεις ἰσχυρῶς εἰσάξεις. ὑπὲρ σοῦ γάρ εἰσιν οἱ λόγοι οἱ ἐν αὐταῖς περιεχόμενοι, οἷον ἐὰν λέγῃ Ἀλκιβιάδης· ἀλλὰ νὴ Δία, φήσει τις, ἀλλ' ἔδοξε; καὶ πολλοὶ λόγοι περὶ αὐτῶν ἐγένοντο, καὶ οὐκ ἐν μιᾷ ἐκκλησίᾳ ἐβουλευσάμεθα περὶ αὐτῶν. ὅσῳ γὰρ πλείω παραλαμβάνει, τοσούτῳ πλέον ἀνύει τὸ βούλημα. τὴν μέντοι λύσιν λέγων, ἀλλὰ χειμῶνες καὶ θάλαττα, καὶ ἄλλα πολλὰ ἀφ' ὧν πόνοι συνέβαινον, καὶ ἄλλα πολλὰ τὰ ἐκκρούοντα, καὶ ὡς μὲν οὐκ ἀπροσδόκητον καὶ χειμῶνι περιπεσεῖν πλέοντα θάλατταν, οὐκ ἄδηλον καθέστηκεν, οὐ μὴν τοσούτῳ χειμῶνι χρήσασθαι· καὶ γάρ, εἰ μηδὲν φαῦλον ἀπήντησε, τοῦτο τῇ τύχῃ λογιστέον, αὐτοὺς δὲ οὐ προσήκει παραβάλλεσθαι ἐκ χειμῶνος εἰς χειμῶνα. καὶ πολλὰ ἐκ παραλείψεως τοιαῦτά τις λέξει· καὶ ὡς οὐ νῦν πρῶτον ἐπειράθημεν χειμῶνος κατὰ θάλατταν, ἀλλ' εἰωθότα, οὐκ ἀγνοῶ. ὅμως ὑφορῶμαι μή τι οἰώνισμα ᾖ, ὁ δὲ Νικίας ἔμπαλιν ἐρεῖ, ὅτι καὶ ἔδοξε καὶ ταῦτα αὐτοῦ ἀντιλέγοντος καὶ ἀποτρέποντος. τίς ὁ λόγος σοι ἔσται.

Μετέλθωμεν δὲ καὶ ἐπ' ἐκεῖνο τὸ εἶδος, ὅπου τις λύει τὰ δόξαντα, ἢ νόμον, οἷον Ὑπερίδης ἀξιῶν τὸν Δη- 540

μοσθένην δημόσιον εἶναι δοῦλον, ἐπειδὴ ξενίας ἑάλω. ἐνταῦθα εἰσάξεις τὰ ὑπὲρ Δημοσθένους, καὶ ἐπιδείξεις ἄξιον ὄντα αὐτὸν καὶ ἐλευθερίας, οὐ μόνον τοῦ δουλείας ἀπηλλάχθαι. ἠγνόητο δ' ἂν σοι τοῦτον τὸν τρόπον εἴσοδος τοῦ λόγου ὑπὲρ Δημοσθένους, ὅτι ὑμεῖς προσδοκᾶτε ἐρεῖν· καὶ ἐν ταῖς ἀγγελίαις δὲ ταὐτὸν ποιήσεις, ὅπερ ἐπὶ τῶν τιμήσεων ἔφαμεν· βαρύτητι γὰρ χρήσῃ καὶ σχετλιασμοῖς καὶ τοῖς τοιούτοις. παραλαμβάνομεν δὲ κἀκεῖνο τὸ εἶδος, οἷον Δημοσθένης ἀξιοῖ ἐκδίδοσθαι αὐτὸν τοῦ Φιλίππου ἐξαιτοῦντος ἢ τὸν Δημοσθένην ἢ τὰς τριήρεις. ἐν αὐξήσει κεῖται τὰ κατὰ τὸν Δημοσθένην, αὔξοντος τὰ καθ' αὐτόν, καὶ ἀξίωμα ἕξει ὁ λόγος. εὐθὺς δὲ κατ' ἀρχὰς συστήσεις πόσου ἄξιος ἀπὸ τῆς κρίσεως τῆς τοῦ Φιλίππου. ἐρεῖς οὖν ὅτι ἐλελήθειν μείζονος ὢν ἤπερ ἐνόμιζον. ὁ γοῦν Φίλιππος ἐν ἴσῳ τὸ κατ' ἐμὲ τίθεται ταῖς τριήρεσιν, εἶτα ὅτι φθονοῦσί μοί τινες φιλοτιμίας. εἶτα περὶ φιλανθρωπίας ἐρεῖς τῶν Ἀθηναίων, καὶ οὕτως εἰσάξεις τὸν ὑπὲρ Δημοσθένους λόγον, ὅτι ὑπὲρ τοὺς στεφάνους, ὑπὲρ τὰς ἀναρρήσεις τὰ νυνί· ἕξεις οὖν σκέψιν νῦν προσθεῖναι περὶ Δημοσθένους καὶ τῶν τριήρων· διὰ τοῦτο οὖν ἐπιδίδωσιν ἑαυτόν, ἵνα μήτις εἴπῃ, ὅτι Δημοσθένης προὔδωκε τὰς τριήρεις Φιλίππῳ, καὶ Δημοσθένει οὐκ ἔστι τὸν αὐτὶ τὴν πολιτείαν σατε διαμεῖναί με ἐπὶ τῆς ὑπαρχούσης
541 *δόξης, οὐδὲν προὔδωκα τῶν τῆς πόλεως. καὶ κατ' εἶδος λέγων, πονηρότερος ὑμῖν οὐκ ἂν γενοίμην τοῦ δεῖνος ἢ τοῦ δεῖνος, οἳ ἐν μέρει τινὶ ἔβλαψαν τὴν πόλιν, ἐγὼ δὲ τοῖς ἅπασι φανοῦμαι, εἶτα ἡ ἀντίθεσις ἐν τοῖς πράγμασιν.*

Ἄλλο. Ἄριστον δὲ εἰς σχηματισμὸν παράγγελμα τὸ δοκεῖν ἐναντία λέγειν· ὃ γάρ ἐστιν ἐν τοῖς ἄλλοις προβλήμασιν ἁμάρτημα, τοῦτό ἐστιν ἐν τούτοις κατόρθωμα, οἷον εἰ τύχοι, πλούσιος πένητα ᾔτησεν ἀποκτεῖναι, καὶ

ὁ δῆμος ἔδωκε· μετὰ ταῦτα ἰδιώτης ἐπανῆκεν ὁ πλούσιος ἀριστεύσειν ἐπαγγειλάμενος, καὶ προσαγγέλλει ἑαυτὸν ὁ πένης· ἐνταῦθα γάρ, εἰ τύχοι, πρῶτον λέγει περὶ τῆς δωρεᾶς, δι' ἣν πρῶτον ἐγκαλεῖ τοῖς δεδωκόσι, καὶ φανερῶς μὲν ἐπαινεῖ καὶ τὸν αἰτήσαντα καὶ τοὺς δεδωκότας. καὶ ὁ ἔπαινος ἐν μὲν τῇ ἀρχῇ καὶ τῇ περιβολῇ μόνον περιγράφεται, ἡ δὲ ἐργασία αὐτοῦ ἄλλο τι δύναται, οἷον ἐγὼ καὶ τὸν αἰτήσαντα ἐπαινῶ. πολέμιον γὰρ φονεῦσαι ἐσπούδακεν ἀντηγωνισμένον πολλάκις αὐτῷ καὶ φυλάττοντα τὴν δημοκρατίαν, τῆς ἐλευθερίας προεστῶτα. ἀλλὰ καὶ ὑμᾶς τοὺς δεδωκότας ἐγκωμιάσαι καλόν· ὁ πλοῦτος (730) ἐξεδυσώπησεν ὑμᾶς. ἐφοβήθητε τὸν πλούσιον· τὰ τῆς ὑποσχέσεως ἦν λαμπρὰ καὶ δυνατὰ κατεργάσασθαι μόνον τοὺς πολεμίους ἐστὶ τοῦ πλουσίου.

Ἔστι καὶ ἕτερος τρόπος ὃν δεῖ παραλαμβάνειν εἰς τὰ ἐσχηματισμένα κατὰ παράλειψιν καὶ ἀποσιώπησιν, οἷον, ἀλλ' οὐδ' ὑμῖν ὀνειδίζω τοῖς δεδωκόσι μοι πρὸς τὴν τελευτήν. ὠνείδιζον γὰρ ἄν, εἰ ταῦτ' ἔλεγον νόμων ὄντων, ἀκμαζούσης δημοκρατίας, διαρρήδην τῶν νομοθετῶν ἀπαγορευόντων μὴ καθ' ἑνὸς γράφειν, μὴ βουλεύειν φόνον, 542
μὴ θανάτου αἰτίαν παρέχειν. ἔστι δὲ καὶ ἕτερος τρόπος· δέον κατηγορεῖν ἐν τῇ πραγματείᾳ οὐ δι' ἐναντίας παραμυθίας αὐτὸν ἀξιοῦμεν, ὡς ἐπὶ τῆς αὐτῆς ὑποθέσεως, ὅτι ἰδιώτης ἐπανῆλθεν. ἀλλ' οὐθέν σοι δεινὸν πέπρακται μὴ τυχόντι τῆς ἀριστείας· ἐπεθύμησας γὰρ διὰ τὴν τελευτὴν τὴν ἐμήν. ἀλλὰ τί γὰρ ἂν πάθοις ἐν τρυφῇ τραφείς, ἁβροδίαιτος ὢν τὸν βίον; τὰ δὲ τηλικαῦτα τῶν κατορθωμάτων σκληρῶν δεῖται τῶν σωμάτων. εἰ δὲ ἠτύχηκας, ἀτυχοῦσι καὶ οἱ πλούσιοι πολλάκις. ἀλλ' ἡ πόλις ἤλπισεν ἐν σοὶ μάτην. διαμαρτάνουσι τῶν ἐλπίδων καὶ πόλεις, καθόλου δὲ πανταχοῦ καὶ ἐν παντὶ χωρίῳ τῆς τοιαύτης ὑποθέσεως τὰ ἐναντία λέγειν χρή· οὕτω προαι-

ρούμεθα ἐπεί τοι καὶ ἐν ῥήματι πληροῦται διάνοια ἐσχηματισμένη, καὶ μάλιστα ἐν τῷ διὰ μέσου καὶ ἀμφιβόλῳ, οἷον εἰ κακοηθιζοίμεθα πότερον ἐπὶ τῇ αὐτοῦ γυναικί, μάλιστα εἰ παῖς ἡμῖν εἴη γεγενημένος ἐξ αὐτῆς, οἷον, οὗτός ἐστι τὰ πάντα ἐπὶ τῆς οἰκίας δεσπότης, ἀνήρ, πάντων ἡμῶν πατήρ· μάλιστα δ' ἐν ταῖς προδιηγήσεσιν αἱ προκατασκευαὶ κακίαν ἐχέτωσαν, ἔγημα ἐγὼ μὴ προαιρούμενος, ὁ πατὴρ ἠνάγκασε, διηγεῖτο, ἔλεγεν εὐσχήμων εὐγενὴς εἶναι. ἔστι δ' ἐκεῖνο μέγιστον παράγγελμα ἐν τοῖς ἐσχηματισμένοις, τὸ μὴ πάντα πληροῦν ἐν αὐτοῖς, μήπως δειχθῇ τὸ σχῆμα.

Τέλος Ἀψίνου.

VII.

ΜΙΝΟΥΚΙΑΝΟΥ

ΠΕΡΙ ΕΠΙΧΕΙΡΗΜΑΤΩΝ.

(731) Ald. 601 Walz.

ΜΙΝΟΥΚΙΑΝΟΥ
ΠΕΡΙ ΕΠΙΧΕΙΡΗΜΑΤΩΝ
ΕΝ ΑΛΛΩι ΝΙΚΑΓΟΡΟΥ.

) ῥήτωρ πίστεσι χρήσεται ταῖς μὲν ἐντέχνοις, ταῖς ·χνοις. ἄτεχνοι μὲν οὖν εἰσιν αἱ μηδὲν τῆς τοῦ ῥή- μεθόδου δεόμεναι, πλὴν ὅσον εἰς τὸ ἐν καιρῷ αὐ- ῷ προσήκοντι χρήσασθαι, οἷον μαρτυρίαι, ὅρκοι, ήσεις, βάσανοι, νόμοι, συνθῆκαι. ἔντεχνοι δὲ ὅσαι ρέσεως καὶ οἰκονομίας δέονται μετὰ τέχνης. τῶν δὲ ων πίστεων αἱ μέν εἰσιν ἠθικαί, αἱ δὲ παθητικαί, λογικαί, αἱ αὐταὶ καὶ πραγματικαί. ἠθικαὶ μὲν ὅσαι όξης τοῦ προσώπου τὴν πίστιν λαμβάνουσιν, οἷον Γερικλέους, ἀπὸ Ἀριστείδου· λέγομεν δὲ τὴν ἠθι- τιχείρησιν ἔντεχνον εἶναι [δοκοῦσαν], ὅτι δεῖ ἄν τε οῦτον ᾗ πρόσωπον, ἄν τε τοιοῦτον, τῷ λόγῳ αὐτὸ 602 σαι, ὡς ἐπὶ τοῦ Περικλέους ὁ Θουκυδίδης· „καί- ιοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθε, ὃς οὐδενὸς ἥττων ιί τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι ταῦτα, φιλόπολίς τε ημάτων κρείσσων·“ τούτοις γὰρ ἅπασι πιστοῦται δὲν ἠδικηκέναι τὴν πόλιν. παθητικαὶ δὲ ὅσαι τὸν τὴν εἰς ὃ βούλεται ὁ λέγων ὑπάγουσι καὶ ἄνευ τῆς ραγμάτων ἀποδείξεως, οἷον εἰς ὀργὴν ἢ εἰς ἔλεον ϑόνον ἢ εὔνοιαν ἄγουσι. πραγματικαὶ δὲ ὅσαι ἀπὸ ράγματος περὶ οὗ ὁ λόγος ἐστί, τὰς ἀποδείξεις ἔχου- αἱ δὲ ἀποδείξεις ἀκολούθως ἐκ τῶν καλουμένων ρημάτων γίνονται. ἐπιχειρήματα δέ ἐστι τὰ πρὸς τοῦ ὑποκειμένου ζητήματος λαμβανόμενα.

2 *Τῶν δὲ ἐπιχειρημάτων τὰ μέν ἐστι παραδειγματικά, τὰ δὲ ἐνθυμηματικά. παραδειγματικὰ μὲν ὅσα ἐξ ἱστορίας καὶ ὁμοιώσεως τῶν ἤδη πεπραγμένων λαμβάνομεν, οἷον „οὐ πιστεύουσιν Ὀλύνθιοι Φιλίππῳ· οὐ γὰρ περὶ μέρους χώρας οὐδὲ περὶ δόξης, ἀλλ' ἀναστάσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος ὁ κίνδυνός ἐστιν αὐτοῖς.“ καὶ εἰς τοῦτο παράδειγμα· „καὶ ἴσασιν ἅ τ' Ἀμφιπολιτῶν ἐποίησε τοὺς παραδόντας αὐτῷ τὴν πόλιν, καὶ Πυδναίων τοὺς ὑποδεξαμένους·“ οὐ γὰρ ἰδίοις ἐνθυμήμασιν ὁ ῥή-*
603 *τωρ τοῦτο, ἀλλὰ τοῖς πρὸς ἄλλους πεπραγμένοις ἐπιστώσατο. δεῖ δὲ τὰ παραδείγματα γνώριμα εἶναι τοῖς ἀκούουσι καὶ προσεχῆ τῷ πράγματι· εἰ δὲ καὶ πόρρωθεν λαμβάνοιτο, δεῖ αὐτὰ προσάγειν τῷ λόγῳ καὶ μηδὲν ἐξ ἀδόξων λαμβάνεσθαι, ἀλλ' ἢ τὰ πρόσωπα ἢ τὰ πράγματα ἢ καὶ ἀμφότερα ἔνδοξα εἶναι. ἀμφότερα μὲν ἔνδοξα ἐν ἐκείνῳ τῷ παραδείγματι, οἷον ὑμεῖς ἐσώσατε Λακεδαιμονίους καὶ οὐκ ἐμνησικακήσατε, ἀλλ' ἐβοηθήσατε. ἔνδοξον καὶ τὸ τῶν βοηθησάντων πρόσωπον, τὸ τῶν Ἀθηναίων. ἔνδοξον δὲ τὸ πρᾶγμα μόνον τὸ „Λάμπιν Αἰγινήτας κοσμήσαντα τὸ ἐμπόριον αὐτοῖς μὴ πεποιῆσθαι πολίτην, μηδὲ Μεγαρέας Ἕρμωνα τὸν κυβερνήτην· τὰ μὲν γὰρ πρόσωπα μικρά, τὸ δὲ ἐν τούτοις φρόνημα οὐ μικρόν. πάλιν τὸ πρόσωπον ἔνδοξον, ὡς ἐπὶ Ἀλκιβιάδην, ὅν φησιν ὁ Δημοσθένης κατὰ τὴν παλαιὰν ἐκείνην εὐδαιμονίαν γενόμενον καταγνωσθῆναι, ὅτι ἦν ὑβριστής· ἐνταῦθα γὰρ τὸ πρᾶγμα ἄδοξον, συνίστησι δὲ ὁ Δημοσθένης τὴν ἐπὶ τοὺς ὑβρίζοντας ὀργὴν ἐκ τῆς δόξης τοῦ προσώπου. τοῦ παραδειγματικοῦ εἴδους εἰσὶ καὶ αἱ καλούμεναι παραβολαὶ καὶ αἱ εἰκόνες. διαφέρουσι δὲ αἱ*
604 *μὲν παραβολαὶ τῶν παραδειγμάτων, ὅτι τὰ μὲν παραδείγματα ἐξ ἱστορίας λαμβάνεται, αἱ παραβολαὶ δὲ ἄνευ ἱστορίας καὶ ἀορίστως ἐκ τῶν γιγνομένων· „ὥσπερ γὰρ*

οἰκίας οἶμαι καὶ πλοίου τὰ κάτωθεν ἰσχυρότερα εἶναι·“ 2
ἡ δὲ εἰκὼν ἔστι μὲν ἡ αὐτὴ τῇ παραβολῇ, ἐναργέστερον (732)
δὲ ποιεῖ τὸν λόγον, ὥστε μὴ μόνον ἀκούειν, ἀλλὰ καὶ
ὁρᾶν δοκεῖν, οἷον πορεύεται διὰ τῆς ἀγορᾶς Ἀριστογεί-
των, ὥσπερ ὄφις ἢ σκορπίος ἠρκὼς τὸ κέντρον, ᾄττων
τῇδε κἀκεῖσε. τὸ μὲν γὰρ ὥσπερ ὄφις παραβολή, τὸ δὲ
ἠρκὼς τὸ κέντρον καὶ ᾄττων δεῦρο κἀκεῖσε ἐπίκοινον,
πρός τε τὴν παραβολὴν καὶ τοῦ Ἀριστογείτονος ἐναργῆ
παρέσχε τὴν ὄψιν τοῦ ὁρωμένου· καὶ πάλιν· „ἴσα βαί-
νων Πυθοκλεῖ τὰς γνάθους φυσῶν·“ παραδειγματικὰ
δὲ καὶ ὅσα εἰς μύθους ἀνήκει.

Τὰ δὲ ἐνθυμήματα ὠνόμασται ἢ ὅτι ὁ ῥήτωρ αὐτὸς 3
αὐτὰ εὕρηκε καὶ ἐνθυμεῖται, ἢ ὅτι προσενθυμεῖσθαι τοῖς
δικασταῖς, εἴ τι ἐλλείποι, καταλείπει. ἔχουσι δὲ ἐλλείμ-
ματα οἱ ῥητορικοὶ συλλογισμοί, καὶ ταύτῃ διαφέρουσι
τῶν ἐν φιλοσοφίᾳ συλλογισμῶν, ὅτι οἱ μὲν τὰ συμπε- 605
ράσματα ἐπάγουσιν, οἱ δὲ τὸ συμπεραινόμενον ἐκ τῶν
προτάσεων καὶ κατασκευῶν τῷ δικαστῇ προσενθυμηθῆ-
ναι καταλείπουσιν, οἷον „ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην
ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολε-
μεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ·“ ἡ ἐπαγωγὴ λείπει
εἰς τὸ τέλειον συλλογισμὸν εἶναι· ἀλλὰ Φίλιππος ταῦτα
πράττει, ἐξ ὧν ἁλωσόμεθα ἡμεῖς· Φίλιππος ἄρα ἡμῖν
πολεμεῖ. δοκεῖ δέ τισι καὶ ἡ συνεστραμμένη ἐκ τῶν πρώ-
των κατασκευῶν ἐπαγωγὴ ἐνθύμημα εἶναι, αἱ μὲν πρῶ-
ται κατασκευαί· „ἃ μὲν ἐπέδωκα, ταῦτά ἐστιν, ὧν οὐ-
δὲν σὺ γέγραψαι· ἃ δ' ἀντὶ τούτων ἡ βουλὴ γενέσθαι μοί
φησιν, ταῦτ' ἔσθ' ἃ διώκεις.“ ἐπὶ τούτοις ὡς ἀποδε-
δειγμένοις τὴν ἐπαγωγὴν συνέστρεψε. „τὸ λαβεῖν οὖν
τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι.“

Ταῦτα μὲν οὖν ἀπορίας ἔχει πλείονας, τόποι δὲ τῶν
ἐνθυμηματικῶν ἐπιχειρημάτων, ἀπὸ τῆς αἰτίας, ἀπὸ τοῦ

τίνος ἕνεκα, ἀπὸ τῆς ἰδιότητος, ἀπὸ πηλικότητος, ἀπὸ τῆς ποσότητος, ἀπὸ προσώπου, καιροῦ, τόπου, τρόπου, διαφορᾶς, ὅρου, ἀπὸ τοῦ ἴσου, ἀπὸ τοῦ ἐλάττονος, ἀπὸ τοῦ μείζονος, ἀπὸ τοῦ ἀντικειμένου, ἀπὸ τοῦ ἐναντίου, ἀπὸ τοῦ μαχομένου, ἀπὸ ἐκβάσεως, ἀπὸ τοῦ ἐμπεριεχομένου, ὕλης, ἀφορμῶν, ἀπὸ τῶν παρεπομένων, ἀπὸ τοῦ ἅμα, ἀπὸ τοῦ γένους, ἀπὸ τοῦ εἴδους, ἀπὸ τοῦ κα-
606 θόλου, ἀπὸ κρίσεως καὶ ὀνόματος, ἀπὸ συγκρίσεως καὶ ἀναπλασμοῦ, ἀπὸ τοῦ πρός τι, ἀπὸ τοῦ μέρους ἐπὶ τὸ ὅλον, ἀπὸ τοῦ ὅλου ἐπὶ τὸ μέρος, ἀπὸ τῶν πρὸ τοῦ πράγματος, ἀπὸ τῶν μετὰ τὸ πρᾶγμα.

Ἀπὸ μὲν αἰτίας· „σύνοιδεν ἑαυτῷ Φίλιππος πολλὰ ἠδικηκότι, καὶ διὰ τοῦτο μισοῦντας ὑμᾶς ἑαυτὸν καὶ εἰ καιροῦ λάβοισθε, τιμωρησομένους· διὰ ταῦτα ἐγρήγορεν, ἐφέστηκεν.“ ἀπὸ τοῦ τίνος ἕνεκα· „ἐγράφη τὸ ψήφισμα ὑπὸ Ἀριστοκράτους, ἵνα οἱ μὲν δύο τῶν βασιλέων ἐκπέσωσιν, εἷς δὲ κύριος τῆς Θρᾴκης ὁ Κερσοβλέπτης γένηται. οὗτοι οἱ δύο τόποι, ὁ ἀπὸ αἰτίας καὶ ὁ ἀπὸ τοῦ τίνος ἕνεκα, ὁ μὲν ἐκ τῶν παρεληλυθότων, ὁ δὲ ἐκ τῶν μελλόντων τὴν πίστιν ἔχουσιν. ἀπὸ τοῦ ἰδίου· Ἀλέξανδρος μόνος βασιλέων τὴν οἰκουμένην εἷλεν. παρὰ δὲ τῷ Δημοσθένει· „τὸ μὲν γὰρ πόλεις πολλὰς ᾑρηκέναι καὶ χώραν καὶ τόπους καὶ ἄλλοις πολλοῖς ὑπῆρξεν· ἴδιον δὲ καὶ μόνῳ Φιλίππῳ συμβεβηκός, τὸ ἐπειδὴ προδοτῶν ἐδεήθη, πλείονας εὑρεῖν ἢ ἐβούλετο.“ ἀπὸ πηλικότητος· οὕτως ἐκόσμησαν οἱ πρόγονοι τὴν πόλιν ὡς μηδενὶ τῶν ἐπιγιγνομένων μηδεμίαν ὑπερβολὴν λελεῖφθαι. καὶ ἐν τῷ κατὰ Τιμοκράτους· „μέγα; μεγάλῃ, μικρόν; μικρᾷ.“ εἴρηται δὲ ὁ λόγος περὶ τῆς ἐπὶ τοῖς ἀδικήμασιν ὀργῆς. ἀπὸ ποσότητος· „παρὰ μὲν τοίνυν τὰς τριάκοντα μυριάδας μυρίους δίδωσιν μεδίμνους, παρὰ
607 δὲ τὰς δέκα ὡσπερανεὶ τρισχιλίους.“ ἀπὸ προσώπου·

„οὐ γὰρ εἰς Δημοσθένην μόνον ὄντα με ἠσέλγηνεν, ἀλλὰ καὶ εἰς χορηγὸν ἡμέτερον·“ καὶ ὁ Αἰσχίνης· „πεπόρνευται Τιμάρχῳ, καὶ τούτου τεκμήριον τὸ Μισγόλᾳ καὶ Ἡγησάνδρῳ συνεῖναι·“ ἀπὸ γὰρ τῶν προσώπων ὡς ἐπιτηδείων εἰς τὴν πρᾶξιν τὴν πορνείαν συνέστησεν. ἀπὸ καιροῦ· „καὶ ταῦτα ἔγραψε Τιμοκράτης, Κρονίων ὄντων καὶ ἱερομηνίας καὶ διὰ ταῦτα τῆς βουλῆς ἀφειμένης.“ ἀπὸ τοῦ τόπου· „πάσης γὰρ οὔσης τῆς ἀκροπόλεως ἱερᾶς παρὰ τὴν χαλκῆν μεγάλην Ἀθηνᾶν ἐν δεξιᾷ τὴν στήλην ἀνέστησαν.“ καὶ πάλιν Δημοσθένης φησὶ τετυπτῆσθαι ἐπὶ τῆς ὀρχήστρας μέσης. ἀπὸ τρόπου· (733)
„ὅταν ὡς ὑβρίζων, ὅταν κονδύλοις, ὅταν ἐπὶ κόρρης.“ ἀπὸ διαφορᾶς· „τίνι διαφέρει δοῦλον ἢ ἐλεύθερον εἶναι; ὅτι τῷ μὲν δούλῳ τὸ σῶμα πάντων τῶν ἀδικημάτων ὑπεύθυνόν ἐστι, τοῖς δὲ ἐλευθέροις εἰς χρήματα ἡ ζημία.“ ἀπὸ ὅρου. „αἰτία μὲν γάρ ἐστι φίλων ἀνδρῶν ἁμαρτανόντων, κατηγορία δὲ ἐχθρῶν ἀδικούντων.“ καὶ ὁ Δημοσθένης· „ἢ γὰρ οὐχ ἱερόσυλοι οὗτοι, τὰ μὲν ἱερὰ τὰς δεκάτας τῆς θεοῦ καὶ πεντηκοστὰς τῶν ἄλλων θεῶν σεσυληκότες, καὶ ἀντὶ τοῦ ἀποδοῦναι αὐτὰς ἔχοντες, τὰ δὲ ὅσια, ἃ ἐγίγνετο ὑμέτερα, κεκλοφότες; δια- 608
φέρει δὲ τοσοῦτον αὐτῶν ἡ ἱεροσυλία τῶν ἄλλων, ὅσον οὐδὲν ἀνήνεγκαν εἰς τὴν ἀκρόπολιν δέον αὐτούς.“ ἀπὸ τοῦ ἴσου· „εἰ μηδ᾽ ἃ πάθοιτ᾽ ἄν, εἰ δύναιτο ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες οὐ τολμήσετε;“ ἀπὸ ἐλάττονος· „ἀλλ᾽ εἰ μὲν μίαν ἢ δύο ναῦς ἀπώλεσεν, ἐκρίνετ᾽ ἂν περὶ προδοσίας. ἐπειδὴ δὲ ἑξήκοντα μὲν ἔλαβε τριήρεις,“ καὶ τὰ ἑξῆς. ἐν τῷ κατὰ Μειδίου· „εἶτα τὸν μὲν χορευτὴν οὐδ᾽ ὁ προσκαλέσας ἀζήμιος ἔσται κατὰ τὸν νόμον, τὸν δὲ χορηγὸν οὐδ᾽ ὁ συγκόψας ὑφέξει δίκην.“ καὶ γὰρ τὸν χορευτὴν ὡς ἐλάττονα τοῦ χορηγοῦ ἀντέθηκε, καὶ τὸ προσκαλέσαι ὡς ἔλαττον τοῦ συγκόψαι.

3 ἀπὸ τοῦ μείζονος· „λέγονται χρήματα οἱ τριάκοντα δανείσασθαι“ καὶ τὰ ἑξῆς. εἶτα ἡ ἐπαγωγή· ὅτι ἐκεῖνοι μὲν τοῖς ἠδικηκόσιν εἰσενεγκεῖν τὰ χρήματα ᾑροῦντο, ὑπὲρ τοῦ μηδὲν λῦσαι τῶν ὡμολογημένων, ὑμῖν δ᾽ ἐξὸν ἄνευ δαπάνης τὰ δίκαια ποιῆσαι τοῖς εὐεργέταις, ψεύδεσθαι μᾶλλον αἱρήσεσθε. ὁ ἀπὸ τοῦ ἀντικειμένου τόπος καὶ ἀπὸ τοῦ ἐναντίου ἔδοξε τισὶν εἶναι ὁ αὐτός· ἔστι δὲ οὐχ ὁ αὐτός· ἐν μὲν γὰρ τῷ ἀντικειμένῳ ἐστὶ πρᾶγμα γεγονός, οἷον ἠρίστευκεν, οὐκ ἠρίστευκε· λέλοιπε τὴν τάξιν, οὐ λέλοιπεν· ἐν δὲ τῷ ἐναντίῳ δύο, ἢ λελοιπέναι τὴν τάξιν ἢ ἠριστευκέναι· ἔσται δὲ ἐξ αὐτῶν τῶν παρα-
609 δειγμάτων φανερώτερον. „εἶτα τοῦτο μὲν οὐχὶ λέγει τὸ ψήφισμα, εἰ δὲ βουλεύων ἐγὼ τοὺς πρέσβεις ᾤμην δεῖν προσάγειν, τοῦτό μου διαβάλλεις·“ εἶτα τὸ ἀντικείμενον· „ἀλλὰ τί ἐχρῆν με ποιεῖν; μὴ προσάγειν, γράφειν τοὺς ἐπὶ τοῦθ᾽ ἥκοντας·“ τῷ γὰρ προσαγαγεῖν ἀντίκειται τὸ μὴ προσαγαγεῖν. τὸ δὲ ἐναντίον, ὃ καὶ μικρὸν ἔμπροσθεν εἶπον· „ἀλλ᾽ εἰ μὲν δύο ναῦς ἢ τρεῖς ἀπώλεσεν ἡγούμενος ἡμῶν, περὶ προδοσίας ἂν ἐκρίνετο· εἰ δὲ ἑξήκοντα μὲν ἔλαβε τριήρεις καὶ πόλεις,“ καὶ τὰ ἑξῆς· τοῦτο τὸ ἐπιχείρημα καὶ ἀπὸ τοῦ ἐλάττονός ἐστι καὶ ἀπὸ τοῦ ἐναντίου· τὸ γὰρ ἀπολωλεκέναι τριήρεις τῷ μὴ ἀπολέσαι ἀντίκειται· τὸ δὲ προσκτήσασθαι ἐναντίον ἐστίν. ἀπὸ τοῦ μαχομένου· „θαυμάζω δὲ ὁρῶν Φιλίππῳ μὲν ὑμᾶς ὀργιζομένους, ὃς εἰρήνην ἐκ πολέμου ποιούμενος“ καὶ τὰ ἑξῆς. ὁ ἀπὸ τῆς ἐκβάσεως τόπος ἢ ἀπὸ τῶν πεπραγμένων ἢ ἀπὸ τῶν μελλόντων λαμβάνεται, ὡς ἐν τῷ κατὰ Ἀνδροτίωνος ὁ Δημοσθένης ἀντέθηκεν, ὅσα ἐκ τοῦ πεποιῆσθαι ναῦς ἐξέβη ἀγαθὰ καὶ ὅσα ἐκ τοῦ μὴ πεποιῆσθαι δεινά. τὰ δὲ [ὡς] μετὰ ταῦτα ἐκβησόμενα πῶς
610 εἰσήγαγεν ἐν τῷ πρὸς Λεπτίνην· εἰ γὰρ ὑπαρχουσῶν φησι τούτων φαίνονταί τινες ἀνάξιοι, τί χρὴ προσδοκᾶν τότε, ὅταν παντελῶς μηδὲν πλέον εἶναι μέλλῃ τοῖς χρηστοῖς. ἀπὸ δὲ τοῦ ἐμπεριεχομένου· περιέχεται τῇ κλοπῇ τὸ ἐπιορκεῖν, τῷ ἀγγεῖλαι τὰ ψευδῆ τὸ Φωκέας ἀπολωλέναι, τῷ κατατρῖψαι τοὺς χρόνους τὸ Θρᾴκην προδεδόσθαι. ἀπὸ ὕλης· εἰ λέγοι τις [ἂν] τὴν Μακεδονίαν ξύλα

ἄφθονα ἔχειν εἰς ναυπηγίαν, ὡς μηδὲ δεῖσθαι τῆς ἐν Πει- 3
ραιεῖ ναυπηγίας. ὅπερ οὖν περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν εἴρηται. ἀπὸ ἀφορμῶν· „ὁ δὲ ὡς οὐδὲν δεόμενος τῆς θαλάττης τριήρεις κατασκευάζεται, καὶ νεωσοίκους οἰκοδομεῖται.“ ἐκ γὰρ τούτων τὸ ἐπιβουλεύειν τῇ θαλάττῃ τὸν Φίλιππον συνέστηκεν.** ἀπὸ τοῦ ἅμα· „καὶ ἅμα Ἀρίστρατος ἐν Νάξῳ καὶ Ἀριστόλαος ἐν Θάσῳ, οἱ καθάπαξ ἐχθροὶ τῆς πόλεως, τοὺς Ἀθηναίων κρίνουσιν φίλους, καὶ Ἀθήνησιν Αἰσχίνης Δημοσθένους κατηγορεῖ.“ τεκμήριον γάρ ἐστι τοῦ καὶ τοῦτον ἐχθρὸν εἶναι τὸ (734)
ἐν τῷ αὐτῷ καιρῷ τὰ αὐτὰ τοῖς ὡμολογημένοις ἐχθροῖς πράττειν. ἀπὸ τοῦ γένους· γένος δέ ἐστι τὸ πλείονα εἴδη περιέχον· οἷον ἐὰν εἴπῃς ζῷον, καὶ ἄνθρωπον ἐρεῖς καὶ ἵππον καὶ κύνα καὶ βοῦν καὶ ὅσα ἄλλα εἰς τοῦτο τὸ ὄνομα τὴν ἀφορμὴν ἔχει· ἂν μὲν οὖν εἴπῃς, Χαβρίαν πολλὰς νίκας νενικηκέναι, γενικῶς εἴρηκας· ἐὰν δὲ καὶ ὀνομαστὶ μνημονεύῃς τῶν ἐν Αἰγύπτῳ, τῶν πρὸς Πελοποννησίους, τῶν πρὸς Γοργώπαν, τὰ εἴδη ταῦτά ἐστι· καὶ ἐν τῷ πρὸς 611
Λεπτίνην, πᾶσαν ἀναιρεῖ τὴν πολιτείαν κατὰ τοῦτον τὸν λόγον, [καὶ] τοῦτο γενικῶς, εἶτα ἐπήγαγεν καὶ τὰ εἴδη· „καὶ γὰρ ψηφίσματα πολλάκις καὶ συμμάχους ἥττους ἀντὶ κρειττόνων ἐπείσθητε ἑλέσθαι.“ ἐκ γὰρ τῶν εἰδικῶν τούτων κατεσκεύακεν πᾶσαν ἀναιρεῖσθαι τὴν πολιτείαν. ἀπὸ τοῦ καθόλου· τοῦτο δέ ἐστιν οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδέν, μηδὲ τὸ τὴν εὔνοιαν ἴσην ἔχειν, ἀλλὰ καὶ τὸ τῇ τάξει καὶ τῇ ἀπολογίᾳ, ὡς βεβούληται καὶ προῄρηται τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι χρήσασθαι· ὧν γὰρ αὐτὸς ὁ ῥήτωρ ἐδεῖτο, ταῦτα εἰς τὸ καθόλου καὶ τὸ κοινὸν ἀνήγαγεν. ἀπὸ κρίσεως· πολλοὶ τῶν Ἑλλήνων εἰσὶν ἐψηφισμένοι τοῖς ὑμετέροις νόμοις χρῆσθαι· κέκριται γὰρ τὸ ἀρίστους εἶναι τοὺς Ἀθηναίων νόμους. δεῖ δὲ τὰς κρίσεις λαμβάνειν ἢ ἀπὸ ἐνδόξων προσώπων ἢ ἀπὸ πλήθους κεκρικότος [ἢ]. ἀπὸ ὀνόματος· πάνυ καὶ σφόδρα τοῦτο δῆλον τῷ μὴ τῶν πεφευγότων εἰπεῖν, ἀλλ' ἐξεληλυθότων, καὶ ὧν τὰ χρήματα ἐπίτιμα· τοῖς γὰρ ὀνόμασιν ἐπιστώσατο τὸ μὴ περὶ τῶν ἑκουσίων, ἀλλὰ ἀκουσίων γεγράφθαι τὸν νόμον. ἀπὸ συγκρίσεως· ἐπὶ τοῦ Θε-

μιστοκλέους τειχισμοῦ καὶ τοῦ Κόνωνος. ἀπὸ ἀνα-
πλασμοῦ· „εἰ γὰρ ἡμᾶς δεήσειεν αὐτοὺς τριάκοντα ἡμέ-
ρας μόνον ἔξω τῆς πόλεως στρατοπεδεύσασθαι,“ καὶ τὰ
612 ἑξῆς. ἀπὸ τοῦ πρός τι· εἰ αὕτη μεμοίχευται, καὶ ὁ συνελ-
θὼν αὐτῇ μοιχός ἐστιν, ὡς ἐπὶ τοῦ μεταπεμψαμένου τὴν
ἑαυτοῦ γυναῖκα· καὶ παρὰ Δημοσθένει· „εἰ Φιλοκράτης
πέφηνε πυροπολῶν ἢ ξυληγῶν, τὸ χρυσίον ἐπὶ τῶν
τραπεζῶν καταλλαττόμενος, καὶ τούτων κοινωνῶν. τῶν
πραγμάτων Αἰσχίνης, εὔδηλον, ὅτι καὶ οὗτος δεδωροδό-
κηκεν.“ ἀπὸ τοῦ μέρους ἐπὶ ὅλον· οἷον εἰ ζητουμένων
χρημάτων μέρος τι ἀπὸ τούτων φαίνοιτό τις ὑφῃρημέ-
νος· τεκμήριον γὰρ τοῦτό ἐστι τοῦ καὶ πᾶν ὑφῃρῆσθαι,
ὡς ὁ Θουκυδίδης· „δοκεῖ δέ μοι δηλοῦν ἀνδρὸς ἀρετὴν
πρώτη τε μηνύουσα καὶ τελευταία βεβαιοῦσα ἡ νῦν τῶν-
δε καταστροφή·“ τὸν γὰρ ἐν τοῖς πολέμοις θάνατον μέ-
ρος ὄντα ἀρετῆς εἰς ὅλην τὴν ἀρετὴν ἀνήνεγκεν. ἀπὸ δὲ
τοῦ ὅλου ἐπὶ τὸ μέρος, εἰ ἀδήλου ὄντος, εἰ ἠδίκηκέ τις ἐφ'
ᾧ κρίνεται, ἔχοι τὸν ὅλον αὐτοῦ βίον ἐλέγχειν· ὡς ὁ Δη-
613 μοσθένης ἐν τῇ περὶ τοῦ συμποσίου διαβολῇ· ἐπειδὴ γὰρ
ἀμάρτυρα ἦν τὰ πρὸς τὴν Ὀλυνθίαν γυναῖκα, ἐκ τοῦ ἄλ-
λου βίου ταῦτα ἐπιστώσατο· οὐκ ἴσασιν οὗτοί σε τὸ μὲν
ἐξ ἀρχῆς ἐν θιάσοις καὶ μεθύουσιν ἀνθρώποις καλινδού-
μενον, καὶ ὅσα ἄλλ' εἴρηται. ἀπὸ τῶν πρὸ τοῦ πράγματος·
„νυνὶ γὰρ ὃ πάντες ἐθρύλουν, ὡς Ὀλυνθίους ἐκπολεμῶ-
σαι δεῖ Φιλίππῳ, γέγονεν αὐτόματον·“ τὸ γὰρ ὅτι συμ-
φέρει πέμψαι τὴν βοήθειαν τοῖς πρὸ τοῦ πράγματος εἰρη-
μένοις πεπίστωται· καὶ πάλιν τῆς Αἰσχίνου δωροδοκίας
τεκμήριον ποιεῖται τοὺς λόγους, οὓς πρότερον διεξῆλθεν,
ὅτε ἀδωροδόκητος ἦν· ἔστι γὰρ οὗτος ὁ πρῶτος ἁπάντων,
ὡς τότε δημηγορῶν ἔφη. ἀπὸ δὲ τῶν ὕστερον τοῦ πράγμα-
τος ὁ Δημοσθένης· ἐκ μὲν ὧν οἱ παρὰ Φιλίππου πρέσβεις
ἔλεγον ἐδήλουν τὰ ἐκ τῆς Ἀττικῆς εἰς τὴν Βοιωτίαν κο-
μισθησόμενα, ἐκ δὲ ὧν ἡμᾶς ἔφασαν τὰ ἐκ τῆς Βοιωτίας
διαρπασθησόμενα· δηλοῦται γὰρ ἐκ τῶν ἐπιγενησομέ-
νων, ὅτι οἱ παρὰ Φιλίππου πρέσβεις ἀπεδείκνυσαν συμ-
φορώτερον εἶναι Θηβαίοις Φιλίππῳ βοηθεῖν ἢ Ἀθηναίοις.

Τέλος Μινουκιανοῦ.

VIII.

ΑΝΩΝΥΜΟΥ

ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ.

ΤΕΧΝΗ ΤΟΥ ΠΟΛΙΤΙΚΟΥ ΛΟΓΟΥ. Ed. Par. p.183.

ΠΕΡΙ ΠΡΟΟΙΜΙΩΝ.

Ὁ πολιτικὸς ἤτοι δικανικὸς λόγος εἰς τέσσαρα μέρη διαιρεῖται τὰ προκείμενα· χρῄζομεν γὰρ ἐν αὐτῷ προοιμίων μὲν πρὸς τὸ προσεχεστέρους ποιῆσαι τοὺς ἀκροατάς, διηγήσεως δὲ πρὸς τὸ διδάξαι τὸ πρᾶγμα, τῶν δὲ πίστεων πρὸς τὸ κατασκευάσαι ἢ ἀνασκευάσαι τὸ προ- 184 κείμενον· τοὺς δὲ ἐπιλόγους ἐπάγομεν πρὸς τὸ ἐπιρρῶσαι τὸν ἀκούοντα εἰς τὴν ὑπὲρ ἡμῶν ψῆφον. πρῶτον μὲν οὖν περὶ προοιμίων λεκτέον, καὶ ἑξῆς περὶ τῶν λοιπῶν.

Ἔνιοι μὲν τῶν τεχνογράφων ἐκ τῶν αὐτῶν ὁρμᾶσθαι τὸ προοίμιον καὶ τὸν ἐπίλογόν φασιν, Ἀλέξανδρος δὲ οὐκ ἀληθές φησι τοῦτο· ἐνίοτε γὰρ ἑτέρας μὲν ὕλας ἔχει τὸ προοίμιον, καὶ ἑτέρας ὁ ἐπίλογος. ἰστέον ὅτι κυρίως προοίμια ἔλεγον οἱ παλαιοὶ τὰ τῶν κιθαρῳδῶν· οἴμας γὰρ ἐκάλουν οὗτοι τὰς ᾠδάς. τὸ οὖν ἀνάκρουμα τὸ πρὸ τῆς ᾠδῆς τῆς κιθάρας προοίμιον ἐκάλουν· ἀπὸ τούτων καὶ ἐπὶ τὸν ῥητορικὸν μετενήνεκται λόγον τὸ ὄνομα.

Ὁρίζονται δὲ αὐτὸ οὕτως·

Προοίμιόν ἐστι λόγος κινητικὸς ἢ θεραπευτικὸς τῶν τοῦ ἀκροατοῦ παθῶν. παρασκευάσαι γὰρ ἀκροατὴν ἀδύνατον, μὴ κινήσαντα ἢ θεραπεύσαντα τὰ ἐν αὐτῷ πάθη. ὅτι δὲ πάθος πρόσκαιρος κατάστασις ψυχῆς, σφοδροτέραν ὁρμὴν ἢ ἀφορμὴν κινοῦσα, οἷον ἔλεον, ὀργήν, φό-

βον, μῖσος, ἐπιθυμίαν· διαφέρει δὲ τοῦ ἤθους ὅτι τὸ μὲν δυσκίνητον, τὸ δὲ εὐκίνητον. ἦθος γάρ ἐστι ψυχῆς διάθεσις ἐνεσκιρρωμένη καὶ δυσεξάλειπτος, οἷον τῶν πατέρων πρὸς τοὺς παῖδας. λαμβάνεται δὲ τὰ προοίμια ἐκ τεσσάρων τούτων· ἐκ τοῦ αὐτοῦ, ἐκ τοῦ ἀντιδίκου, ἐκ τῶν δικαζόντων, ἐκ τῶν πραγμάτων. ἐκ τοῦ αὐτοῦ, ὡς Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος, ὕβρεως. ἂν δὲ ὑπὲρ ἑτέρου λέγῃς, καὶ τοῦτο ἐπισημαίνεσθαι δεῖ, ὥσπερ πεποίηκε Λυσίας λέγων· ἐπιτήδειός μοί ἐστιν Ἄρχιππος οὑτοσί, ὦ δικασταί. ἐκ τοῦ ἀντιδίκου, ὡς ἐν τῷ κατὰ Μειδίου· τὴν μὲν ἀσέλγειαν. ἐκ τῶν ἐκείνῳ συναγορευόντων, ὡς Δημοσθένης· εἰ μὲν ὅτῳ πλεῖστοι συνείποιεν, ὦ βουλή. ἐκ δὲ τῶν πραγμάτων, ὡς Λυκοῦργος ἐν τῷ κατ' Αὐτολύκου· πολλῶν δὲ καὶ μεγάλων ἀγώνων εἰσεληλυθότων οὐδέποτε περὶ μειζόνων ἥκετε δικάσοντες. ἐκ δὲ τῶν ἀκροατῶν, ἢ τῶν δικαστῶν, ὡς Ἰσοκρά-
185 της· εἰδότες ὑμᾶς ὦ Ἀθηναῖοι.

Τοπικὰ δὲ προοίμια Ἁρποκρατίων φησὶ τὰ περιστατικά. σκοπὸς δὲ τοῦ προοιμίου τὸ τοιόνδε παρασκευάσαι τὸν ἀκροατήν· τέλος δὲ τὸ προσέχειν, καὶ εὐμάθειαν καὶ εὔνοιαν ἀπεργάσασθαι· εἰδότες γὰρ οἱ ἀκούοντες περὶ ὧν οἱ λόγοι εὐμαθέστεροι γενήσονται.

Εὐμάθειαν δὲ ποιεῖ προέκθεσις ἀνανέωσις μερισμός. προέκθεσις μέν ἐστιν, ὅταν ἃ μέλλει τις λέγειν, ὡς ἐν κεφαλαίῳ προεκθῆται· ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· περὶ μὲν οὖν τοὺς πολίτας καὶ τοὺς οἰκείους οἷος γεγένηται, καὶ τὴν πατρῴαν οὐσίαν ὡς αἰσχρῶς ἀνάλωκε, καὶ τὴν ὕβριν εἰς τὸ αὑτοῦ σῶμα, ὑμεῖς ἴστε, καὶ ἱκανῶς ὑμᾶς ἀνέμνησεν ὁ παρ' ἐμοῦ λόγος· δύο δέ μοι τῆς κατηγορίας εἴδη λείπεται, καὶ ἑξῆς. μερισμὸς δέ ἐστιν εἰς μέρη περιγραφὴ τῶν ὅλων πράξεων, ὡς πεποίηκεν ὁ Δημοσθένης· βούλομαι δὲ ὑμᾶς ἀναμνῆσαι τίνων προσή-

ιει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν, πρῶτον μὲν ὧν ἐπήγγειλε, δεύτερον δὲ ὧν ἔπραξε, καὶ ἑξῆς. ἰστέον δὲ ὡς μερισμὸς καὶ προέκθεσις καὶ ἐν ἀρχῇ τοῦ λόγου παραληφθήσεται, ἀνανέωσις οὐκέτι· τῶν γὰρ μὴ προειρημένων οὐκ ἔστιν ἀνανέωσις.

Προσοχὴν δὲ ἀπεργάσῃ ἔκ τε τῶν προειρημένων καὶ πρὸς τούτοις εἰ ἀξιόπιστος φαίνοιο, ἢ πολλῶν ἔμπειρος εἶναι πραγμάτων προσποιοῖο, ἢ αὐτὸς πειραθεὶς ἢ καὶ παρ' ἄλλων πειραθέντων μαθὼν καὶ συμβουλεύσας. ὥσπερ ὁ παρ' Ὁμήρῳ Νέστωρ εἰσάγει ἑαυτὸν τοῖς περὶ Καινέα καὶ Ἐξάδιον συμβουλεύσας, καὶ ὅτι πειθήνιοι ἦσαν αὐτῷ, οὕτω καὶ πρότερον δηλώσεις καὶ αὐτός, ὡς πεισθέντες μὲν κατώρθωσαν, μὴ πεισθέντες δὲ ἀπώλοντο. καὶ τὸ ἐπιτιμᾶν δὲ τοῖς ἄλλοις δοκεῖ προσοχὴν καὶ φόβον κινεῖν, καὶ εἰ νόμιμα λέγειν προσποιοῖο, καὶ εἰ ἢ αὐτὸς ἔνδοξος φαίνοιο, ἢ τοῖς τῶν ἐνδόξων προσχρώμενος καλοῖς, περὶ μεγάλων δὲ ἢ καλῶν ἢ συμφερόντων λέγοις ἐληλυθέναι, καὶ εἰ προσυπισχνοῖο, ὅτι καινὰ καὶ ὅτι διὰ βραχέων καὶ σαφῶν καὶ περὶ ἀναγκαίων ἐρεῖς.

Εὔνοιαν δὲ ἐργάσῃ ἢ φύσει οἰκειούμενος, ἢ συνη- 186
θείᾳ, ἢ φιλίᾳ πατρῴᾳ, ἢ εἰ κοινῇ συμφέρειν λέγοις, ἢ τῶν αὐτῶν ἐφίεσθαι. εὔνοιαν δὲ ποιεῖ καὶ τὸ χρηστὸν εἶναι· χρηστὸν δὲ εἶναι δείκνυσι τὸ τοὺς ἐπιεικεῖς ἐπαινεῖν, καὶ τὸ τοὺς θρασυτέρους προάγειν, καὶ τὸ μηδενὶ φθονεῖν· καὶ τὸ μὴ διαρρήδην λέγειν τά τε αὑτοῦ ἀγαθά, καὶ τὰ [περὶ] τοῦ ἀντιδίκου κακά, καὶ τὸ τοῦ μὲν κατηγόρου τὰ πολλὰ ἐᾶν, αὐτὸ δὲ τὸ πρᾶγμα λαλεῖν, καὶ μὴ μόνον αὐτὸν ἀλλὰ καὶ ἕτερον ἄχθεσθαι λέγειν, καὶ εἰ φιλανθρωπότερον δὲ ἀπαγγείλοις τὰ πικρότερα τῶν νοημάτων. ποιεῖ δὲ εὔνοιαν καὶ τὸ δοκεῖν ἐπιεικῆ τὸν λέγοντα εἶναι, ἐπιεικὴς δὲ δόξεις, εἰ μὴ θρασέως ἐπὶ τὰς δίκας ὁρμῶν φαίνοιο, ἀλλὰ πολὺν χρόνον κατεσχημένος

καὶ διαλλαγῆναι πρὸς τὸν ἀντίδικον ἐθελήσας, εἰς μετριωτέραν αὐτὸν πολλάκις δίκην προσκαλεσάμενος, καὶ τοῖς ὑπ' ἐκείνου προσκαλουμένοις δοκῶν ἐπιμένειν, καὶ μετρίας ὁρίζειν τὰς τιμωρίας, ἤτοι τοῦ ἀντιδίκου, καὶ τῇ ἐκβολῇ τοῦ λόγου μὴ πικρᾷ χρώμενος, καὶ τὰ τούτοις παραπλήσια. διαφέρει δὲ τοῦ ἐπιλόγου τὸ προοίμιον, ὅτι ἐν τῷ προοιμίῳ τὸ σχῆμα καὶ τὴν ἑρμηνείαν μέτριον εἶναι δεῖ καὶ τιθασσὸν ὡς ἂν εἴποι τις, ἐν δ' ἐπιλόγοις τὸ σχῆμα συγκεκινημένον καὶ πολλὰς μὲν ἐμβοήσεις ἔχον, πολλοὺς δὲ σχετλιασμούς, τήν τε ἑρμηνείαν συγκειμένην ἐκ τροπικῆς μᾶλλον καὶ σημειώδους λέξεως, δυναμένης μέντοι πεσεῖν εἰς πολιτικοὺς λόγους· ἔτι δὲ καὶ τούτῳ διαφέρει, ὅτι πολλὰ τῶν ἐν τοῖς προοιμίοις οὐκέτ' ἐν ἐπιλόγοις λεκτέον· οὐ μόνον δὲ τῶν προοιμίων εἰσί τινες ὗλαι αἷς οὐ χρώμεθα ἐν τοῖς ἐπιλόγοις, ἀλλὰ καὶ τῶν ἐπιλόγων, ὧν οὐκ ἔστιν ἐν τοῖς προοιμίοις χρεία. ποιήσομεν τὸ προοίμιον εἰ τῶν κεφαλαίων τῶν ἀναγκαίων ἐν τούτοις τὰς ὑπολήψεις ληψόμεθα, ἐν δὲ τῷ ἐπιλόγῳ ἀνάγκη πᾶσα ἕν τι λαμβάνειν αὐτῶν εἰς ἐπίρρωσιν ἢ παραίτησιν. ἰστέον ὅτι πολλάκις δεῖ παραιτεῖσθαι τὰ προοίμια· οὐ γὰρ ἀεὶ προοιμιαστέον. ὅταν γὰρ μὴ πάθος ἔχῃ τὰ πράγματα, οὐ προοιμιαστέον. πολλὰ δ' εἰσὶ τοιαῦτα, οἷον ὅταν ἢ περὶ κυνιδίου ἢ ἀργυρίου δίκη ᾖ· ἐνταῦθα γὰρ περιττὸν τὸ προοίμιον, εἴγε τοῦτο μέν ἐστι παθῶν προθεραπεία, μὴ ᾖ δὲ ἐν τούτοις πάθος. δεύτερον ὅταν πάθος μὲν ἔχῃ, ὁ δὲ ἀκροατὴς μὴ προσίηται τὸν ἔξω τῶν πραγμάτων λόγον ἤτοι σπεύδων ἢ ὀργιζόμενος. τρίτον ὅταν οἰκεῖοι ὦσιν οἱ ἀκούοντες· περιττὸν γὰρ τὸ πειρᾶσθαι εὔνους ἡμῖν ποιεῖν τοὺς ἀκούοντας οἰκείους ὄντας. τέταρτον ὅταν ὀλίγον λαμβάνωμεν ὕδωρ,
187 πρὸς ὃ δεῖ λέγειν τὸν λόγον· ἐνταῦθα γὰρ ἡ τῶν ὠφελιμωτέρων διήγησις ἀναγκαιοτέρα.

Τινὲς δὲ ἔφασαν ὥσπερ οἱ Ἀπολλοδώρειοι, ἀεὶ δεῖν
ρῆσθαι προοιμίοις, λέγοντες οὕτως, τὸν μὲν λόγον ἐκ
ιερῶν συγκεῖσθαι, τὸν δὲ μὴ ἐκ πάντων συγκείμενον
ὔτε ὁλόκληρον εἶναι, οὔτε ὑγιῆ· μάλιστα μὲν οὖν φασὶν
ὐδὲν τῶν τοῦ λόγου μερῶν παραλειπτέον, ἐξαιρέτως δὲ
τροοίμιον· δόξει γὰρ ἀκέφαλός τις ὁ λόγος εἶναι ὅλος,
ιὰ τὸ ὅπερ κεφαλὴν τοῦ παντὸς λόγου τὸ προοίμιον εἶ-
ναι· εἰ δὲ τοῦτο, φασίν, παραιτησόμεθα καὶ τὸν ἐπίλο-
γον ἐξ ἀνάγκης, διὰ τὸ τοῦ παθητικοῦ μέρη εἶναι ἀμφό-
τερα. ἔτι δὲ τοιοῦτό τι λέγουσι. πότερον γὰρ παρα-
λείψομεν τὸ προοίμιον ἢ τοὺς ἐπιλόγους; εἰ μὲν οὖν
τοὺς ἐπιλόγους, ἀτελὴς ἔσται μάτην εἰρημένος ὁ λόγος
τοῖς μεταξὺ εἰρημένοις εἰς λήθην τῶν καιριωτέρων τῶν
ἀκροατῶν ἐμπεπτωκότων· εἰ δὲ μὴ παραλείψομεν τού-
τους, οὐδὲ τὸ προοίμιον. πρὸς δὲ τούτοις κἀκεῖνό φασιν.
ἔργον μὲν εἶναι προοιμίου καὶ τέλος, τὸ τὸν ἀκροατὴν
εὔνουν παρασκευάσαι πρὸς τὰ λεχθησόμενα, τούτου δὲ
παραλειφθέντος μηδὲν τῶν προειρημένων γενήσεσθαι.
ἐφ' ἅπασιν ἐκεῖνο λέγουσιν, ὅτι πολλοὶ τῶν ἀρχαίων λό-
γους συνέγραψαν, ὧν οὐδείς ἐστιν ἀπροοιμίαστος.

Οὗτοι μὲν οὖν οὕτως, Ἀλέξανδρος δὲ ὁ τοῦ Νουμη-
νίου πρὸς ἕκαστον τῶν εἰρημένων ἀπαντῶν, πρῶτον
μὲν ἐκεῖνο μέμφεται, ὡς οὐκ ὀρθῶς τῆς ῥητορικῆς κατω-
στεύκασιν τὴν φύσιν· στοχαστικῆς γὰρ αὐτοὺς λελή-
θασι, φησίν, ὡς περὶ ἐπιστημῶν διαλεγόμενοι· διαφέρει
δὲ ἐπιστήμη τῆς τέχνης, καθὸ ἡ μὲν ἀδιαπτώτων ἐστὶ
θεωρημάτων καὶ μίαν ἐχόντων τὴν φύσιν, τέχνη δὲ ἐκ
γινουμένων καὶ ἄλλοτε ἄλλην αναλαμβανόντων φύσιν.
τέχνης οὖν οὔσης τῆς ῥητορικῆς, καὶ τῶν θεωρημάτων
αὐτῆς πρὸς τοὺς καιροὺς ἁρμοζομένων, ἁμαρτάνουσιν 188
ἐπιστημονικῶς διδόντες τὰ θεωρήματα, καὶ λέγοντες ἀεὶ 31
δεῖν προοιμιάζεσθαι, ἀλλὰ τοῦτό φαμεν, ὡς ἐπειδὴ ἄλ-

λοτε ἄλλοις περιπίπτομεν πράγμασιν, ἡ δὲ τέχνη ἡμῶν πρὸς τὸ χρήσιμον τῶν παρόντων ἁρμοζομένων, ἂν μὲν συμφέρῃ, προοιμιαστέον, εἰ δὲ μή, παραλειπτέον τοῦτο· οὐ γὰρ εὐκαίρως παραλειφθέντα βλάψει. ἀλλὰ μᾶλλον ἀκολούθως ῥητέον, καὶ πρῶτον πρὸς τὸ ὅτι οἱ ἀρχαῖοι συνέταξαν λόγους, ὧν οὐδεὶς ἀπροοιμίαστος, ἐκεῖνό φαμεν, ὅτι οἱ ἀρχαῖοι ἀγωνιζόμενοι πολλάκις οὐκ εἶπον προοίμια, συντάσσοντες δὲ μετὰ προοιμίων ἐβουλήθησαν συντάξαι· μάρτυς τοῦ λόγου Θουκυδίδης ἐν ῇ φησὶ δημηγοριῶν, Ἀλκίδα καὶ Λακεδαιμόνιοι, ἐμοὶ δοκεῖ πλεῖν ἡμᾶς ἐπὶ Μυτιλήνην. καὶ Μένανδρος ἐν τοῖς Ἐπιτρέπουσιν τὴν δίκην ἄνευ προοιμίων πεποίηκεν· οὐδὲν δὲ διαφέρειν ἢ ἐνταῦθα οὕτως αὐτὰ κεῖσθαι, ἢ ἐν δικαστηρίοις λέγεσθαι. πρὸς δὲ τούτοις ἡ ἐν Ἀρείῳ πάγῳ βουλὴ οὔτε προοιμιάζεσθαι εἴα, οὔτε ἐπιλογίζεσθαι. πρὸς δὲ τὸ ὅτι παρασκευαστικὸν ἀκροατῶν τὸ προοίμιον, ἐκεῖνό φησιν, ὅτι ὅτε μὲν παρασκευάσαι δεῖ, τότε παρασκευάσοιμι, ἐὰν δὲ ὦσι παρεσκευασμένοι, περιττὸν προοιμιάζεσθαι. τοῦτο δὲ καὶ Μένανδρον εἰδέναι· ἐν γὰρ τῇ Ἐπικλήρῳ δικαζομένων τοῦ τε ἀνδρὸς καὶ τῆς γυναικός, καὶ τοῦ παιδίου δικάζοντος, οὐκ ἔθηκεν οὐδετέρῳ προοίμιον, διὰ τὸ τὴν εὔνοιαν προϋπάρχειν τοῦ ἀνδρός, ὁμοίως δὲ κἂν πρὸς τὴν γυναῖκα τὴν ἰδίαν διαλεγώμεθα· κἂν ὀλίγον ἔχωμεν ὕδωρ, παραλείψομεν τὸ προοίμιον. ἐνίοτε δὲ καὶ πρὸς λίαν ἀντιπαρατεταγμένους τὴν παρασκευὴν ποιούμενοι μᾶλλον ἐρεθίζομεν αὐτοὺς καὶ λυποῦμεν. πρὸς δὲ τὸ πῶς ἡμῖν ἡ διήγησις παραδεχθήσεται, μὴ προπαρεσκευασμένου τοῦ ἀκροατοῦ τῷ προοιμίῳ πρὸς τὴν ἀκοήν, ἐκεῖνο ἐροῦμεν, ὅτι ὅταν μὲν οἰώμεθα μὴ παραδεχθήσεσθαι τὴν διήγησιν, τότε προοιμιασόμεθα· ὅταν δὲ εὐπαράδεκτος ᾖ, τότε οὐκ ἀναγκαῖον προοιμιάζεσθαι. δεῖ δὲ προοιμιαζόμενον ἀπὸ μὲν τοῦ

πράγματος ποιεῖν νοήματα, μὴ μέντοι ἢ αὐτὸ τὸ πρᾶγμα διεξιέναι, ἢ τὰς εἰς τὸ πρᾶγμα κατασκευὰς ἀναλίσκειν. τὸ μὲν γὰρ διηγηματικόν, τὸ δὲ κεφαλαιῶδες καὶ ἐπιχειρηματικόν. δεῖ τοίνυν συνεστραμμένον εἶναι τὸ προοίμιον, 189 καὶ σπερματικῶς ἔχειν τὰ πράγματα, καὶ ἀπηλλάχθαι πάσης ἀγωνιστικῆς ἐπιχειρήσεως.

Τινὲς δὲ ἐπὶ τῆς αὐτῆς ὑποθέσεως ἔφασαν δύνασθαι εἶναι καὶ πολλὰ προοίμια καὶ ἕν, τῶν μὲν ὑπολήψεων τῶν αὐτῶν οὐσῶν, ταῖς δὲ κατασκευαῖς θεραπευομένων. ἐπεὶ οὖν, φασί, διάφοροί εἰσιν αἱ κατασκευαί, ἔσται πολλὰ προοίμια. ταὐτὸ δὲ τοῦτο πῇ μὲν ὀρθῶς ἔχει, φησί, πῇ δὲ φαύλως· τὸ μὲν γὰρ τῶν ὑπολήψεων, ὅτι αἱ αὐταὶ οὖσαι ταῖς κατασκευαῖς θεραπεύονται καλῶς φασίν. ἐπεὶ δὲ αἱ αὐταί εἰσιν ὑπολήψεις, μᾶλλον ἓν ἂν γένοιτο προοίμιον, ἢ ἐπειδήπερ αἱ κατασκευαὶ διάφοροί εἰσι, πολλά· τὸ γὰρ ὁλοσχερέστερον ἐν τοῖς ἐπὶ μέρους, ἐστὶ κυριώτερον καὶ δυνατώτερον. μᾶλλον οὖν λέγομεν, φησί, ὅτι ἕν ἐστι προοίμιον, ἐπεὶ αἱ αὐταὶ ὑπολήψεις εἰσίν· οὐ γὰρ ἐπειδὴ πολλαὶ τῶν ὑπολήψεων θεραπεῖαι, πολλὰ ζητητέον προοίμια, ἀλλὰ μᾶλλον ἐπειδὴ ὑπολήψεις εἰσὶν αἱ αὐταί, ἓν εἶναι προοίμιον νομιστέον. ταῦτα περὶ προοιμίων.

ΠΕΡΙ ΔΙΗΓΗΣΕΩΝ.

Περὶ δὲ τῆς διηγήσεως τοσαῦτα εἰπεῖν ἔχομεν, πρῶτον ἐκεῖνο εἰπόντες, ὅτι ἐπειδὴ πολλάκις δυσχερὴς ἡμῖν ὁ λόγος γίνεται διὰ τὸ πρὸς οἰκείους ἔχειν, χρὴ τὴν αἰτίαν τούτων εἰς τοὺς ἀντιδίκους μετάγειν, τὰ πλήθη ἐπιδεικνύντας τῶν ἀδικημάτων ὧν μέλλομεν πάσχειν μὴ ὑποστάντες τὴν δίκην· ἢ ὅτι οἱ νόμοι τοῦτο ποιεῖν συγκεχωρήκασιν. οὕτω γὰρ ἡγοῦντό τινας ἔσεσθαι περὶ τοὺς οἰκείους· ἐὰν δὲ δοκῇς ἄπιστα λέγειν, καὶ αὐτὸ

τοῦτο ἐπισημαίνου, καὶ ἐπαγγέλλου δείξειν, ὅτι ἀληθῆ λέγεις, ὡς ὁ Δημοσθένης, οὐκ ἀγνοῶ μὲν οὖν ὅτι τὸν Χαρίδημον. ἐὰν δὲ τῷ λέγειν ὑπὲρ ἑτέρου διαβληθῇς, λέγε ἢ ὅτι φίλος ἢ ὅτι ἐπιεικής, ἢ ὅτι ἰδιώτης, ἢ ὅτι ἐλεεινός, ἢ ὅτι σοὶ κἀκείνῳ κοινὸς ὁ ἀγών, ἢ ὅτι συμφέρει τῇ πόλει, ἢ καὶ νὴ Δία τὰ πλείονα τούτων ἅμα. χρήσιμον δὲ καὶ διὰ τὸ νέον εἶναι εἰς παίδευσιν ἀναφέρειν ἢ γένεσιν, καὶ ὅτι οὐδὲν κωλύει καὶ τοὺς νέους εἰδέναι τι τῶν χρησίμων, ὡς ὁ παρ' Ἰσοκράτει Ἀρχίδαμος. ἐὰν δὲ παλαιός, λέγε ὅτι οὐ δεῖ τούτων μέμφεσθαι, ἀλλ' εἰ πεποίηκε τοῦτο δεικτέον, ἢ εἰ μέν ἐστιν ἀληθῆ, ἀλλ' οὔτι καθόλου, λέγε· πρὸς μὲν γὰρ τὰ διαβεβλημένα, πάνυ πειρῶ προάγειν ἀπολογίαν, ἣν ἂν δύναιο, εἰ δὲ μή, πάρες τὸν περὶ τού-
190 του λόγον· ἐγχωρεῖ γὰρ καὶ τὸν κατήγορον ἔλαττον ἢ πρὸς πίστιν εἰρηκέναι. τὰ δὲ σαθρότερα ἀνατρέπειν πειρῶ.

Ἔστι δὲ ἡ διήγησις κατὰ Νεοκλέα ἡ δικανικὴ ἔκθεσις πραγμάτων εἴς τινα προκειμένην ζήτησιν ἀνηκόντων, ἢ νὴ Δία περιστάσεως ἔκθεσις εἴς τινα ζήτησιν ἀνηκούσης, οὔτε δὲ τῶν ἐνεστώτων φησὶ διήγησιν εἶναι οὔτε τῶν μελλόντων, ἀλλὰ τῶν μὲν ἐνεστώτων ἔνδειξις, ὡς ἐν τῇ Ἀντιγόνῃ δεικνὺς τοὺς ἥρωας, τῶν δὲ μελλόντων πρόρρησις. Ζήνων δὲ οὕτω φησί· διήγησίς ἐστι τῶν ἐν τῇ ὑποθέσει πραγμάτων ἔκθεσις εἰς τὸ ὑπὲρ τοῦ λέγοντος πρόσωπον ῥέουσα. Θεόδωρος δὲ οὕτως ὁρίζεται· διήγησίς ἐστι πράγματος αὐτοτελοῦς κατὰ ψιλὴν ἀπόδοσιν ἔκθεσις περὶ τῶν ἤδη γεγονότων. τοῦτον τὸν ὅρον Ἀλέξανδρος ἀκριβῆ μὲν εἶναί φησιν, οὐ μὴν πομπικὸν οὐδὲ ῥητορικόν· δεῖ γὰρ σαφέστερον τὰ τοιαῦτα ὑπογράφειν. Ἀπολλόδωρος δὲ οὕτω· διήγησίς ἐστι περιστάσεως ἔκθεσις. μέμφεται δὲ Ἀλέξανδρος τοῦτον· ἡ γὰρ περίστασις ἄθροισμα προσώπων καὶ πράξεων καὶ παθῶν κα

ἰτιῶν καὶ ἀφορμῶν καὶ χρόνων ἐστίν, αἱ δὲ διηγήσεις τολλάκις ἑνὸς τούτων εἰσίν, οὐ πάντων, ὅθεν Ἀλέξαν- 191
ἰρος ὁρίζεται αὐτὴν οὕτω· διήγησίς ἐστιν ἔκθεσις καὶ ταράδοσις τῷ ἀκροατῇ τοῦ πράγματος οὗ κοινούμεθα ὑτῷ.

Διττῆς δὲ τῆς διηγήσεως οὔσης, τῆς μὲν γενικῆς ῆς δὲ εἰδικῆς, τὴν μὲν γενικὴν οὕτως ὁρίζονται· διήγη- ίς ἐστιν ἀπαγγελλία πραγμάτων γεγενημένων ἢ ὄντων πὶ κριτοῦ ἢ κριτῶν ὑπὲρ ὧν δεῖ φέρειν τὰς ἀποδείξεις· ῆς δὲ εἰδικῆς ἀποδόσεις αἱ προλαβοῦσαι. ἔστι δὲ τῶν ιηγήσεων εἴδη ταῦτα· αἱ μὲν γὰρ αὐτῶν εἰσιν ἀληθεῖς, ἱ δὲ πεπλασμέναι, καὶ αἱ μὲν ἐπὶ κριτῶν λεγόμεναι, αἱ ὲ καθ' ἑαυτάς, καὶ τῶν καθ' ἑαυτὰς αἱ μέν εἰσι βιωτι- αί, αἱ δὲ ἱστορικαί, αἱ δὲ μυθικαί, αἱ δὲ περιπετικαί. ῶν δὲ ἐπὶ κριτῶν αἱ μὲν κατὰ τὸ ἀμφισβητούμενον αὐτὸ υνίστανται, αἱ δὲ πρὸς ἰδίας διηγήσεις τῆς ὑποθέσεως ιέγονται, αἱ δὲ παρεμπίπτουσι πίστεως ἕνεκεν ἢ αὐξή- εως ἢ διαβολῆς ἢ ἄλλου τινὸς τοιούτου, ἅστινας καὶ ταραδιηγήσεις τινὲς καλοῦσιν. ἔτι τῶν ἐπὶ κριτῶν διη- ήσεων ἃς μὲν ἡμεῖς προηγουμένως εἰσάγομεν, ἃς δὲ ῶν ἀντιδίκων εἰσαγόντων ἑτέρως ἐπαγομένας αὐτοὶ ἀν- ιδιηγούμεθα· παρ' ὃ καὶ ἀντιδιηγήσεις προσαγορεύον- αι· ἀντιδιηγούμεθα δὲ ἢ τὸ καθόλου τῇ τῶν ἀντιδίκων ιηγήσει ἀνθιστάμενοι, ἢ κατὰ μέρος ἕκαστον. ὅταν μὲν ὖν ἐμπέσῃ ἡ τῶν πραγμάτων διήγησις, τότε ἐμπεσεῖται αραδιήγησις, ἐπιχειρημάτων μὲν ἔχουσα τόπον, πιθα- ὸν δέ τι συμφερομένη. εἴδη δὲ τῶν παραδιηγήσεων ρία, προδιήγησις, παραδιήγησις, ἐπιδιήγησις. καὶ προ- ιήγησις μέν ἐστιν, ὅταν πρὸ αὐτοῦ τοῦ πράγματος ἔξω- εν ἕτερόν τι διηγησώμεθα, ὥσπερ ἐν τῷ κατὰ Τιμοκρά- ους· ἐγὼ γάρ, ὦ Ἀθηναῖοι, προσέκρουσα ἀνθρώπῳ ονηρῷ. παραδιήγησις δὲ ὅταν περὶ τὸ αὐτὸ πρᾶγμα

ἕτερα διηγησώμεθα, ὡς ἐν τῷ κατὰ Μειδίου· ἐγένοντο ἐπιδόσεις εἰς Εὔβοιαν, καὶ τὰ ἑξῆς. ἐπιδιήγησις δὲ ὅταν μετὰ τὰς πίστεις ἢ τὸν ἐπίλογον διηγησώμεθα.

Ἰστέον δὲ τοῦτο, ὡς τὴν παρέκβασίν τινες ταὐτὸν εἶναι ὑπέλαβον τῇ παραδιηγήσει, διαφέρει δέ· ἡ μὲν γὰρ παραδιήγησις, ὥς φασιν, ἐφάπτεταί τινων περὶ τὸ πρᾶγμα· ἡ δὲ παρέκβασις ἐκδρομή ἐστι λόγων καθ' ὁμοίωσιν ἢ μίμησιν τῶν γεγονότων. περὶ δὲ τῆς παρεκβάσεως Ἀλέξανδρος ἀντιλέγει. γελοῖον γάρ ἐστι, φησί, τὸ λεγόμενον· εἰ μὲν γὰρ ἐξ αὐτοῦ τοῦ πράγματός ἐστι τὸ λεγόμενον, πῶς ἐστὶ παρέκβασις; εἰ δὲ ἔξωθεν, πῶς ἐροῦμεν τὰ ἔξωθεν τῆς ὑποθέσεως;

Ἐπειδὴ δὲ τῆς διηγήσεως τὰς ἀρετάς φαμεν τήν τε συντομίαν καὶ τὴν σαφήνειαν καὶ τὴν πιθανότητα, καιρὸς ἂν εἴη λέγειν περὶ ἑκάστης, καὶ ἄγε περὶ συντομίας λέγωμεν πόθεν ἔσται σύντομος. τῆς συντομίας τοίνυν ἡ μὲν ἐν τοῖς πράγμασιν, ἡ δὲ ἐν ταῖς λέξεσιν. ἐκ μὲν οὖν τῶν πραγμάτων σύντομον ποιήσεις τὴν διήγησιν, ἐὰν
192 μήτε πόρρωθεν ἄρχῃ καθάπερ ἐν τοῖς πολλοῖς πεποίηκεν Εὐριπίδης, μήτε μακρὰ λέγῃς, ὡς οἱ μετὰ τὸ πρᾶγμα καὶ ἄλλα διηγούμενοι, τὰ δὲ λυποῦντα τοὺς ἀκούοντας, καὶ τὰ ἀπίθανα καὶ ἀπρεπῆ τῷ λέγοντι, καὶ οἷα μὴ ὠφελεῖν τὸν ἀγῶνα, οἷά τε [εἰσιν] καὶ ἐν ἑτέροις ῥηθῆναι δύνανται, (ἐὰν) ἀφέλῃς ταῦτα τῆς διηγήσεως, σύντομον ἐκ τούτων ποιήσεις τὸν λόγον. ἔτι τε ἐὰν μήτε παρεκβάσει χρῷο, μήτε ἐπεισοδίοις, μήτε ὅλως ἐκ τοῦ πράγματος πλανῷο· ἔτι τε τὴν ταυτολογίαν εἰ παραιτοῖο, καὶ μακρὰ δι' ὀλίγων ἑρμηνεύσειας, καὶ τὰ τοιαῦτα λέγοις, ὧν ῥηθέντων φανερά ἐστι τὰ σιωπώμενα. ἐν δὲ ταῖς λέξεσιν ἔσται συντομία, ἐὰν μὴ συνωνυμίαις χρῷο, οἷον πυκνοὶ καὶ θαμέες, ἢ ξίφος καὶ μάχαιρα. τούτων γὰρ ἑκάτερον καὶ καθ' ἑαυτὸ πρὸς δήλωσιν ἀρκεῖ· καὶ ἐὰν τῶν συνω-

νύμων τὰς βραχυσυλλάβους ἐκλέγῃς, ὃ ἐπὶ πλήθους παραχωρούμενον χρήσιμον, οἷον ἀντὶ μαχαίρας ξίφος λέγων· καὶ ἐὰν μὴ τοῖς κυρίοις προστιθῇς τὰ ἐπίθετα ὡς ὁ ποιητής, οἷον ὑγρὸν ἔλαιον· καὶ ἐὰν τὰς ἀναδιπλώσεις παραιτοῖο, οἷον πόλεμον εἰς τὴν Ἀττικήν, εἰς τὴν Ἀττικὴν πόλεμον· καὶ ἐὰν τὰς περιφράσεις φύγῃς, οἷον βίη Ἡρακλείη· καὶ ἐὰν τοῖς τροπικοῖς ἐνίοις κυρίως χρῷο, ὥσπερ Δημοσθένης τῷ ἀνεχαίτισε· διὰ μιᾶς γὰρ λέξεως ὅλον ἐπλήρωσε νόημα. καὶ ἡ λεγομένη δὲ ἔλλειψις συντομίαν ἐργάζεται, οἷον σὺ τοῦτον φιλεῖς καὶ οὗτος σέ. λείπει γὰρ τὸ φιλεῖ. ἀπεργάζεται δὲ συντομίαν καὶ τὸ ἐπεξευγμένον, ὅταν δύο ἢ τρισὶν ὀνόμασιν, ἢ καὶ πράγμασι μίαν ἐπάγῃς λέξιν συμπληρωτικήν, οἷον Ῥοδίους μὲν συμμάχους ὄντας, Βυζαντίους δὲ συγγενεῖς, Τενεδίους τε πεποιημένους ἰσοπαλίαν, πλείους δὲ ἄλλους συμμάχους εὐηργέτησαν. ποιεῖ δὲ καὶ τὸ ἀσύνδετον δόξαν συντομίας, οἷον ἀλλ᾽ ἐπειδὴ τὰ πλοῖα σεσύλητο, Χερρόνησος ἐπορθεῖτο, καὶ τὰ ἑξῆς. ποιήσεις δὲ συντομίαν καὶ ὅτε κατ᾽ ἔμφασιν παραλείψεως λέγεις, ὡς ὁ Δημοσθένης· ἐπειδὴ γὰρ εἷλεν Ὄλυνθον Φίλιππος. διὰ γὰρ τοῦ εἷλεν πολλὰ ἐδήλωσε.

Σαφήνειαν δὲ εὖ φασι δεῖν παραφυλάττεσθαι, ἐὰν ἐναντία τισὶ τῶν εἰς τὴν συντομίαν θεωρημάτων λέγειν δόξωμεν. ἡ μὲν γὰρ τέχνη καθ᾽ ἕκαστον τελείως ἐκπληροῦν τὸν τόπον ἀναγκάζει, ὁ δὲ τεχνίτης πρὸς τὸ συμφέρον αὐτῷ χρήσεται. ἐπειδὴ δὲ περὶ σαφηνείας πρόκειται λέγειν, ῥητέον περὶ ἀσαφείας· δυνησόμεθα γὰρ τοὺς ἐκείνης φυγόντες τόπους σαφῆ ποιῆσαι τὸν λόγον. ἀσάφεια τοίνυν, ὡς μὲν καθόλου, διχῶς γίνεται· ἢ γὰρ ἐν λέξεσίν ἐστι τὸ ἀμφισβητούμενον σαφὲς ἢ ἐν πράγμασιν· 193
ὡς δὲ κατὰ μέρος, πολλαχῶς. τὸ μὲν οὖν ἐκ πραγμάτων 31
ἀσαφὲς οὕτως γίνεται, πρῶτον μὲν ὅταν τὰ λεγόμενα

τὴν κοινὴν ἐκφύγῃ γνῶσιν, οἷα τὰ ἐν τῇ διαλεκτικῇ καὶ τὰ ἐν γεωμετρίᾳ. δεύτερον ὅταν συγχέωμεν τὴν τάξιν τῶν γεγονότων, ὡς τὰ μὲν πρῶτα τελευταῖα εἶναι, τὰ δὲ τελευταῖα προτετάχθαι· οἰκονομίας δὲ τὰ τοιαῦτα πολλάκις ἐπέχει χρείαν, δυσπαρακολούθητον δὲ ὅμως καὶ ἀσαφῆ τὸν λόγον ποιεῖ. ποιεῖ δὲ ἀσαφῆ τὸν λόγον καὶ τὸ τῶν αὐτῶν πολλάκις μεμνῆσθαι· μακρὸν γὰρ τοῦτο καὶ ὀχληρόν, εἰ μὴ ἄρα ταῖς ἐργασίαις αὐτὸ διαχειρισόμεθα, καὶ νὺν μὲν ὡς γιγνώσκοντες λέγομεν, αὖθις δὲ ὡς συγκεφαλαιούμενοι, ἑτέρωθι δὲ ὡς ἀναμιμνήσκοντες· τὸ γὰρ ὀχληρὸν οὕτως ἐκφεύξῃ. τρίτον ὅταν παραλείψωμέν τινα τῶν πραγμάτων· τέταρτον ὅταν ἐπεισάγωμεν ἔξωθεν μακρὰ καὶ ἀπηρτημένα τοῦ πράγματος.

Τὸ δὲ ἐκ τῶν λέξεων ἀσαφὲς οὕτως· ὅταν ξένοις καὶ τροπικοῖς καὶ ἀμφιβόλοις καὶ γλωσσηματικοῖς ὀνόμασί τις χρῷτο, καὶ τῇ συνθέσει μὴ ἁπλῇ καὶ κατὰ φύσιν, ἀλλὰ δι᾽ ὑπερβατῶν καὶ μήκους περιόδων καὶ ἀλληγορίας. ποιεῖ δὲ καὶ ὀνοματοποιΐα ἀσάφειαν, ὡς τὸ σίζεν ὀφθαλμός παρ᾽ Ὁμήρῳ· καὶ ἡ διάρθρωσις, οἷον Ἀλέξανδρος ὁ Πάρις· Ἀλέξανδρος ὁ Φιλίππου. ποιήσεις δὲ ἀσάφειαν καὶ ἐὰν τὰς ἀκολουθίας διακωλύσῃς εὐλόγοις διηγήμασι, καὶ τὰ μὲν ὑπερβαίνῃς, τὰ δὲ παρὰ τάξιν τιθῇς. οὕτως αὐτά τις ποιήσει τὸν δικαστὴν ἀπατῆσαι βουλόμενος τῇ ἀνακολουθίᾳ.

Πιθανὴ δὲ διήγησις γίνεται, εἰ πάντα ὅσα λέγει τις, ἐξομοιοῦν πειρῷτο τοῖς ἀληθέσι. τοῦτο δέ φησι γένοιτο, ἐὰν μὴ ψιλὰ τὰ πράγματα τιθῶμεν, ἀλλὰ καὶ τὰ μόρια αὐτὰ προσλαμβάνωμεν, ἐξ ὧν ἡ διήγησις πληροῦται. μόρια δὲ διηγήσεως πρόσωπον, πρᾶγμα, τόπος, χρόνος, αἰτία πρὸς τούτοις, εἰ ἀλλήλοις ὁμολογεῖ τὰ λεγόμενα καὶ μὴ διαφωνεῖ ἢ μάχεται· ἔπειτα ἐὰν μὴ ψιλὰ τιθῶμεν τὰ μόρια, ἀλλ᾽ ἀκριβῶς ἕκαστα διηγώμεθα, ὥσπερ ἐν τῷ

κατὰ Μειδίου· ἰσχυρὸς ἦν μέλας. ἐφ' ἅπασι δὲ τούτοις αἰτίαν προσθετέον· ἐπακτικωτάτη γὰρ αὕτη πρὸς πειθώ. ποιεῖ δὲ πιθανότητα καὶ τὸ τοῦ λέγοντος ἦθος καὶ πάθος. καὶ τὸ μὲν ἦθος, φησίν, εἰ ἄπλαστον φαίνοιτο, 194
τὸ δὲ πάθος οὐ μόνον πείθει, ἀλλὰ καὶ ἐξίστησι. ποιεῖ δὲ πιθανότητα καὶ περὶ αὑτοῦ μὲν κακόν τι εἰπεῖν μικρόν, περὶ δὲ τοῦ ἀντιδίκου ἀγαθὸν ὁμολογούμενον, ὡς Αἰσχίνης· τούτου πατὴρ μὲν ἦν ἐλεύθερος ἀνὴρ Δημοσθένης, οὐ γὰρ δεῖ ψεύδεσθαι. συνεργεῖ δὲ πρὸς πειθὼ καὶ ἡ ἐνάργεια. ἔστι δὲ ἐνάργεια λόγος ὑπ' ὄψιν ἄγων τὸ δηλούμενον. ποιεῖ δὲ πειθὼ καὶ λέξις ἀνεπιτήδευτος καὶ τὸ αὐτοσχέδιον ἐμφαίνουσα. ποιήσεις δὲ πιθανότητα, καὶ ἐὰν μὴ πάντα βεβαιῶν λέγῃς ἀλλὰ προστιθῇς τὸ οἶμαι καὶ τὸ τάχα καὶ ἴσως καὶ τὰ τοιαῦτα. ἡδεῖαν δὲ ποιήσεις τὴν διήγησιν, ἐὰν τοῖς οἰκείοις αὐτὴν ἤθεσι διαποικίλλῃς καὶ γνώμαις ἀναμίξῃς· ποιεῖ τε ἡδονὴν ἐνίοτε καὶ ἀρχαιολογία παραληφθεῖσα εὐκαίρως, ὡς παρ' Ὑπερίδῃ ὁ τῆς Λητοῦς μῦθος. ποιεῖ τε ἡδονὴν καὶ ἀστεϊσμός. μεγαλοπρεπῆ δὲ ποιήσεις τὴν διήγησιν ψιλῇ φράσει καὶ διῃρημένῃ, καὶ τοῖς νοήμασι σεμνοῖς κεχρημένος, καὶ τὰ ταπεινὰ φεύγων παραδείγματα, καὶ τὰς αἰσχρὰς τῶν λέξεων. καὶ διηγήσεων μὲν ἀρεταὶ αὗται καὶ τοσαῦται· εἰσὶ δὲ οἱ πρὸς ταύταις ταῖς τρισὶ καὶ μεγαλοπρέπειαν καὶ αὔξησιν καὶ ἡδονὴν καὶ προσήνειαν ἤτοι ἐπιείκειαν ἀρετὰς ἔφασαν διηγήσεως. περὶ μὲν οὖν ἡδονῆς καὶ μεγαλοπρεπείας ἔφθημεν εἰπόντες, αὔξησιν δὲ καὶ ἐπιείκειαν τί ἐστι πολλαχοῦ ἀκηκόαμεν. περὶ μέντοι συντομίας Ἀριστοτέλης ἐφίστησιν. εἰ γάρ ἐστι, φησίν, ἡ συντομία συμμετρία τῆς μήτε παραλιπούσης τι τῶν ἀναγκαίων, μήτε πλεοναζούσης, ἀρετὴ γενήσεται· εἰ δέ ἐστιν ὥσπερ ἔνδεια τῆς ὑπερβαινούσης τι τῶν χρησίμων, ἐν ταῖς κακίαις μᾶλλον ταχθήσεται. ὁ δὲ Γα-

δαρεὺς Θεόδωρος τὴν πιθανότητα μόνην ἀρετὴν νομίζει τῆς διηγήσεως, τὰς δὲ προειρημένας ἀρετὰς ἰδίας μὲν μὴ εἶναι μόνης τῆς διηγήσεως, κοινὰς δὲ ἅπαντος τοῦ λό-
195 *γου· Ἁρποκρατίων δὲ οὕτω γράφει· καὶ διηγήματος μὲν ἀρεταὶ ἐν μὲν τοῖς εὐπρεπεστέροις σαφήνεια, ἐν δὲ τοῖς σαθροῖς ἀσάφεια προβεβλημένη. πόθεν δὲ ἡ ἀσάφεια καὶ πῶς γίνεται, ἤδη δεδήλωται.*

Τρόποι δὲ διηγήσεως ἑπτά· αὔξησις, μείωσις, εὐφημία, παράλειψις, ἐπανάμνησις, ἐπὶ τὸ κρεῖττον ἢ χεῖρον φράσις, ἐνάργεια· περὶ ὧν λεκτέον πῶς ἕκαστον μεταχειριστέον. αὔξησις μὲν οὖν γίνεται ὡς Δημοσθένης ἐπὶ τῆς Ὀλυνθίας γυναικὸς πεποίηκε, μείωσις δὲ ὅταν σμικρύνων τι λέγῃς, ὡς Ἀριστοφάνης, οἷον τριηρίτη, βοϊδάριον, κυναρίδιον. παράλειψίς ἐστι τῶν βλαπτόντων ἡμᾶς ἀμνηστία. ὀλιγάκις μὲν οὖν τελέως κατασιωπήσομεν, ἐὰν δὲ μὴ συγχωρώμεθα παρὰ τοῦ ἀντιδίκου, θέντες αὐτὰ παρὰ τάξιν, ἐπιθολώσαντες ἐροῦμεν. ἀνάμνησις δέ, ὡς ὁ Δημοσθένης· οὗτος γάρ ἐστιν ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος. ἐπὶ τὸ κρεῖττον δὲ φράσις, ὅταν μικρὰ μεγάλως διηγώμεθα. περὶ ἐναργείας ἤδη προειρήκαμεν, ὅτι ἐστὶ λόγος ὑπ᾿ ὄψιν ἄγων τὰ δηλούμενα, ὥσπερ Δημοσθένης· ὅταν ἐπὶ κόρρης, ὅταν κονδύλοις, καὶ τὰ ἑξῆς. διαφέρει δὲ διήγησις καταστάσεως, ὅτι ἐν μὲν τῇ καταστάσει περὶ ὧν ἴσασιν οἱ δικασταί, καθιστάμεθα, ἐν δὲ τῇ διηγήσει ἃ ἀγνοοῦσι διηγούμεθα. τοιγαροῦν καὶ τὰ ἐν τῷ κατὰ Μειδίου οὐ διήγησίν τινές φασιν εἶναι, ἀλλὰ κατάστασιν, οἷον τό, ἐπειδὴ γὰρ οὐ καθεστηκότος τοῦ χορηγοῦ. οὐκ ἔστι δέ, φασίν, οὐδέτερον, ἀλλὰ προβολὴ τοῦ ἀδικήματος διηγηματικῶς εἰσηγμένη, ἱκανῶς τοῦτο τοῦ ῥήτορος καὶ αὐτοῦ παραδείξαντος, ἐν οἷς φησι· τὰ μὲν εἰς ἐμὲ καὶ τοὺς φυλέτας ἠσελγημένα, ἐφ᾿ οἷς αὐτὸν προυβαλόμην, ταῦτά ἐστι.

Ζητοῦμεν δὲ εἰ ἀεὶ διηγητέον. οἱ μὲν Ἀπολλοδώρειοί φασιν ἀεὶ δεῖν διηγεῖσθαι, τὰ αὐτὰ λέγοντες ἃ καὶ ἐν τοῖς προοιμίοις, ὅτι τε ἐλλειπὴς ἔσται ὁ λόγος, καὶ ὅτι οὐδεὶς τῶν ἀρχαίων παρῆκε διήγησιν, καὶ ὅτι τοῦ πραγματικοῦ μέρους ἐστὶν ἡ διήγησις, ἀνάγκη τέ ἐστι διηγεῖσθαι, ἵνα μάθῃ ὁ ἀκροατὴς τὸ πρᾶγμα. πρὸς δὲ τούτοις καί τινα τοιοῦτον ἐρωτῶσι λόγον· εἰ μὲν οὐκ οἶδεν ὁ δικαστὴς τὸ πρᾶγμα, πᾶσα ἀνάγκη διηγεῖσθαι ἵνα μάθῃ· εἰ δὲ οἶδεν, 196
οὐδ' οὕτω παραλειπτέον, ἵνα μὴ δόξαν ἑτέραν καταλίπῃ τοῖς δικασταῖς περὶ τοῦ πράγματος. χωρὶς δὲ τούτων τίς, φησί, παραλείψει τὴν διήγησιν; εἰ μὲν γὰρ ὁ κατηγορῶν, γελοῖον, ἀνάγκης οὔσης δηλῶσαι τὸ πρᾶγμα· εἰ δὲ ὁ ἀπολογούμενος, συγχωρήσει ἀληθῆ τὴν διήγησιν εἶναι τὴν ὑπὸ τοῦ κατηγόρου ῥηθεῖσαν, καὶ λέγων μὲν θεραπεύσει δι' οἰκονομίας τὰ βλάπτοντα· παραλείπων δὲ πᾶσαν ἀληθῆ συγχωρήσει.

Ἀλέξανδρος δὲ τοῦ Νουμηνίου καὶ Νεοκλῆς φασι μὴ ἀεὶ δεῖν διηγεῖσθαι. πρῶτον μὲν γὰρ ᾧ τρόπῳ τινὰ τῆς διηγήσεως παραιτούμεθα ὡς μὴ συμφέροντα, καὶ πᾶσαν, ἂν μὴ συμφέρῃ· δεύτερον δὲ μηδὲ ἐν ταῖς τῶν νόμων εἰσφοραῖς ἡμᾶς διηγεῖσθαι· τὸ γὰρ ἐπεξιέναι, φασί, τὰς αἰτίας τῆς κατηγορίας ἢ τῆς δεήσεως, οὐ τοῦ πράγματός ἐστι διήγησις, ἀλλὰ τῶν ἐκτός. τρίτον, ὅτι φανερῶν ὄντων τῶν πραγμάτων περιττὸν τὸ διηγεῖσθαι, ὅπερ μάλιστά φασιν ἐν ταῖς δευτερολογίαις εὑρίσκεσθαι. καὶ ὅταν δὲ ἄδοξα τὰ πράγματα ᾖ, ἡ διήγησις οὐκ ἀναγκαία, ὡς ἐν τοῖς τοιούτοις ζητήμασιν· ἐπίτροπος ὀρφανὴν βιασάμενος κρίνεται μὲν κακῆς ἐπιτροπῆς, ἀξιοῖ δὲ δοῦναι τιμωρίας ἐπὶ τῇ βίᾳ. καθόλου δὲ φησὶν Ἀλέξανδρος, τὴν διήγησιν δυοῖν ἕνεκεν λέγεσθαι, συνέσεώς τε καὶ δηλώσεως, ταῦτα δὲ εἰ μὲν εἴη παρὰ τοῖς δικασταῖς, περιττὸν τὸ διηγεῖσθαι· εἰ δὲ μὴ εἴη, διηγησώμεθα· εἰ δὲ τὸ ἕτερον

μὲν εἴη, θάτερον δὲ μή, διὰ μὲν θάτερον διηγησώμεθα. τὸ δὲ ἕτερον ἂν ἐλλείπῃ, ἐκ τῶν πίστεων κατασκευάσομεν. πρὸς μὲν οὖν τὸ ἀεὶ διηγεῖσθαι, ἡ λύσις εὔδηλος. πολλάκις δὲ καὶ πρὸς τυράννους ἢ βασιλεῖς λέγομεν, οἳ οὐκ ἂν ἀνάσχοιντο ἡμῶν ἀνόνητα παρ' αὐτοῖς διηγεῖσθαι, ἀλλὰ εὐθὺς ἀπολογήσασθαι περὶ τοῦ πράγματος ἀναγκάζουσι. πρὸς δὲ τό, ὅτι πότερον ὁ κατήγορος παραλείψει ἢ ὁ ἀπολογούμενος, ῥητέον ὅτι πρὸς τὴν χρείαν ἑκάτερος.

Τάξιν δὲ τῇ διηγήσει οἱ μὲν Ἀπολλοδώρειοι μίαν, τὴν ἐκ τῶν προοιμίων ἀποδιδόασιν ἀκολουθίαν εἶναι, λέγοντες μετὰ τὸ παρασκευασθῆναι πρὸς ἀκρόασιν τὸν δικαστὴν ἐπάγειν τὴν διήγησιν. Ἀλέξανδρος ὁ τοῦ Νουμηνίου καὶ Νεοκλῆς οὐ μίαν ἀποδεδώκασιν αὐτῇ τάξιν, ἀλλὰ ἄλλοτε ἄλλην, ἐνίοτε καὶ πρό τε τοῦ προοιμίου, ὁπόταν ὁ δικαστὴς προηρεθισμένος ᾖ καὶ σπεύδῃ πρὸς τὸ μαθεῖν τὸ πρᾶγμα, ἔστι δὲ ὅτε καὶ μετὰ τὰς πίστεις, ὥσπερ Αἰσχίνην τέ φασιν ἐν τῷ κατὰ Τιμάρχου πεποιηκέναι καὶ Δημοσθένην ἐν τῷ κατὰ Μειδίου· τοῦτο δὲ ἁρμόζειν ἡνίκα ἰσχυρότερον οἱ ἀντίδικοι προβεβληκότες ὦσι τὰς διηγήσεις· προμαλαχθέντα γὰρ τὸν δικαστὴν ταῖς πίστεσι ῥᾳδίως παραδέχεσθαι τὴν διήγησιν. παρὰ μὲν οὖν Δημητρίῳ τῷ Φαληρεῖ ἐν ἐπιλόγοις καὶ μετ' ἐπίλογον κεῖσθαι διήγησιν· ἁρμόζειν γὰρ τὸ τοιοῦτο ὅταν σφοδρότερα ὑπὸ τῶν κατηγόρων καταληφθῶσιν οἱ δικασταί.

Ὁ δὲ Ἀλέξανδρος πρὸ μὲν τῶν πίστεων φησὶ δεῖν τάττειν τὴν διήγησιν ἢ ἐν αὐταῖς ταῖς πίστεσι, μερίσαντα τοὺς λογισμούς. καὶ τοὺς μὲν προσήκοντας προτάττειν, τοὺς δὲ ἐν μέσῳ τιθέναι, διατάττοντας τὴν τῶν λειπομένων διήγησιν. μετὰ δὲ τὰς πίστεις οὐκέτι φησὶ δεῖν διηγεῖσθαι· δυοῖν γὰρ ἕνεκα, ὡς ἐν τοῖς ἀνωτέρω προειρήκαμεν, δηλώσεώς τε καὶ συνέσεως τὰς διηγήσεις λέ-

νομεν. ταῦτα δὲ ἀμφότερα εἰ μὲν διὰ τῶν πίστεων γέ-ʼονε, περιττὴ λοιπὸν ἡ διήγησις· εἰ δὲ μὴ δι' ἐκείνων, ὐδὲ οὕτως καλὸν διηγεῖσθαι. τοῦ τε γὰρ ἰσχυροτέρου ιαὶ δραστικωτέρου μὴ πείσαντος, οὐδὲν ἀνύσει ἡ διήγησις. τοῦ τε μὴ δεῖν μετὰ τὰς πίστεις διηγεῖσθαι ἀποδεδειγμένου, ἀκόλουθον τὸ μηδὲ μετὰ τὸν ἐπίλογον αὐτὰς τάττεσθαι.

Ἐζήτησαν δέ τινες καὶ τοῦτο, εἰ ἓν σῶμα τὴν διήγησιν ποιητέον, ἢ μεριστέον αὐτὴν εἰς πολλά. ἔνιοι μὲν ῦν φασι μὴ δεῖν μερίζεσθαι τὴν διήγησιν, ἀλλ' ὁμοῦ τᾶσαν αὐτὴν τιθέναι· μηδὲ γὰρ τῶν ἄλλων μηδὲν μερίεσθαι. Ἀλέξανδρος δὲ τά τε ἄλλα φησὶ δεῖν μερίζεσθαι, ν ᾖ χρεία, καὶ τὴν διήγησιν, ὅταν πολλὰ ᾖ τὰ ἐγκλήματα. ὰς μὲν γὰρ ἐπὶ μιᾷ συνισταμένας αἰτίας σωματικὰς ποιεῖν ναγκαῖον ἑνοποιοῦντας, τὰς δὲ ἐπὶ πολλαῖς διεσπαρμέας, πολλάκις δέ φησι καὶ δι' αὐτὸ τὸ μῆκος, ἐὰν ὦσι μαραί, μεριστέον αὐτάς, ἵνα μὴ ὡς ἐν ἱστορίᾳ ἀφηγώμεθα.

Πάλιν ἐζήτησαν, εἰ ἐφ' ἑνὸς καὶ τοῦ διηγήματος μία ρα ἡ διήγησις ἢ πολλαί. καὶ Θεόδωρος μὲν πολλάς φησι ίνεσθαι καὶ ἐν ταῖς παραγραφαῖς δύο φησὶν εἶναι, τήν ε τῆς αἰτίας καὶ τὴν τῆς παραγραφῆς αὐτῆς. Ἀλέξανρος ὁ τοῦ Νουμηνίου οὔ φησι δύο εἶναι νομίζειν δεῖν ν μιᾷ ὑποθέσει διηγήσεις, ἀλλ' εἰ μὲν καθ' ἑκάστην ἰτίαν ἰδία ὑπόθεσις γίνεται, ἰδία καὶ διήγησις ἔσται. ἰ δὲ ἐκ πολλῶν αἰτιῶν μία συνέστηκεν ὑπόθεσις, οὐχ τι αἱ αἰτίαι πολλαί, πολλαὶ καὶ διηγήσεις ἔσονται, ἀλλ' τι μία ὑπόθεσις συνέστηκε, μία ἔσται καὶ ἡ διήγησις. ὐδὲ γὰρ ἐν ταῖς παραγραφαῖς δεῖ δύο εἶναι διηγήσεις, λλὰ μίαν μιᾶς οὔσης τῆς ὑποθέσεως, ἐξ ἀμφοτέρων τῶν ἰτιῶν. οὐ γὰρ αἱ πίστεις εἰσὶ πολλαί, ἀλλὰ τὰ μὲν κεφάαια πολλά, ὥσπερ καὶ τῆς διηγήσεως, εἰς ἓν δὲ αὐτὰ εἰς 198 ἰστιν ἀνάγεται.

Τὴν δὲ τῆς διηγήσεώς φησιν ἑρμηνείαν Ἀλέξανδρος ὁ τοῦ Νουμηνίου θρασυτέραν δεῖν εἶναι τῆς ἐν τῷ προοιμίῳ καί πού τι καὶ παραβολωτέρως ἔχουσαν καὶ πρὸς πάθος νεύουσαν, οὕτως δὲ ὡς μήτε τὸ μέτρον ὑπερβαίνειν· δεῖ γὰρ συγκεκινῆσθαι τοῖς πράγμασι τὴν μνήμην, μήτε ἐνδεέστερον τοῦ δέοντος· ἄρτι γὰρ εἰς πάθος τὸν ἀκροατὴν ἐκκαλούμεθα. ὅμοιον δὲ τῷ τῶν λόγων σχήματι καὶ τὸ τῆς φωνῆς σχῆμα παραφυλάττοις καὶ τοιούτῳ μέτρῳ, ὡς μήτε ἄγαν ἐνθουσιῶδες λαβεῖν· ἐπιλόγοις γὰρ οἰκεῖον, μήτε τὸ λίαν νηφάλιον· ἀλλότριον γὰρ τοῦ πάθους. ὡς μὲν οὖν καθόλου εἰπεῖν τοιαύτη ἡ τῆς διηγήσεως ἑρμηνεία τε καὶ ὑπόκρισις· ὡς δὲ κατὰ μέτρον διηγηματικοῦ λέγειν, ἁρμόσει τῷ μὲν ἁπλῷ καὶ μηδεμίαν ἰδιότητα ἔχοντι εὐμαθεῖς καὶ ἀπλημμελεῖς τὰς μεταβολὰς ἔχουσα πρὸς τὸν καιρὸν τῶν πραγμάτων. ἐὰν γάρ τι τοῦ [διηγήματος μέρος] δείνωσιν ἀναγκαίαν ἔχῃ, συνεπαρθῆναι καὶ τὴν λέξιν καὶ διατεθῆναι, ἐὰν πάθος ἔχῃ, παθητικῶς· ἐὰν δὲ ἦθος, ἠθικῶς. ἐὰν μέντοι διήγημα ἠθικὸν ᾖ καὶ βαρύ, συναφὴς ἡ λέξις διακειμένη βελτίων ἔσται. τὸ γὰρ μὴ συνημμένον καὶ ἁπλοῦν καὶ ἀμβλὺ καὶ ἄτονον· ἐὰν δὲ μὴ διήγημα ᾖ κατασκευαστικόν, τὴν λέξιν δεῖ πολυσχημάτιστον εἶναι παρενθήκαις, παραζητήσεσιν, ἀναδρομαῖς. παράδειγμα τούτου τοῦ διηγήματος παρὰ Δημοσθένει· τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου. εὐθὺς γὰρ ὅλον ἐξ ἀρχῆς διέκοψε καὶ παρενέβαλεν αἰτίας, αἷς ἐξέβαλεν εἰς ἐκτροπὴν τὸν λόγον.

Τοῦ δὲ παθητικοῦ διηγήματος τὴν λέξιν ἀσυναφῆ καὶ διακεκομμένην εἶναι δεῖ, καὶ λελυμένην τοῖς κώλοις· φορτικὸς γὰρ ὁ τρόπος καὶ βαρύς, ὅτι μὴ κατὰ πρόθεσιν ἀκολουθίας, ἀλλ' ἕκαστα βιαίως καὶ ἐξ ἀνάγκης λέγειν, ὡς ἐπὶ τούτου τοῦ ζητήματος. ἐν μακρᾷ πολιορκίᾳ ἐβου-

εύσαιντό τινες τὴν ἄχρηστον ἡλικίαν διῶξαι· ἀξιοῦσιν
ιἱ πατέρες ὑπὲρ ἐκείνων ἀνῃρῆσθαι.

Τὸ δὲ ἁπλοῦν καὶ σαφὲς (ὃ καὶ μάλιστά ἐστι διηγη-
ατικόν) ἐν πολλοῖς ἐστι παραδείγμασιν· ὅπου δ' ἀνα-
ετραμμένην σε δεῖ, φησί, ποιεῖν τὴν διήγησιν καὶ ἀσα-
ῆ, μὴ τῇ λέξει τὴν ἀσάφειαν ἐργάζου, ἀλλὰ τὴν μὲν
έξιν, ὡς ἔνι μάλιστα ἁπλῆν, ἵνα καὶ εὐμαθείας δόξαν
νθῇς τῷ ἀκροατῇ, τὴν δὲ τῶν πραγμάτων τάξιν κίνει. 199
οσαῦτα καὶ περὶ διηγήσεων· ἐφεξῆς τοίνυν περὶ πίστε-
ν ἡμῖν εἰρήσεται.

ΠΕΡΙ ΠΙΣΤΕΩΝ.

Πίστις τοίνυν ἐστὶ λόγος κατασκευαστικὸς τοῦ προ-
ειμένου ζητήματος. λέγεται δὲ ὁμωνύμως πίστις καὶ ἡ
ῶν ἀκουόντων συγκατάθεσις, ἥτις τέλος τυγχάνει οὖσα
ῆς προτέρας πίστεως. καλεῖται δὲ ἡ προτέρα ὑπ' ἐνίων
αὶ ἀπόδειξις. Ἀλέξανδρος δὲ οὕτω τὴν πίστιν ὡρίσατο·
ίστις ἐστὶ λόγος ἄγων εἰς συγκατάθεσιν· διαφέρει δὲ
ίστις ἀποδείξεως, ὅτι ἡ μὲν ἀπόδειξις ἀληθῆ ἔχει τὰ
ήμματα καὶ τὴν συναγωγὴν ὑγιῆ, ἡ δὲ πίστις οὔτε ἀεὶ
ληθὴς οὔτε πιθανὴ καὶ φαίνεται μὲν συνάγειν, οὐ
υνάγει δέ, καὶ ἡ μὲν τοῖς φιλοσόφοις ἁρμόζουσα μᾶλ-
ον, ἡ δὲ τοῖς ῥήτορσι.

Τῶν δὲ πίστεων αἱ μὲν ἄτεχνοί εἰσιν, αἱ δὲ ἔντεχνοι·
ἄτεχνοι μὲν ἃς ἐξ ἑτοίμου ποριζόμεθα, ἔντεχνοι δὲ ἃς
ῆς τέχνης λαμβάνομεν. ἄτεχνοι δέ εἰσιν, οἷον μαρτυρίαι,
ψηφίσματα, συμβόλαια, χρησμοί, τὰ τοιαῦτα ὅσα ἔγ-
ραφα. ἄτεχνοι δὲ λέγονται, ἐπειδὴ οὐδὲ ἐκ τῆς ἐπινοίας
στὶ τοῦ λέγοντος· ἀλλὰ κἂν ἰδιώτης εὕροι. ἔργον δὲ
οῦ ῥήτορος ἐν ταῖς ἀτέχνοις πίστεσι τὰ μὲν βοηθοῦντα
ὐξῆσαι καὶ βεβαιῶσαι, τὰ δὲ καθ' ἡμῶν ἐπισμικρῦναι,
αὶ ὡς οὐκ ἀξιόπιστα διαβαλεῖν· τὸ δὲ ὅλον τούτων τῶν

πίστεων ἡ μὲν εὕρεσις ἄτεχνος, ἡ δὲ χρῆσις ἔντεχνος. τῶν δὲ ἐντέχνων πίστεων τὰ πρῶτα εἴδη δύο παράδειγμα καὶ ἐνθύμημα. καὶ Ἀλέξανδρος μὲν οὕτω, Νεοκλῆς δὲ οὕτως· ἔντεχνοι μέν εἰσι πίστεις, ὧν καὶ ἡ χρῆσις ἐπὶ τοῖς λέγουσιν· εἴδη αὐτῶν δύο, τό τε ἀπὸ τοῦ πάθους καὶ τὸ ἀπὸ τοῦ πράγματος. παθητικὴ μὲν οὖν πίστις ἐστὶν ἡ τῷ πάθει τοῦ λέγοντος ἐπιφέρουσα τοῦ ζητήματος τὴν πίστιν, οἷον ὃς γὰρ ἐμοῦ φιλιππισμόν, ὦ γῆ καὶ θεοί, κατηγορεῖ. ἡ δὲ ἀπὸ τοῦ πράγματος πίστις γίνεται κατὰ τρόπους τρεῖς, κατὰ τὸ εἰκός, κατὰ τεκμήριον, κατὰ παράδειγμα. τὸ δὲ εἰκὸς Νεοκλῆς μέν φησι κυρίως τὸ κατὰ διαφορὰν λέγεσθαι, οἷον εἰκὸς ζήσεσθαί με αὔριον μηδενὸς ἀτόπου παρεμφαινομένου. τὸ δὲ αὐτό φησι λέγεται καὶ εὔλογον, διαφέρει δὲ ὅτι τὸ εὔλογον πλείους
200 ἀφορμὰς ἔχει πρὸς τὸ εἶναι ἢ μὴ εἶναι. λέγεται δὲ τὸ αὐτὸ καὶ πιθανὸν ἐπινοίᾳ μόνον διαφέρον, νῦν δὲ κυρίως, φησί, λαμβάνεται τὸ εἰκὸς κατὰ τὴν πρός τι σχέσιν, τὸ συζύγως ἀνεξενεχθὲν τῷ σημείῳ καὶ τῷ τεκμηρίῳ, ὥστε τὸ εἰκὸς εἶναί τινος εἰκός, καὶ τὸ σημεῖόν τινος σημεῖον, οἷον οὗτος κλέπτης τῷ ὦφθαι αὐτὸν ἐπὶ ἡμέρᾳ ἐκεῖ ἐν ᾧ ἡ ἀπώλεια, λέγομεν, τῷ ὑπερβαίνοντα καταληφθῆναι, τῷ τοῦ κηρύγματος ἀκούοντα μεταστῆναι. καὶ τὸ μὲν εἰκὸς οὕτως. τὸ δὲ τεκμήριον οὕτως· τεκμήριόν ἐστιν εἰκὸς ἄλυτον, οὗ γεγονότος πάντη τε καὶ πάντως ἐκείνου τεκμήριον ὑπάρχει. τὸ δὲ σημεῖον οὕτω· σημεῖόν ἐστι τεκμήριον ἤδη καταλαμβανόμενον. κοινότερον δὲ εἰώθασι χρῆσθαι ἀντὶ τοῦ εἰκότος τῷ σημείῳ, ὥστε κατὰ τοῦτο σημεῖον εἶναι αἷμα φόνου, στέφανον εὐεργεσίας, μέθην εὐωχίας, ἁπλῶς εἰπεῖν εἰκὸς εἶναι καὶ σημεῖον, ὅπου πιθανὴ ἐπαγωγὴ γίνεται εἰς τὸ προκείμενον. τῶν δὲ εἰκότων, φησί, καὶ τῶν σημείων καὶ τῶν παραδειγμάτων εἴδη τρία, τὰ πρὸ τοῦ πράγματος ὡς νέφος χειμῶ-

ος, τὰ ἐν τῷ πράγματι ὡς καπνὸς πυρός, τὰ μετὰ τὸ ρᾶγμα ὡς αἷμα φόνου.

Παράδειγμα δέ, ὡς Νεοκλῆς, ἐμφερὲς καὶ ὅμοιον καὶ ;κὸς τῷ ζητουμένῳ πράγματι, ἀφ᾿ οὗ ὡρμημένος ἄν τις ξιώσαι ὁμοίως τὰ ὅμοια φρονεῖν καὶ ἐπὶ τοῦ ζητουμέ-ου, οἷον τοῦ τινὰ δορυφόρους λαμβάνοντα τυραννή-ειν παράδειγμά ἐστι Πεισίστρατος καὶ Φάλαρις καὶ Διο-ύσιος. Ἀλέξανδρος οὕτω· παράδειγμά ἐστι λόγος ἐκ ῶν κατὰ μέρος ἤτοι ἐπὶ τὸ κατὰ μέρος ἐπάγων, ἢ ἐπὶ τὸ α●όλου, ἢ ἐκ τοῦ ὁμοίου ἐπὶ τὸ ὅμοιον, ὡς ἔχει τὰ προ-ρημένα· ὡς δὲ Ζήνων, παράδειγμά ἐστι γενομένου ράγματος ἀπομνημόνευσις, εἰς ὁμοίωσιν τοῦ νῦν ζη-)υμένου.

Ἐνθύμημα δέ ἐστι μέν, ὡς Νεοκλῆς, λόγος προει-ημένων τινῶν περὶ τοῦ ζητουμένου, ἢ καὶ περὶ τοῦ κθηγουμένου αὐτοῦ, καί τινα συνήχησιν ἐχόντων τῶν κροατῶν τὸ ἐνδέον κεφαλαιωδῶς καὶ συνειλημμένως ροστιθείς· ὡς δὲ ἔνιοι, ἐνθύμημά ἐστι τοῦ προηγουμέ-)υ ἐπιχειρήματος συμπέρασμα, προσαγόμενον τῷ ζη-ίματι ἐν μιᾷ περιόδῳ· ὡς δὲ Ἁρποκρατίων, ἐνθύμημά ιτι λόγος πρὸς ἀπόδειξιν λαμβανόμενος τῶν ὑποκειμέ- 201
ων. τῆς δὲ ἀποδείξεως ἀρχὴ μέν ἐστι, ὥς φησι Νεο-ιῆς, πρόθεσις· τρόποι δὲ αὔξησις καὶ μείωσις. ἐκ τῶν ;τῶν δὲ τόπων ληφθήσεται ἥ τε αὔξησις καὶ ἡ μείωσις. ἱλιστα δὲ τὰ πάθη ταῖς αὐξήσεσι συναγωνίζεται καὶ :ῖς μειώσεσιν. ἔσται δὲ ταῦτα οὐκ ἐν ἑνὶ μέρει τοῦ λό-ιυ, ἀλλὰ δι᾿ ὅλου παρασπαρθήσεται. καὶ περὶ μὲν τῶν ιόπων ταῦτα· περὶ δὲ τῆς προθέσεως ἤδη λέγωμεν.

Πρόθεσις ἐστὶν ἔκθεσις τοῦ ζητουμένου ὡσπερεὶ ιοπὸς καὶ ἐπαγγελία τῆς μελλούσης παρασκευῆς· λαμ-ίνεται δὲ [γὰρ] ἡ πρόθεσις πρῶτον μὲν ἕνεκεν τοῦ ροσεχεστέρους ποιῆσαι τοὺς ἀκροατάς· εἰδότες γὰρ τὴν

πρόθεσιν ἐφ' ἣν ποιεῖται τοὺς λόγους, προσεκτικώτεροι γίνονται· δεύτερον δὲ τοῦ τὴν μετάβασιν τὴν ἐπὶ τὰς πίστεις ἐκ τοῦ διηγήματος πᾶσι φανερὰν γενέσθαι· τρίτον αὐξήσεως ἕνεκεν· τοῦτο γὰρ ἐποίησε καὶ Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου προαναγνοὺς τοὺς περὶ σωφροσύνης νόμους. λαμβάνεται δὲ καὶ μειώσεως ἕνεκεν, ὡς ὁ Δημάδης· ἥρπασαν οἱ Διόσκουροι τὰς Λευκιππίδας, Ἀλέξανδρος τὴν Ἑλένην, καὶ διὰ τοῦτο τοῖς Ἕλλησι πόλεμος ἐγένετο, καὶ νῦν τοῦ πορνοβοσκοῦ θυγάτηρ ἥρπασται. τότε δέ, φησί, προοιμίου τάξιν ἔχει τὸν ἀκροατὴν ἐπιστρέφουσα. τίθεται πρόθεσις καὶ πρὸ τῶν διηγήσεων, οἷον τίνων χρὴ λόγον παρὰ πρεσβευτοῦ λαβεῖν; πρῶτον ὧν ἀπήγγειλε, καὶ ἑξῆς. λαμβάνεται δὲ ἡ πρόθεσις καὶ ἐν ἀρχῇ, ὡς Λυκοῦργος· καὶ παράνομον τὸ ψήφισμα ἐπιδείξω καὶ ἀσύμφορον καὶ ἀνάξιον τὸν ἄνδρα δωρεᾶς. ἁρμόζει δὲ τότε ἡ τῶν κεφαλαίων ἔκθεσις, ὅταν ἐπὶ τὸ βέλτιον ὦσι περί τινος προαπενηνεγμένοι, ὡς ὁ Δημοσθένης περὶ τοῦ Χαριδήμου λέγων, ἐγὼ δὲ ἐὰν μὴ καὶ παράνομον τὸ ψήφισμα δείξω καὶ ἀσύμφορον καὶ ἀνάξιον τὸν ἄνδρα δωρεᾶς. καὶ περὶ μὲν προθέσεως ταῦτα· περὶ δὲ τῶν τῆς πίστεως τόπων ῥητέον, καὶ πρῶτον τί ἐστι τόπος.

Τόπος μὲν οὖν ἐστιν, ὡς Ἀλέξανδρός φησιν, ἀφορμὴ ἐπιχειρήματος, ἢ ἀφορμὴ πίστεως, ὅθεν ἄν τις ὁρμώμε-
202 νος ἐπιχείρημα εὕροι. τῶν δὲ τόπων ἔνιοι μέν, ὡς ὁ Νεοκλῆς φησί, κοινῶς τινὰ κατὰ πασῶν τῶν στάσεων εἰρήκασιν· οἱ δὲ ἰδίως ἑκάστης στάσεως, Ἀριστοτέλης δὲ καὶ κοινοὺς καὶ ἰδίους τοὺς μὲν πλείστους εὕαδεν, περὶ δὲ τῶν ἰδίων διαλέγεται συμφωνῶν καὶ αὐτὸς Εὐδήμῳ τῷ ἀκαδημαϊκῷ. εἰσὶ δὲ οὗτοι οἱ τόποι οἵδε· ὅρος, διαίρεσις, παράθεσις, συστοιχία, περιοχή, ὅμοιον, παρεπόμενον, μάχη, δύναμις, κρίσις. οὗτοι μὲν οὖν, φησίν,

οἱ γενικώτατοι τόποι. ἀρκτέον δὲ ἤδη περὶ ἑκάστου λέγειν. ὁ ὅρος τριχῇ τέμνεται, εἴς τε ὁλόκληρον τὸν ὅρον, εἰς τα ἐν τῷ ὅρῳ, καὶ τὰ παρακείμενα τῷ ὅρῳ. τὰ μὲν οὖν ἐν αὐτῷ τῷ ὅρῳ ταῦτά εἰσι, γένος, ἴδιον, διαφορά. τὰ δὲ παρακείμενα αὐτῷ, ἐτυμολογία, παρώνυμον, ἐπίθετον, ὑποκοριστικόν· καὶ ἐκ τούτων γὰρ ἐπιχειρήματα λαμβάνεται. ἡ δὲ διαίρεσις τριχῇ καὶ αὐτὴ τέμνεται, εἴς τε τὴν καταρίθμησιν καὶ εἰς τὸν μερισμὸν καὶ εἰς τὴν εἰδικὴν διαίρεσιν. ἔστι δὲ καταρίθμησις μὲν ὅταν ὄνομα μόνον ὑπάρχῃ, πρᾶγμα δὲ διάφορον· μερισμὸς δὲ ὅταν κοινωνῇ καὶ ὄνομα καὶ πρᾶγμα, μόνον δὲ τὴν λέξιν διάφορον ἔχῃ. περὶ δὲ τῆς εἰδικῆς διαιρέσεως ὡς σαφοῦς παραλείπομεν. ἡ δὲ παράθεσις καὶ αὐτὴ τριχῇ λαμβάνεται, ἢ κατὰ τὸ μᾶλλον, ἢ κατὰ τὸ ἧττον, ἢ κατὰ τὸ ἴσον. ἡ δὲ συστοιχία πραγμάτων κοινωνίαν καὶ ὀνομάτων δηλοῖ· συστοιχεῖν γὰρ ἀλλήλοις λέγομεν ὡς τὴν φρόνησιν καὶ τὸν φρόνιμον. ἡ δὲ περιοχὴ διπλῆ· ἃ μὲν γὰρ ὡς μέρη γίνεται, περιέχεται, ἃ δὲ ὡς κατὰ δύναμιν. ὁ δὲ ἐκ τῶν ὁμοίων τόπος καὶ αὐτὸς διπλοῦς· τὸ μὲν γὰρ κατὰ τὴν ποιότητα ὅμοιόν ἐστι, τὸ δὲ κατὰ τὴν ἀναλογίαν, ὅπερ εἰς τὰς ἀποδείξεις μᾶλλον ἁρμόττει. τὸ δὲ παρεπόμενον ἔχει τρόπους τρεῖς, τὰ πρὸ τοῦ πράγματος, τὰ ἐν τῷ πράγματι, τὰ μετὰ τὸ πρᾶγμα. τὴν δὲ μάχην ἐν τοῖς περὶ εὑρέσεως σχολικοῖς, ἐν οἷς περὶ ἐπιχειρημάτων ἐλέγομεν, ἐδιδάξαμεν· ῥητέον δὲ καὶ νῦν τὰ παρακείμενα αὐτῇ. παράκειται τοίνυν τῇ μάχῃ καὶ τὰ ἐναντία καὶ τὰ ἀντικείμενα. τί δὲ τούτων ἑκάτερον διαφέρει ῥητέον. ἀντικείμενα μὲν οὖν ἐστίν, ὧν τὸ ἕτερον τοῦ λόγου ἀποφατικόν ἐστιν. ἐναντία δὲ ὅσα περὶ τὸν αὐτὸν τόπον στρεφόμενα πλεῖστον ἀλλήλων ἀπέχει. τῶν δὲ ἐναντίων τὰ μέν ἐστι στερητικά, τὰ δὲ οὐ στερητικά. στερητικὰ μὲν οἷον τέχνη ἀτεχνία, οὐ στερητικὰ δὲ οἷον ἀγαθὸν

πρόθεσιν ἐφ' ἣν ποιεῖται τοὺς λόγους, προσεκτικώτεροι γίνονται· δεύτερον δὲ τοῦ τὴν μετάβασιν τὴν ἐπὶ τὰς πίστεις ἐκ τοῦ διηγήματος πᾶσι φανερὰν γενέσθαι· τρίτον αὐξήσεως ἕνεκεν· τοῦτο γὰρ ἐποίησε καὶ Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου προαναγνοὺς τοὺς περὶ σωφροσύνης νόμους. λαμβάνεται δὲ καὶ μειώσεως ἕνεκεν, ὡς ὁ Δημάδης· ἥρπασαν οἱ Διόσκουροι τὰς Λευκιππίδας, Ἀλέξανδρος τὴν Ἑλένην, καὶ διὰ τοῦτο τοῖς Ἕλλησι πόλεμος ἐγένετο, καὶ νῦν τοῦ πορνοβοσκοῦ θυγάτηρ ἥρπασται. τότε δέ, φησί, προοιμίου τάξιν ἔχει τὸν ἀκροατὴν ἐπιστρέφουσα. τίθεται πρόθεσις καὶ πρὸ τῶν διηγήσεων, οἷον τίνων χρὴ λόγον παρὰ πρεσβευτοῦ λαβεῖν; πρῶτον ὧν ἀπήγγειλε, καὶ ἑξῆς. λαμβάνεται δὲ ἡ πρόθεσις καὶ ἐν ἀρχῇ, ὡς Λυκοῦργος· καὶ παράνομον τὸ ψήφισμα ἐπιδείξω καὶ ἀσύμφορον καὶ ἀνάξιον τὸν ἄνδρα δωρεᾶς. ἁρμόζει δὲ τότε ἡ τῶν κεφαλαίων ἔκθεσις, ὅταν ἐπὶ τὸ βέλτιον ὦσι περί τινος προαπενηνεγμένοι, ὡς ὁ Δημοσθένης περὶ τοῦ Χαριδήμου λέγων, ἐγὼ δὲ ἐὰν μὴ καὶ παράνομον τὸ ψήφισμα δείξω καὶ ἀσύμφορον καὶ ἀνάξιον τὸν ἄνδρα δωρεᾶς. καὶ περὶ μὲν προθέσεως ταῦτα· περὶ δὲ τῶν τῆς πίστεως τόπων ῥητέον, καὶ πρῶτον τί ἐστι τόπος.

Τόπος μὲν οὖν ἐστιν, ὡς Ἀλέξανδρός φησιν, ἀφορμὴ ἐπιχειρήματος, ἢ ἀφορμὴ πίστεως, ὅθεν ἄν τις ὁρμώμενος
202 ἐπιχείρημα εὕροι. τῶν δὲ τόπων ἔνιοι μέν, ὡς ὁ Νεοκλῆς φησί, κοινῶς τινὰ κατὰ πασῶν τῶν στάσεων εἰρήκασιν· οἱ δὲ ἰδίως ἑκάστης στάσεως, Ἀριστοτέλης δὲ καὶ κοινοὺς καὶ ἰδίους τοὺς μὲν πλείστους εὗαδεν, περὶ δὲ τῶν ἰδίων διαλέγεται συμφωνῶν καὶ αὐτὸς Εὐδήμῳ τῷ ἀκαδημαϊκῷ. εἰσὶ δὲ οὗτοι οἱ τόποι οἵδε· ὅρος, διαίρεσις, παράθεσις, συστοιχία, περιοχή, ὅμοιον, παρεπόμενον, μάχη, δύναμις, κρίσις. οὗτοι μὲν οὖν, φησίν,

οἱ γενικώτατοι τόποι. ἀρκτέον δὲ ἤδη περὶ ἑκάστου λέγειν. ὁ ὅρος τριχῇ τέμνεται, εἴς τε ὁλόκληρον τὸν ὅρον, εἰς τα ἐν τῷ ὅρῳ, καὶ τὰ παρακείμενα τῷ ὅρῳ. τὰ μὲν οὖν ἐν αὐτῷ τῷ ὅρῳ ταῦτά εἰσι, γένος, ἴδιον, διαφορά. τὰ δὲ παρακείμενα αὐτῷ, ἐτυμολογία, παρώνυμον, ἐπίθετον, ὑποκοριστικόν· καὶ ἐκ τούτων γὰρ ἐπιχειρήματα λαμβάνεται. ἡ δὲ διαίρεσις τριχῇ καὶ αὐτὴ τέμνεται, εἴς τε τὴν καταρίθμησιν καὶ εἰς τὸν μερισμὸν καὶ εἰς τὴν εἰδικὴν διαίρεσιν. ἔστι δὲ καταρίθμησις μὲν ὅταν ὄνομα μόνον ὑπάρχῃ, πρᾶγμα δὲ διάφορον· μερισμὸς δὲ ὅταν κοινωνῇ καὶ ὄνομα καὶ πρᾶγμα, μόνον δὲ τὴν λέξιν διάφορον ἔχῃ. περὶ δὲ τῆς εἰδικῆς διαιρέσεως ὡς σαφοῦς παραλείπομεν. ἡ δὲ παράθεσις καὶ αὐτὴ τριχῇ λαμβάνεται, ἢ κατὰ τὸ μᾶλλον, ἢ κατὰ τὸ ἧττον, ἢ κατὰ τὸ ἴσον. ἡ δὲ συστοιχία πραγμάτων κοινωνίαν καὶ ὀνομάτων δηλοῖ· συστοιχεῖν γὰρ ἀλλήλοις λέγομεν ὡς τὴν φρόνησιν καὶ τὸν φρόνιμον. ἡ δὲ περιοχὴ διπλῆ· ἃ μὲν γὰρ ὡς μέρη γίνεται, περιέχεται, ἃ δὲ ὡς κατὰ δύναμιν. ὁ δὲ ἐκ τῶν ὁμοίων τόπος καὶ αὐτὸς διπλοῦς· τὸ μὲν γὰρ κατὰ τὴν ποιότητα ὅμοιόν ἐστι, τὸ δὲ κατὰ τὴν ἀναλογίαν, ὅπερ εἰς τὰς ἀποδείξεις μᾶλλον ἁρμόττει. τὸ δὲ παρεπόμενον ἔχει τρόπους τρεῖς, τὰ πρὸ τοῦ πράγματος, τὰ ἐν τῷ πράγματι, τὰ μετὰ τὸ πρᾶγμα. τὴν δὲ μάχην ἐν τοῖς περὶ εὑρέσεως σχολικοῖς, ἐν οἷς περὶ ἐπιχειρημάτων ἐλέγομεν, ἐδιδάξαμεν· ῥητέον δὲ καὶ νῦν τὰ παρακείμενα αὐτῇ. παράκειται τοίνυν τῇ μάχῃ καὶ τὰ ἐναντία καὶ τὰ ἀντικείμενα. τί δὲ τούτων ἑκάτερον διαφέρει ῥητέον. ἀντικείμενα μὲν οὖν ἐστίν, ὧν τὸ ἕτερον τοῦ λόγου ἀποφατικόν ἐστιν. ἐναντία δὲ ὅσα περὶ τὸν αὐτὸν τόπον στρεφόμενα πλεῖστον ἀλλήλων ἀπέχει. τῶν δὲ ἐναντίων τὰ μέν ἐστι στερητικά, τὰ δὲ οὐ στερητικά. στερητικὰ μὲν οἷον τέχνη ἀτεχνία, οὐ στερητικὰ δὲ οἷον ἀγαθὸν

κακόν. ἡ δὲ δύναμις ὀκτὼ διαφορὰς ἔχει ἀκολούθως τῇ τοῦ συμφέροντος διαιρέσει. λαμβάνεται γὰρ τὸ συμφέρον ἐκ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, καὶ καθ' ἑκάτερον
203 τετραχῶς, ἐκ μὲν τοῦ ἀγαθοῦ κτίσις, αὔξησις, κρίσις, ὄνησις· ἐκ δὲ τοῦ κακοῦ ἔκκλισις, μείωσις, ἀπόκλισις, ὑπόστασις. κρίσις δὲ ληφθήσεται ἀπὸ θεῶν, ἀπὸ ἡρώων, ἀπὸ συγγραφέων, ἀπὸ φιλοσόφων, ἀπὸ ποιητῶν.

Οἱ μὲν γενικώτατοι τόποι οὗτοι· οὐδὲ γὰρ οἷόν τε νῦν περὶ ἁπάντων λέγειν, ἀλλ' ἁπλῶς εἰς ἔννοιαν ἄγομεν τοῦ πράγματος, ἐπεὶ καὶ ὅταν λέγωμεν δεῖν σκοπεῖν αἰτίαν ὕλην ἀγωγήν, οὐχ ὡς ἐκ τούτων μόνων ἐλεγχομένων τῶν ἀδικούντων φαμέν, πολλοὶ γὰρ καὶ ἀπὸ χρώματος καὶ ῥήματος ἠλέγχθησαν, ἀλλὰ δι' αὐτῶν ὥσπερ εἰς ἔννοιαν τῶν ὅλων ἄγομεν. δεῖ δὲ εἰδέναι ὅτι πάντα τὰ προειρημένα κατὰ δύο τρόπους ἔσται χρήσιμα ἐπὶ ζητημάτων, οἷον προκείσθω ζήτημα, εἰ ἡ ἡδονὴ ἀγαθόν. ἐὰν γὰρ θελήσωμεν τοῦτο ἀποδεῖξαι, ἐκ τοῦ ὅρου τῆς ἡδονῆς ἐπιχειρήσομεν, οἷον ὅτι ἡ ἡδονὴ ἀποκατάστασίς ἐστιν ἐκ τῶν παρὰ φύσιν εἰς φύσιν ἑκάστου τὴν αὑτοῦ, τὰ δὲ ἐξ ἀποκαταστάσεως ἀτελῆ, ἡ δὲ τοιαύτη ἡδονὴ ἀτελής, τὸ δὲ ἀτελὲς οὐκ ἀγαθόν· οὐκ ἄρα ἡδονὴ ἀγαθόν. εἰ δὲ ἀγαθὸν αὐτὴν ἀποδεῖξαι θελήσομεν, πάλιν ἐκ τοῦ ὁρισμοῦ τοῦ ἀγαθοῦ ἐπιχειρήσομεν. οἷον ὅτι ἀγαθόν ἐστιν οὗ πάντα ἐφίεται, τῆς δὲ ἡδονῆς πάντα ἐφίεται, ὥστε ἀγαθόν. τοῦτο δέ, φησί, συμβαίνει ἐὰν χωρὶς προσώπου παραλήψεως τὸ ζητούμενον ᾖ· ἐὰν δὲ μετὰ προσώπου παραλήψεως, οὔ. ἔστι δὲ καὶ ἀπ' αὐτῆς ταύτης λαβεῖν ἐπιχείρημα οὕτως. εἰ ἡδονὴ βασιλεῖ ἀγαθόν· τοῦτο γὰρ ὁρισάμενοι κατὰ τοῦτον τὸν ὅρον ἐπιχειρήσομεν.

Γνωστέον δὲ ἐπὶ τῶν τόπων τούτων κἀκεῖνο, ὅτι οἱ μὲν αὐτῶν εἰσὶν ἀνασκευαστικοὶ μόνον, οἷός ἐστιν ὁ ἀπὸ μᾶλλον, καὶ ἀπὸ γένους, καὶ τοῦ εἴδους· οἱ δὲ

καὶ ἀνασκευαστικοὶ καὶ κατασκευαστικοί, οἱ ἀπὸ τοῦ ὅρου.

Τὰς δὲ λύσεις τῶν πίστεων, ἁπλῶς μὲν εἰπεῖν, ἀπὸ τῶν αὐτῶν τόπων ληπτέον, ἀφ' ὧνπερ καὶ τὰς κατασκευὰς αὐτῶν λαμβάνομεν. καὶ ἑκάτερον δὲ οὕτως τὰς μὲν παραδειγματικὰς πίστεις οὕτως· ἢ γὰρ ψευδῆ τὰ λήμματα ἐροῦμεν, ἢ ἀνόμοιον δείξομεν τὸ παραλαμβανόμενον, καὶ ἀνόμοιον οὐκ ἄλλοθεν, ἀλλὰ κατ' αὐτὸ μάλιστα τὸ δοκοῦν συνέχειν τὴν ὁμοίωσιν, ἢ καὶ τοῦτο δόντες τὴν ἐπιφορὰν οὐ συγχωρήσομεν. οὐ γὰρ εἰ ἐπὶ τινῶν, καὶ ἐπὶ πάντων, ἢ ἐπί γε τούτου περὶ οὗ ἡ σκέψις, ὥσπερ καὶ Δημοσθένης· σὺ δ' ἡμῖν μὴ λέγε ὡς γέγονε τοῦτο πολλάκις· οὐ γὰρ εἴ τι πώποτε μὴ κατὰ τοὺς νόμους ἐπράχθη, καὶ ἑξῆς. 204

Τῶν δὲ ἀτέχνων πίστεων τοὺς μὲν νόμους ἢ ἀμφιβολίᾳ χρώμενοι καὶ οὐ τοῦτο εἶναι λέγοντες τὸ σημαινόμενον, ἀλλ' ἕτερον· ἢ τῆς μὲν λέξεως ἀφιστάμενοι, τὴν δὲ διάνοιαν ἐξετάζοντες τοῦ νομοθέτου, ἐκ τῶν ῥηθέντων ἄλλο τι τὸ προκείμενον συλλογιζόμεθα· ἢ ἕτερον καὶ αὐτοὶ νόμον ἀντεισάγοντες. τὰ δὲ ψηφίσματα καὶ τοὺς χρησμοὺς καὶ τὰ συμβόλαια ὁμοίως ὥσπερ τοὺς νόμους λύσομεν.

Τὰς δὲ μαρτυρίας αἰτιασόμεθα ἤτοι φίλους εἶναι λέγοντες τοῖς ἀντιδίκοις τοὺς μάρτυρας, ἢ ἡμῖν ἐχθρούς, ἢ δῶρα εἰληφότας, ἢ παρακεκλημένους, ἢ ἔργον τὸ καταψευδομαρτυρεῖν ποιουμένους. ἀντιτάξομεν δὲ τοῖς μάρτυσι καὶ τὰ εἰκότα λέγοντες, ὅτι ταῦτα μὲν οὐδέποτε ψεύδεται, ἄνθρωποι δὲ πολλοὶ ψευδομάρτυρες ἑαλώκασι.

Πρὸς δὲ τὰς βασάνους ὥσπερ καὶ πρὸς τοὺς μάρτυρας ἀπαντήσομεν. προσεξετάσομεν δὲ καὶ γένος τῶν βασανιζομένων καὶ τύχην καὶ ἡλικίαν, πρὸς δὲ τούτοις, ὅτι πολλοὶ τῶν βασανιζομένων διὰ τὰς βασάνους τινῶν

ψευδῆ κατεῖπον, καὶ εἰ μὲν μεγάλαι εἶεν αἱ βάσανοι, διὰ τὸ μέγεθος αὐτοὺς καταναγκασθῆναι ψεύσασθαι ῥητέον· εἰ δὲ σμικραί, διὰ τὴν σμικρότητα καταπεφρονηκέναι.

Τοὺς δὲ ὅρκους ἀπὸ τῶν αὐτῶν ἀφ' ὧνπερ καὶ τὰς μαρτυρίας λύσομεν, ὅτι καὶ πρότερόν τινες ἐπιώρκησαν, καὶ πάντες οἱ τὰ ἄδικα τολμῶντες οὕτως ἔχουσιν ὡς ἂν εἰκῇ ἐπιορκήσαντες. τοῦτο δὲ δεῖ εἰδέναι, ὅτι ὅταν πλείω ἰσχυρὰ ἔχωμεν, ὀλίγα δὲ ἀσθενῆ, μετὰ τὰ ἰσχυρὰ τὰ ἀσθενῆ προσήκει τιθέναι· ὅταν δὲ ἰσχυρὸν ἓν ἔχωμεν, πλατὺ δὲ ᾖ, διελόντες αὐτὸ μέσον τὸ ἀσθενὲς θήσομεν, ὥσπερ καὶ Δημοσθένης πεποίηκε μέσον τάξας τὸ παράνομον. εἰ δὲ τούτων μηδὲν ᾖ, τὸ ἀσθενὲς πρότερον τάξαντες οὕτως ἐπάξομεν τὸ ἰσχυρόν. ἔστι δὲ ὅτε καὶ ἀθρόα πλείω κεφάλαια θήσομεν, ὅταν αὐτῶν αἱ κατασκευαὶ ἀπὸ τῶν αὐτῶν ὦσι τόπων. τοὺς δὲ ἀντιδίκους τότε μάλιστα τελέον ἀθρόα, ὅταν ἔμφασις ᾖ μάχης· εὐδηλότερα γὰρ οὕτως, ἂν ἡ ἐναντίωσις γένηται· συγχυθήσονται δὲ ἐνίοτε τὰ κεφάλαια, ὅταν τι σαθρὸν ἐν αὐτοῖς ᾖ κεφάλαιον. τὰ μὲν ἁπλᾶ καθ' ἑαυτὰ ἢ κατασκευάσομεν ἢ
205 ἀνασκευάσομεν· τὰ δὲ διπλᾶ, ὡς ἐπὶ τῶν ἀντεγκλημάτων καὶ τῶν ἀμφισβητήσεων, ἐν οἷς παρεκτείνουσι μὲν τὸν λόγον, τὰ μὲν ἡμέτερα αὔξοντες, τὰ δὲ τῶν ἀντιδίκων μειοῦντες. διὸ καὶ τὸν Πλάτωνά τινες μέμφονται, ὅτι διπλοῦν ζήτημα, τὸ περὶ τοῦ ἔρωτος χαριζόμενος τὸ ἕτερον ἀνεξέργαστον ἀπολέλοιπε.

Τὴν δὲ τῶν πίστεων ἑρμηνείαν οὔτε ἀφελῆ εἶναι δεῖ, καθάπερ ἐν τῇ διηγήσει, οὔτε ἀνηπλωμένην καὶ σπερματικῶς ἔχουσαν τὰ πράγματα, ἀλλὰ καὶ συνεστραμμένην, καὶ οἷον εἰπεῖν κωνοειδῆ, καὶ τὸ σύνολον ἀγωνιστικήν. ἁρμόζεσθαι δὲ δεῖ τῇ ὑποκρίσει τὸν λέγοντα πρὸς τὸ σχῆμα τοῦ λόγου. τοσαῦτα καὶ περὶ πίστεων.

ΠΕΡΙ ΕΠΙΛΟΓΩΝ.

Ἐπίλογός ἐστι, ὡς μὲν Νεοκλῆς, λόγος ἐπὶ προειρημέναις ἀποδείξεσιν ἐπιλεγόμενος, πραγμάτων ἀθροισμὸν καὶ ἠθῶν καὶ παθῶν περιέχων. ὡς δέ τινες, μέρος λόγου ὕστατον ἑπόμενον ἀποδείξεσιν. ὡς δὲ Ἀλέξανδρος, λόγος ἐπιρρωννὺς τὰ εἰρημένα. περὶ δὲ τοῦ πότε αὐτῷ χρηστέον, καὶ ποίαν αὐτῷ δοτέον τάξιν, ἐν τοῖς περὶ προοιμίων εἴρηται· τὰ γὰρ αὐτὰ καὶ ἐπὶ τῶν ἐπιλόγων εἰπεῖν ἔνεστιν.

Ἵνα δὲ μὴ θαυμάσῃ τις, εἰ συμβαίνει τὸ προοίμιον καὶ τὴν διήγησιν καὶ τὸν ἐπίλογον παραλείπεσθαι, καὶ ἐν ἀποδείξεσι μόναις εἶναι τὸ ζήτημα, παραθησόμεθά τι τοιοῦτον. φέρε γὰρ ἐν σταδίῳ δρομεῖς δύο ἀμφισβητεῖν, τὸν μὲν εἰς τοὺς ὕσπληγας πρότερον εἰσπεσόντα, τὸν δὲ τὸ βραβεῖον κεκομισμένον. ἐνταῦθα γὰρ οὔτε τοῦ προοιμίου χρεία οὔτε τῆς διηγήσεως οὔτε ἐπιλόγου, ἀλλὰ μόνης ἀποδείξεως.

Διαιρεῖται δὲ ὁ ἐπίλογος εἰς εἴδη δύο, εἴς τε τὸ πρακτικὸν καὶ τὸ παθητικόν· καὶ τοῦ μὲν πρακτικοῦ ἐστὶν ἡ ἀνακεφαλαίωσις, τοῦ δὲ παθητικοῦ τὸ τὰ πάθη 206
κατασκευάζειν καὶ ῥωννύειν τὸν λόγον. ὅταν μὲν οὖν πολλὰ ᾖ τὰ εἰρημένα, ὥστε μὴ μεμνῆσθαι τοὺς ἀκούοντας, τῇ ἀναμνήσει χρησόμεθα· ὅταν δὲ ὀλίγα, παραλείψομεν τὴν ἀνάμνησιν. καὶ τὸ παθητικὸν δὲ μέρος ὡσαύτως· ὅταν μὲν γὰρ περὶ τὸ πρᾶγμα πάθος ᾖ, τότε κινήσομεν· ὅταν δὲ μὴ [εἴη], παρήσομεν. ὥσπερ γὰρ τὰ ὀλίγα καὶ εὐμνημόνευτα εἰ πάλιν ἀναμνήσομεν, γελοῖον ποιήσομεν, οὕτως καὶ τὰ μὴ ἔχοντα πάθος, ἂν παθαίνειν πειρασώμεθα, ἀπορήσαντες τοῦ τοιούτου, γελοῖοι ἐσόμεθα. ὅτι δὲ καὶ ἡ ἀνακεφαλαίωσις καὶ τὰ πάθη πολλάκις ἐκλείπει, παράδειγμά ἐστιν ὁ Λυσίου λόγος, ὁ περὶ τοῦ κυνιδίου γεγραμμένος. οὔτε γὰρ ἀνακεφαλαίωσιν ἔχει διὰ τὸ ὀλίγον εἶναι καὶ εὐμνημόνευτον, οὔτε πάθος

διὰ τὸ μικρὸν εἶναι τὸ πρᾶγμα. ἔργον δὲ ἐπιλόγου Πλάτων μὲν ἐν Φαίδρῳ φησίν· ἐν κεφαλαίῳ ἕκαστα λέγοντα ὑπομνῆσαι ἐπιτελευτικοὺς τοὺς ἀκούοντας περὶ τῶν εἰρημένων. ἔχεται δὲ τῆς αὐτῆς δόξης καὶ Χρύσιππος· καὶ γὰρ αὐτὸς μονομερῆ φησὶ τὸν ἐπίλογον. Ἀριστοτέλης δὲ ἐν ταῖς Θεοδεκτικαῖς τέχναις φησίν, ὅτι ὁ ἐπίλογος τὸ μὲν κεφάλαιον ἔχει προτρέψασθαι τοὺς ἀκούοντας. προτρέψομεν δὲ τριχῶς, εἰς τὰ πάθη ἀνάγοντες τὰ ἑκάστῳ προτρεπτικά. ἓν μὲν οὖν ἔργον ἐπιλόγου τὸ τὰ πάθη διεγεῖραι, δεύτερον τὸ ἐπαινεῖν ἢ ψέγειν· τούτων γὰρ ἐν ἐπιλόγοις ἡ χώρα· τρίτον δὲ τὸ ἀναμιμνήσκειν τὰ εἰρημένα, οὔτε δὲ τὰ εὐμνημόνευτα οὔτε τὰ ἀπαθῆ κινητέον.

Ἔστι δὲ ἀνακεφαλαίωσις ἔκθεσις σύντομος προειρημένων κεφαλαίων ἢ ἐπιχειρημάτων, ἢ νὴ Δία προειρημένων διεξοδικῶν λόγων ἐπιδρομὴ ἀθρόα τῆς τῶν ἀκουόντων ὑπομνήσεως ἕνεκεν. τὴν δὲ ἀνακεφαλαίωσιν οὐκ ἐν
207 *τοῖς τελευταίοις μόνον, ἀλλὰ καὶ ἐν τοῖς μέσοις ποιούμεθα· ὅταν γὰρ πολλὰ ᾖ καὶ δυσμνημόνευτα, τότε καὶ πολλάκις αὐτὰ ἀναμνήσομεν, οὐ πάντα πολλάκις λέγοντες, ἀλλὰ τὰ μὲν ἤδη προειρημένα ἀναμιμνήσκοντες, τὰ δὲ μετὰ ταῦτα πάλιν ἀνακεφαλαιούμενοι. ἀλλ' οὐδὲ τῶν εἰρημένων πάντα ἀνακεφαλαιωσόμεθα, ἀλλ' ὅσα μὲν ἰσχυρῶς ἐσμὲν λελυκότες, ταῦτα ἀνακεφαλαιώσασθαι προσήκει, τὰ δὲ σαθρὰ παραλιπεῖν. οὐ μὴν οὐδὲ τὰ ἀναγκαῖα τῶν ἀντιδίκων κεφάλαια πάντοτε ἀναμνήσομεν, ἀλλ' ἐκεῖνα ἃ τὴν ἀνάμνησιν ἀναγκαίαν ἔχει καὶ ἡμῖν χρήσιμον. τὴν δὲ τῶν κεφαλαίων ἀνάμνησιν ποτὲ μὲν μετὰ τῶν πίστεων ποιησόμεθα, ποτὲ δὲ ψιλήν. ὅταν μὲν οὖν μὴ ἰσχυραὶ ὦσιν αἱ πίστεις, ἢ ἐξίτηλοι τοῖς ἀκούουσι, τότε ἀναμνήσομεν μετὰ τῶν ἀποδείξεων· ὅταν δὲ ἢ ἀσθενεῖς ὦσιν, ἢ τοῖς ἀκούουσιν εὐμνημόνευτοι,*

ψιλῶν τῶν κεφαλαίων ἀναμνήσομεν. εἴδη δὲ τῆς ἀνακεφαλαιώσεως Νεοκλῆς μὲν τέτταρα εἶναί φησι, καθ' ὑπόθεσιν, κατὰ στάσιν, κατ' ἐπιχείρησιν, κατὰ τόπον. κατὰ μὲν οὖν ὑπόθεσιν ἀνακεφαλαίωσις γίνεται, ὅταν αὐτὰ τὰ τὴν ὑπόθεσιν πεποιηκότα ψιλῶς ἐκτιθώμεθα, οἷον ἀσεβείας κρινομένη Φρύνη· καὶ γὰρ ἐκώμασεν ἐν Λυκείῳ, καινὸν εἰσήγαγε θεόν, καὶ θιάσους ἀνδρῶν καὶ γυναικῶν συνήγαγεν. ἐπέδειξα τοίνυν ὑμῖν ἀσεβῆ Φρύνην, κωμάσασαν ἀναιδῶς, καινοῦ θεοῦ εἰσηγήτριαν, θιάσους ἀνδρῶν ἐκθέσμους καὶ γυναικῶν συναγαγοῦσαν. ψιλὰ γὰρ νῦν τὰ πράγματα διηγεῖται. κατὰ στάσιν δὲ ἀνακεφαλαίωσις γίνεται, ὅταν τὰ περὶ στάσεως ψιλῶς ἐκτιθώμεθα, οἷον ἔστω Φειδίας ὡς μὲν νοσφισάμενος ἐκ τοῦ Ὀλυμπίου χρυσίον, βασανιζόμενος καὶ τεθνηκώς. 208 ἡ ἀνακεφαλαίωσις· ἐπέδειξα τοίνυν μήτε ἀφῃρημένον Φειδίαν χρυσίον, ὅπερ στοχαστικόν. ὅτι τε εἰ καὶ ὑφείλετο, κλέπτης, οὐχ ἱερόσυλος ἦν, ὅπερ ἐστὶν ὁριστικόν. ἔτι δὲ εἰ καὶ ἱερόσυλος ἦν, κρίνειν ἐχρῆν πρότερον, οὐ βασανίζειν εὐθύς. ἔτι τε εἰ ἔδει κρίνεσθαι, παρ' Ἀθηναίοις ἔδει· ὅπερ ἐστὶ μετάληψις. κατ' ἐπιχείρησιν δὲ ἀνακεφαλαίωσις γίνεται, ὅταν τις τὰ ἰσχυρότερα ἐπιχειρήματα ἐκτιθῆται, οἷον ἔστω ὁ φιλόσοφος πείσας τὸν τύραννον καταθέσθαι τὴν τυραννίδα, καὶ αἰτῶν τὸ γέρας. ἡ ἀνακεφαλαίωσις· ἐπέδειξα ὑμῖν καὶ ἐκ τοῦ ὀνόματος τοῦ τυραννοκτόνου τὸν κτείνοντα μόνον δωρεᾶς ἄξιον, καὶ ἐκ τοῦ τὰς τοιαύτας δωρεὰς τοῖς κινδυνεύουσιν ἀποδιδόναι. κατὰ δὲ τόπον ἀνακεφαλαίωσις γίνεται, ὅταν τὰ ἔν τινι τόπῳ ἐμπεριεχόμενα συντόμως ἐκτιθῆται, ὡς ἐν ταῖς συμβουλαῖς ἡ ἀνακεφαλαίωσις ἐπέδειξα ὑμῖν καὶ δίκαιον καὶ συμφέρον καὶ πρέπον καὶ δυνατὸν καὶ ῥᾴδιον. δεῖ δὲ ἀναμιμνήσκειν συντόμως οὐκ ἐκ τοῦ φανεροῦ τὴν ἀνάμνησιν εἰσάγοντας, οἷον βούλο-

μαι δ' ὑμῖν ἄνωθεν περὶ ὧν εἶπον διελθεῖν. καὶ γὰρ μειρακιῶδές φησι τὸ τοιοῦτο, καὶ ἅμα δόξει περιττὴ γίνεσθαι. κατὰ δὲ τὰ στοχαστικὰ ζητήματα τοῖς τε κατηγορικῶς λεγομένοις χρήσιμον τὸ ἀνακεφαλαιώσασθαι· καθ' ἑαυτὰ μὲν γὰρ ἕκαστα τῶν κεφαλαίων ἀσθενῆ [ὄντα], τεθέντα δὲ ὁμοῦ τὰ πάντα ἰσχυρὰν ποιήσει τὴν ἀπόδειξιν· τοῖς δὲ ἀπολογουμένοις οὐ πάνυ.

Περὶ τῆς κατὰ τὴν ἀνακεφαλαίωσιν ἑρμηνείας Ἀλέξανδρος ὡδὶ γράφει· λέξις δὲ ἀνακεφαλαιωτικὴ ἀκριβὴς ἔστω, καὶ ὡς ἐπὶ τὸ πλεῖστον μὲν κυρία, μεμίχθω δὲ ἂν δέῃ, καὶ τροπικῇ. σχήματα δὲ ἔστω ποικίλα· καὶ γὰρ εἰρωνευόμενοι λέξομεν, καὶ πρὸς τοὺς ἀντιδίκους ἀποστρέφοντες τὸν λόγον, καὶ πρὸς τοὺς δικαστάς, καὶ ἁπλῶς πάντα τὰ σχήματα ἐπιδέχεται τοῦτο τὸ μέρος τοῦ λόγου. καὶ περὶ μὲν τοῦ πραγματικοῦ τοσαῦτα· περὶ δὲ τοῦ παθητικοῦ ἤδη ῥητέον, καὶ πρῶτόν γε τί ἐστι πάθος.

Ὁ μὲν οὖν Ἀλέξανδρός φησι, πάθος ἐστὶν ὁρμὴ ἀνατετραμμένη τὸν αἱροῦντα λόγον· ὡς δὲ Νεοκλῆς, πρόσκαιρος κατάστασις ψυχῆς σφοδροτέραν ὁρμὴν ἢ ἀφορμὴν κινοῦσα. πάθη δέ ἐστι τὰ πρῶτα τέσσαρα, λύπη, φόβος, ἐπιθυμία, ἡδονή. καὶ λύπη μέν ἐστι συστολὴ ὡς ἐπὶ κακῷ παρόντι, φόβος δὲ φυγὴ ὡς ἐπιφερομένου κακοῦ· ἐπιθυμία δὲ ἄλογος ὄρεξις, ἡδονὴ δὲ ἄλογος ἔπαρσις.
209 λύπης μὲν οὖν ὡς πρὸς τὸ παρὸν εἴδη, ἔλεος καὶ φθόνος. καὶ ἔλεος μέν ἐστι λύπη ἐπ' ἀναξίως δυστυχοῦντι, φθόνος δέ ἐστιν ἐπὶ τῇ τοῦ πέλας εὐπραγίᾳ χωρὶς τῆς ἐπὶ τὰ οἰκεῖα διαφορᾶς. φόβου δὲ εἴδη αἰσχύνη καὶ ἀγωνία, ὧν αἰσχύνη μὲν φόβος ἥττης, ἀγωνία δὲ φόβος διαπτώσεως. τῆς δὲ ἐπιθυμίας εἴδη ὀργὴ καὶ θυμός, ὧν θυμός ἐστιν ὀργὴ βίαιος πρὸς κακοποιΐαν, ὀργὴ δέ ἐστιν ἐπιθυμία τιμωρίας. τῆς ἡδονῆς εἴδη ἐπιχαιρεκακία καὶ ἀπόλαυσις, ὧν ἡ μὲν ἐπιχαιρεκακία ἡδονὴ ἐπὶ τῇ τοῦ πέλας

κακοπραγίᾳ, ἀπόλαυσις δὲ ἡδονὴ ὡς ἀνεμπιπλαμένου μετὰ θαυμασμοῦ. τὰ μὲν οὖν πάθη ταῦτα εἰς τὸν ἐπίλογον ἁρμόζει. ἔργον δὲ ἐπιλόγου ἢ προϋπάρχοντα πάθη αὐξῆσαι, ἢ ἐμποιῆσαι μὴ ὄντα. μεγάλην δὲ ἔχει ῥοπὴν ἐν τοῖς ἐπιλόγοις ἡ αὔξησις, περὶ ἧς λεκτέον. αὔξησίς ἐστι λόγος μεῖζον ποιῶν φαίνεσθαι τὸ πρᾶγμα, μείωσις δὲ λόγος μεῖον ποιῶν φαίνεσθαι τὸ πρᾶγμα. λαμβάνεται δὲ τὰ πάθη ἀπὸ τῶν αὐτῶν ἀφ' ὧνπερ καὶ τὰ ἐπιχειρήματα. καὶ γὰρ ὀργήν τις κινεῖν ἀπὸ τῶν αὐτῶν δύναται τούτων καὶ πειθώ. χρήσιμοι δὲ ἐν τοῖς ἐπιλόγοις καὶ αἱ ἀντεξετάσεις προσώπων πρὸς πρόσωπα, πράξεων πρὸς πράξεις. κινεῖ δὲ [πρὸς] πάθος καὶ ἡ διατύπωσις, ὅταν τις διατυπώσῃ τὸν τετελευτηκότα λέγοντα, οἷον εἰ τύχοι, φεῖσαι, πάτερ. κινεῖ πάθος καὶ ὅταν περὶ τοῦ σχήματος διαλέγηται, οἷον εἰ τύχοι, ὅπως μὲν ἐπὶ γῆς ἔκειντο, ὅπως δὲ οὗτος παρειστήκει μετὰ τοῦ ξίφους. ἐπεὶ δὲ καὶ τὴν διατύπωσιν ἔφαμεν πάθη κινεῖν, ῥητέον, τίς ἐστιν ἡ διατύπωσις. διατύπωσίς ἐστιν ἐναργὴς καὶ ἐξειργασμένη φράσις τῶν ψιλῶς καὶ ἁπλῶς ἐν τῇ διηγήσει λεγομένων, ὑπ' ὄψιν ἄγουσα τὸ πρᾶγμα. κινεῖ δὲ ἔλεον καὶ τὸ τοῖς μηκέτ' οὖσι διαλέγεσθαι, ὡς Εὐριπίδης πεποίηκε λέγειν τὴν Ἑκάβην, καὶ ὁ Σοφοκλῆς τὴν Ἠλέκτραν. ὅλως τε ἀφορμὰς ἕξεις εἰς τὸν παθητικὸν τόπον τὰ τῶν τραγῳδοποιῶν δράματα. προνοητέον δὲ ἐν τοῖς ἐπιλόγοις, ὅπως· ἐὰν κατηγορῶμεν, δύσνουν τὸν ἀκροατὴν ποιήσωμεν τῷ φεύγοντι· ἐὰν δὲ ἀπολογώμεθα, εὔνουν ἑαυτοῖς τὸν ἀκροατὴν καταλείψωμεν.

Γνωστέον δὲ ὡς οὐκ ἀπὸ τοῦ παντὶ λόγῳ ἐπιλέγεσθαι, ὥς τινες ᾠήθησαν, ἐπίλογος κέκληται, ἀλλὰ παρὰ τὸ μηκέτι εἶναι μέρος λόγου ἄλλο (τὸ) μετὰ τὴν διήγησιν, καὶ τὰς πίστεις [καὶ τὰ πάθη]. ὅτι γὰρ οὐ διὰ τοῦτο κέκληται ἐπίλογος, διὰ τὸ παντὶ λόγῳ ἐπιλέγεσθαι, ἱκα-

νῶς ἐδήλωσαν οἱ ἀρχαῖοι. Δημοσθένης καὶ ἀνεκεφαλαιώσατο ἐν μέσῳ, καὶ τὰς δεινωτικὰς ὕλας παρέσπειρεν ἑκάστῳ κεφαλαίῳ· ἅπερ ἐστὶ τοῦ ἐπιλόγου. διαφέρει δὲ
210 ὁ ἐπίλογος τοῦ προοιμίου καὶ κατὰ τὴν λέξιν καὶ κατὰ τὴν διάνοιαν· κατὰ μὲν τὴν λέξιν, ὅτι ἐν ἐκείνῳ μὲν μετρίαν εἶναι δεῖ καὶ ἠπίαν, ἐν τούτῳ δὲ συγκεκινημένην καὶ πολλὰς ἐμβοήσεις ἔχουσαν καὶ σχετλιασμούς. κατὰ δὲ τὴν διάνοιαν, ὅτι ἐκεῖ μὲν πάθος ἐμποιῆσαι δεῖ, ἐνταῦθα δὲ πρόσωπον αὐξῆσαι καὶ ἐπιρρῶσαι. ἡ δὲ ἑρμηνεία καὶ πάνυ πως ἁρμόζει, εἰ θρασεῖα εἴη καὶ τετολμημένη, καὶ ἥ τε λέξις πολλὴν ἔχουσα τὴν τροπικὴν παρασκευήν, ἥ τε σύνθεσις κεκαινωμένη καὶ παρακινοῦσα τὴν ψυχήν. καὶ τὸ σχῆμα δὲ σχετλιασμοὺς ἐχέτω καὶ εὐχὰς καὶ τὰ τοιαῦτα.

Γνωστέον δὲ ὅτι τὰ πάθη καὶ ἐν τοῖς κεφαλαίοις μέσοις παραληφθήσεται, μάλιστα ἐπὶ τῶν ἀσθενῶν ὑποθέσεων. συμπεριστέλλεται γὰρ τὸ ἀσθενὲς τοῦ πράγματος τῇ τῆς παθητικῆς ἰδέας ὑπερβολῇ, καὶ ὁ κριτὴς μεθυσκόμενος τοῖς πάθεσιν οὐκέτι τὸ ἀκριβὲς διορᾷ τοῦ πράγματος, ὅπερ καὶ Δημοσθένης πεποίηκεν ἐν τῷ περὶ παραπρεσβείας· καὶ γὰρ ἀνεκεφαλαιοῦτο ἐν μέσοις, καὶ τὰς αὐξητικὰς ὕλας ἑκάστῳ παρέσπειρε τῶν κεφαλαίων.

Ὡς μὲν οὖν συντόμως εἰπεῖν, ἡ φράσις ἔστω τῶν μερῶν τοῦ λόγου τοιαύτη· τοῦ μὲν προοιμίου ἀπερίεργός τε καὶ ἥκιστα σημειώδης, καὶ σπερματικῶς ἔχουσά τινα τῶν πραγμάτων τῆς διηγήσεως. ἡ δὲ διήγησις θρασυτέρα μὲν καὶ πρὸς τὰ προοίμια καὶ μᾶλλον κεκινδυνευμένη, τηροῦσα μέντοι τὸ μέτρον τοῦ λόγου· τῶν πίστεων ἐναγώνιός τε καὶ πικρὰ καὶ περιόδοις καὶ κώλοις ἀνυομένη. κῶλον μὲν οὖν ἐστὶ διανοίας μέρος ἀπαρτίζον πρὸς ἕτερον κῶλον παρακείμενον, οἷον· εἶτα τὸν μὲν χορευτὴν οὐδὲ ὁ προσκαλέσας ἀζήμιος ἔσται. τοῦτο γὰρ ἕν ἐστι κῶλον. εἶτα τὸ ἑξῆς, τὸν δὲ χορηγὸν οὐδὲ ὁ συγκόψας παρὰ πάντα τὸν νόμον. ἢ ὥς ἔνιοι, κῶλόν ἐστι νοήματός τινος περιγραφή. περίοδος δέ ἐστι λόγος διάνοιαν ἀπαρτίζων αὐτοτελῆ ἐκ κώλων συγκειμένη. ἡ δὲ τῶν ἐπιλόγων φράσις παθητικὴ [ἐστι] καὶ τολμηρο-

τέρα τοῖς νοήμασι καὶ ταῖς δεινώσεσι, καὶ τοῖς σχετλιασμοῖς περιπαθεστέρα.

Ὡς μὲν οὖν συντόμως χαρακτηρίσαι τὴν λέξιν τῶν τοῦ λόγου μερῶν, ἱκανῶς εἴρηται· ὡς δὲ διὰ μακροτέρων, ὡδί. θήσω δὲ ταῦτα ἐκ τῆς Ἁρποκρατίωνος τέχνης.

Τῆς δὲ λέξεως προοιμίῳ μὲν ἁρμόσει τὸ πολιτικὸν καὶ μηδαμῇ τροπικὸν ἀλλ' ἐγγυτάτω τοῦ κατὰ φύσιν. προκατάστασις γάρ ἐστι τὸ προοίμιον τοῦ λόγου, αἱ δὲ τροπαὶ ταῖς καταφοραῖς μᾶλλον ἁρμόσουσιν. οὐ μήν, φησίν, ἐπειδὴ τὸ παρατετραμμένον καὶ παράθερμον 211
παραιτούμεθα, ἄτονον καὶ νωθρὸν εἶναι δεῖ τὸν λόγον, 11
ἀλλ' ὡς ἔνι μάλιστα κινητικὸν τοῦ ἀκροατοῦ. δεῖ δέ, φησί, μήτε περιόδοις μακραῖς χρῆσθαι· προαποκάμνει γὰρ ὁ ἀκροατὴς καὶ προεκλύεται, ἀλλὰ περιστέλλειν καὶ μὴ περιουσιάζειν. γίνεται δέ, φησί, τοῦτο διὰ τῆς κυριότητος. εὐρυθμότερα δέ, φησί, τῶν νοημάτων τὰ ταῖς περιγεγραμμέναις προθέσεσι περιγεγραμμένας ἐπιφορὰς ἀποδιδόντα, οὐ μὴν ἀλλ' ἐνίοτε ἐναγώνιον ἔσται τὸ τοιοῦτον, ἐνίοτε δέ φησιν οὐ τοῦ περὶ τὴν ἀπόδοσιν εὐρύθμου, ἀλλὰ τοῦ περὶ τὴν διάνοιαν χρησίμου προνοητέον, ὥσπερ καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου· τὴν γὰρ δευτέραν περιφορὰν ἀπεριγράφως ἐξέτεινε διὰ τὸ πλειόνων κατασκευῶν δεῖσθαι. περὶ οὖν προοιμίων τοσαῦτα.

Περὶ δὲ τῆς διηγήσεως εἴρηται ἐν τῷ περὶ εὑρέσεως δευτέρῳ τόμῳ.

Ταῖς δὲ κεφαλαιώδεσι κατασκευαῖς διάφορος ὁ τῆς λέξεως χαρακτήρ. ὡς γὰρ καθόλου, φησίν, εἰπεῖν, πάντα μετὰ βάρους προακτέον, καὶ οὐχ ἁπλῇ οὐδὲ διακεκομμένῃ τῇ φράσει· ὡς μέντοι κατὰ τὴν ἰδίαν προαγωγήν, καλὸν τὰς μὲν τῶν ἐπιχειρημάτων θέσεις ἁπλᾶς καὶ σαφεῖς εἶναι· προάγεσθαι δὲ αὐτὰς λαγαρώτερον, πυκνῶς μὲν διεξοδικῶς δέ, πλὴν ἐὰν ἄρα μὴ κατασκευὰς ἑτέρας ἔχῃ. ὅταν γὰρ τὸ ἐπιχείρημα δέηται ἔξωθεν κατασκευῆς, οὐκ ἐνθυμήματος, ἀλλὰ συγκαταστάσει παραβεβλημένης, ποικιλώτεροι καὶ οἱ συσχηματισμοὶ γίνονται τοῦ λόγου ταῖς προειρημέναις παραθέσεσι καὶ ἐπαναγωγαῖς.

ἐὰν δὲ αὐτὸ ἐφ' ἑαυτοῦ προάγωμεν, μέλλει τὸ ἐπιχείρημα τὴν προαγωγὴν ἁπλῶς πολιτικὴν λαμβάνειν. τὸ δὲ ἐνθύμημα πολλάκις μὲν καὶ ἁπλῇ λέξει προάγεται. ἡ δὲ οὖν οἰκεία λέξις αὐτοῦ κατὰ τὰς παρισώσεις καὶ τὰς ἀντιστροφάς ἐστι. ταῦτα γὰρ τὰ δύο σχήματα τοῖς ἀντιθετικοῖς ἁρμόζει. ἐνθυμηματικώτερον δὲ τῶν περὶ τὴν διάνοιάν ἐστι σχημάτων τὸ ἀντιθετικόν, συνακτικὸν καὶ βιαστικὸν τοῦ προκειμένου. τὸ δὲ ἐπενθύμημα ποτὲ μὲν 212 ὁμοίως ἄν φησιν ἐξενεχθείη τῷ ἐνθυμήματι στρογγύλως καὶ πυκνῶς, ποτὲ δὲ εἴωθεν ἐκλύεσθαι. ἁρμοδιώτερον μέντοι ἐστὶ καὶ αὐτό, φησίν, ἐπισυναχθῆναι, μὴ μακρὰν τὴν ἐπὶ τῷ ἐνθυμήματι κατασκευὴν ἀποτεῖνον. παράδειγμα δὲ τούτων φέρειν οὐκ ἀναγκαῖόν φησι· τὸν γὰρ χαρακτῆρα τῆς λέξεως, οὐ τὸν τρόπον τῆς μεταχειρίσεως λέξειν ἐπηγγειλάμεθα.

Τοὺς δὲ ἐπιλόγους, φησίν, ἁπλοῖς μὲν ἁπλοῦς εἶναι δεῖ, ἐν δὲ τοῖς ἀμφισβητήμασι λείαν μὲν καὶ ἀφελῆ τὴν λέξιν διὰ τὰς κατασκευάς·· ὁ γὰρ τοιοῦτος, φησίν, ἐπίλογος εὐμάθειαν ἐπαγγέλλεται. ὅπου δὲ δείνωσίς τις ᾖ, τροπικῇ λέξει χρηστέον, τροπικωτέραν δέ, φησί, τὴν λέξιν καὶ σφοδροτέραν ἐπιτιθέντες, ὅπου [δὲ] πανήγυρις. τοὺς δεσμούς, φησί, τῶν κώλων οὐ τραχεῖς ἀλλὰ λείους ἀποδώσομεν, καὶ τὴν λέξιν ὡσαύτως οὐ τραχεῖαν ἀλλὰ ἱστορικὴν προθήσομεν. τὸ μὲν κῶλον οὐ ποιητικοῦ, ἐγγὺς δὲ τοῦ γλαφυροῦ καὶ ἡδέος. Διονύσιος δὲ ὁ Ἁλικαρνασσεύς, ὃν κανόνα ἄν τις εἴποι δικαίως τῆς περὶ ῥητορικὴν μελέτης, ἐν τῷ Λυσίου χαρακτῆρι ἐπαινῶν τὸν Λυσίαν ἐπιδείκνυσιν ἅμα καὶ ποίαν δεῖ ἑρμηνείαν (εἶναι) ἐν τοῖς μέρεσι τοῦ λόγου, καί φησιν οὕτως· διαφοράς τε αὐτῶν λαμβάνει κατὰ τὰς ἰδέας τῶν πραγμάτων ἡ λέξις· ἀρχομένῳ μὲν γάρ ἐστι καθεστηκυῖα καὶ ἠθική· διηγουμένῳ δὲ πιθανὴ καὶ ἀπερίεργος, ἀποδεικνύντι δὲ στρογγύλη καὶ πυκνή, αὔξοντι δὲ καὶ παθαινομένῳ σεμνὴ καὶ ἀληθινή· ἀνακεφαλαιουμένῳ δὲ διαλελυμένη καὶ σύντομος.

Τοσαῦτα περὶ τῶν τοῦ λόγου μερῶν.

IX.

ΡΟΥΦΟΥ

ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ.

ΡΟΥΦΟΥ
ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ. 447 Walz.

α΄. Ἡ ῥητορική ἐστιν ἐπιστήμη τοῦ καλῶς καὶ πει-
τικῶς πάντα τὸν προκείμενον διαθέσθαι λόγον.

β΄. Εἴδη τοῦ ῥητορικοῦ ἐστι τέσσαρα, δικανικὸν συμ-
ιουλευτικὸν ἐγκωμιαστικὸν ἱστορικόν.

Δικανικὸν μὲν οὖν ἐστιν ἐν ᾧ κατηγοροῦμεν ἢ ἀπο-
ογούμεθα, ἢ ἄλλως ἐν δικαστηρίῳ ἀμφισβητοῦμεν.

Συμβουλευτικὸν δὲ ἐν ᾧ προτρέπομέν τινα ἢ ἀπο-
ρέπομεν.

Ἐγκωμιαστικὸν δὲ ἐν ᾧ ἐγκωμιάζομέν τινα ἢ ψέ-
ομεν.

Ἱστορικὸν δὲ ἐν ᾧ διηγούμεθα πράξεις τινὰς μετὰ 448
όσμου ὡς γεγενημένας.

γ΄. Μέρη δὲ τοῦ δικανικοῦ λόγου τέσσαρα, προοί-
ιον, διήγησις, ἀπόδειξις, ἐπίλογος.

ΠΕΡΙ ΠΡΟΟΙΜΙΟΥ.

δ΄. Προοίμιόν ἐστι λόγος παρασκευάζων τὸν ἀκροα-
ὴν εἰς τὴν προκειμένην ὑπόθεσιν ἐπιτήδειον. ἔργον δὲ
ὐτοῦ τό τε προσεκτικοὺς τοὺς ἀκροατὰς παρασκευάζειν
ρὸς τὰ ῥηθησόμενα, καὶ τὸ εὔνοιαν ἢ μῖσος ἀπεργά-
εσθαι.

ε΄. Λαμβάνεται δὲ τὰ προοίμια ἀπὸ προσώπου, ἤτοι
οῦ ἰδίου, ὅταν ἑαυτοὺς συνιστῶμεν, οἷον πρῶτον μέν, 449

ὦ Ἀθηναῖοι, θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι καὶ παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα. ἢ ἀπὸ τῶν ἀντιδίκων τὰ προοίμια λαμβάνεται, ὅταν αὐτοὺς διαβάλλωμεν, οἷον τὴν μὲν ἀσέλγειαν, ὦ Ἀθηναῖοι, καὶ τὴν ὕβριν ᾗ πρὸς ἅπαντας ἀεὶ χρῆται Μειδίας, οὐδένα ὑμῶν οὔτε τῶν ἄλλων πολιτῶν ἀγνοεῖν οἴομαι.

στ'. Ἔστι δὲ προοίμια λαβεῖν καὶ ἀπὸ τῶν δικαστῶν, ὅταν αὐτοὺς προσάγωμεν τῷ πράγματι, οἷον εἰδότες ὑμᾶς, ὦ Ἀθηναῖοι, καὶ τοῖς ἀδικουμένοις προθύμως βοηθεῖν εἰθισμένους, καὶ τοῖς εὐεργέταις μεγίστην χάριν ἀποδιδόντας, ἥκομεν ἱκετεύσοντες μὴ περιϊδεῖν ἡμᾶς ὑπὸ Θηβαίων ἀναστάτους γεγενημένους.

ζ'. Ἔστι προοίμια λαβεῖν καὶ ἀπὸ τῶν συνηγορουμένων, ὅταν, αὐτῶν ὡς ἀδυνάτων ὑπεραπολογεῖσθαι, λέ-
450 γωμεν, οἷον τὴν μὲν ἀπειρίαν τοῦ λέγειν καὶ ὡς ἀδυνάτως ἔχει Φορμίων, πάντες ὁρᾶτε, ὦ δικασταί.

η'. Ἔτι δ' ἔστι προοίμια λαβεῖν καὶ ἀπὸ τῶν θεῶν, ὅταν τὴν αὐτῶν εὔνοιαν ἐκφαίνωμεν· οἷον ἐπὶ πολλῶν ἄν τις ἴδοι, ὦ δικασταί, τὴν παρὰ τῶν θεῶν εὔνοιαν τῇ πόλει φανερὰν γιγνομένην, οὐχ ἥκιστα δ' ἐν τοῖς παροῦσι πράγμασιν.

θ'. Ἀπὸ δὲ πραγμάτων λαμβάνεται τὰ προοίμια, προαγγελίᾳ, συγκρίσει, μερισμῷ, ἐφόδῳ, χρόνῳ, αἰτίᾳ, γνώμῃ.

ι'. Προαγγελία μὲν οὖν ἐστὶ δήλωσις κεφαλαιώδης περὶ ὧν λέγειν μέλλομεν· οἷον ἀλλ' εἴπερ ἄρα ὀρθῶς ἐγὼ λογίζομαι καὶ σκοπῶ, περὶ τοῦ Χερρόννησον ἔχειν ἡμᾶς ἀσφαλῶς καὶ μὴ παρακρουσθέντας ἀποστερηθῆναι πάλιν αὐτῆς, περὶ τούτου μοι ἔστιν ἅπασα ἡ σπουδή.

ια΄. Σύγκρισις δέ ἐστι προσώπων ἢ πραγμάτων ἐξέ- 451
τασις· προσώπων μὲν οὖν οὕτως· ἔδει μέν, ὦ Ἀθηναῖοι, τοὺς λέγοντας ἅπαντας μήτε πρὸς ἔχθραν ποιεῖσθαι τοὺς λόγους μηδένα, μήτε πρὸς χάριν, ἀλλ' ὃ βέλτιστον ἕκαστος ἡγεῖτο, τοῦτο ἀποφαίνεσθαι· πραγμάτων δὲ οὕτως· ἀντὶ πολλῶν, ὦ Ἀθηναῖοι.. συγκρίνει γὰρ συμφέρον καὶ χρήματα.

ιβ΄. Μερισμὸς δ' εἰς μέρη τῆς δικαιολογίας περιγραφή, οἷον ἐξελέγξω, πρῶτον μὲν ὡς αὐτὸς ὑβρίσθην, ἔπειτα ὑμεῖς ὅσα ἠδίκησθε, μετὰ ταῦτα δὲ καὶ τὸν ἄλλον αὐτοῦ βίον ἐξετάσω καὶ δείξω πολλῶν θανάτων, οὐχ ἑνός, ὄντα ἄξιον.

ιγ΄. Ἔφοδος δ' ἔστιν εὔλογος αἰτία διηγήσεως, οἷον 452
βούλομαι δ' ἕκαστα ὧν πέπονθα ἐπιδείξας καὶ περὶ τῶν πληγῶν εἰπεῖν, ἃς τὸ τελευταῖον προσέτεινέ μοι· οὐδὲν γάρ ἐστιν ἐφ' ᾧ τῶν πεπραγμένων οὐ δίκαιος ὢν ἀπολωλέναι φανήσεται.

ιδ΄. Τὰ δ' ἀπὸ χρόνου λαμβανόμενα προοίμιά ἐστιν εὑρεῖν πανταχοῦ, καὶ ἐν τῷ πρώτῳ λόγῳ· ὁ μὲν οὖν παρὼν καιρός.

ιε΄. Ἡ δ' αἰτία, δι' ἣν ἐπὶ τὸν ἀγῶνά τις ἀπήντηκε, σύστασιν ἔχει τοῦ πράγματος, ὡς ἐν τῷ κατὰ Νεαίρας· πολλὰ μὲν ἦν τὰ παρακαλοῦντα, ὦ Ἀθηναῖοι, γράψασθαι Νέαιραν τὴν γραφὴν ταυτηνί. ἡ γὰρ γνώμη σεμνοτέραν τὴν προκατάστασιν τοῦ λόγου ποιεῖ, ὡς ὁ Θουκυδίδης πανταχῆ.

ΠΕΡΙ ΔΙΗΓΗΣΕΩΣ.

ιστ΄. Διήγησίς ἐστι τῶν ἐν τῇ ὑποθέσει πραγμάτων δήλωσις, περὶ τὸ τοῦ λέγοντος μέρος ῥέπουσα. ἀρεταὶ δὲ διηγήσεως τρεῖς, σαφήνεια, συντομία, πιθανότης.

ιζ'. Σαφήνεια μὲν οὖν λέγεται, ὅταν μήτε λέξεσι ξέναις χρώμεθα μήτε διανοίαις μήτε ὑπερβατοῖς.

453 ιη'. Συντομία δὲ ὅταν αὐτὰ μόνα τὰ ἀναγκαῖα διεξίωμεν μήτε πόρρω ἀρχόμενοι μήτε ἐπὶ μακρότατα παυόμενοι.

ιθ'. Πιθανότης δὲ ὅταν τὰ ἀληθῆ καὶ δυνάμενα πιστευθῆναι δηλῶμεν.

κ'. Τρόποι δὲ τέσσαρες, διήγησις, παραδιήγησις, προδιήγησις καὶ ὑποδιήγησις.

κα'. Διήγησις μὲν οὖν ἐστίν, ὥσπερ ἔφημεν, ἁπλῆ τῶν γεγενημένων φράσις, οἷον ἐπεὶ γὰρ οὐ καθεστηκότος χορηγοῦ τῇ Πανδιονίδι φυλῇ τρίτον ἔτος τουτί, παρούσης δὲ τῆς ἐκκλησίας ἐν ᾗ τὸν ἄρχοντα ἐπικληροῦν ὁ νόμος τοῖς χοροῖς τοὺς αὐλητὰς κελεύει, λόγου καὶ λοιδορίας γενομένης, καὶ κατηγοροῦντος τοῦ μὲν ἄρχοντος τῶν ἐπιμελητῶν τῆς φυλῆς, τῶν δ' ἐπιμελητῶν τοῦ ἄρχοντος, παρελθὼν ὑπεσχόμην ἐγὼ χορηγήσειν ἐθελοντής.

κβ'. Παραδιήγησις δέ ἐστιν ἡ πρὸς τὸ χρήσιμον τοῦ ὑποκειμένου λόγου ἔξωθεν προστιθεμένη καὶ παραλαμβανομένη διήγησις ἐν τρόπῳ ἀφηγήσεως, οἷον ἐπεὶ γὰρ εἷλεν Ὄλυνθον Φίλιππος, Ὀλύμπια ἐποίει· εἰς δὲ τὴν θυσίαν ταύτην καὶ τὴν πανήγυριν πάντας τοὺς τεχνίτας συνήγαγεν. ἑστιῶν δ' αὐτοὺς καὶ στεφανῶν τοὺς νενικηκότας, Σάτυρον τουτονὶ τὸν κωμικὸν εἶδεν ὑπο-
454 κριτήν, ὃς οὐδὲν ἐπαγγέλλεται. καὶ ὁ Ξενοφῶν· ἐνταῦθα ἦν παρὰ τὴν ὁδὸν κρήνη Μίδου καλουμένη τῶν Φρυγῶν βασιλέως, ἐφ' ᾗ λέγεται Μίδας τὸν Σάτυρον θηρεῦσαι οἴνῳ κεράσας αὐτόν. καὶ πάλιν· ἐνταῦθα λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν ἐρίζοντά οἱ περὶ σοφίας, καὶ τὸ δέρμα κρεμάσαι ἐν τῷ ἄντρῳ, ὅθεν αἱ πηγαί· διὰ τοῦτο δὲ ὁ ποταμὸς καλεῖται Μαρσύας.

κγ΄. Προδιήγησίς ἐστιν ἡ πρὸ τῆς εἰς τὸ πρᾶγμα τελούσης διηγήσεως αἰτία παραλαμβανομένη, δι᾽ ἣν ἐπὶ τὸν ἀγῶνά τις ἀπήντηκεν, οἷον ἐγὼ γάρ, ὦ Ἀθηναῖοι, προσέκρουσα ἀνθρώπῳ πονηρῷ καὶ φιλαπεχθήμονι καὶ θεῶν ἐχθρῷ, ᾧ τελευτῶσα ὅλη προσέκρουσεν ἡ πόλις, Ἀνδροτίωνι λέγω.

κδ΄. Ὑποδιήγησις δὲ ὅταν μετὰ τῶν πραγμάτων καὶ τὰς γνώμας τῶν πραξάντων ἑκάστου καὶ τὰς αἰτίας λέγωμεν, οἷον οὐκ ἦν τοῦ πρὸς ἡμᾶς πολέμου πέρας οὐδ᾽ ἀπαλλαγὴ Φιλίππῳ, εἰ μὴ Θηβαίους καὶ Θετταλοὺς ἐχθροὺς ποιήσειε τῇ πόλει· ἀλλὰ καίπερ ἀθλίως καὶ κακῶς τῶν στρατηγῶν τῶν ἡμετέρων πολεμούντων αὐτῷ, ὅμως ὑπὸ τοῦ πολέμου καὶ τῶν λῃστῶν μυρία ἔπασχε κακά.

ΠΕΡΙ ΑΠΟΔΕΙΞΕΩΣ. 455

κε΄. Ἀπόδειξίς ἐστι τῶν ἀμφισβητουμένων ἐν τῇ ὑποθέσει πραγμάτων εἰς ὁμολογίαν ἀποκατάστασις. ἀποδείκνυται δ᾽ ἕκαστον πρᾶγμα ἐκ τῶν ἐπιχειρημάτων.

κϛ΄. Ἐπιχείρημα δέ ἐστιν ἐπινόημα ὃ κατασκευάζει τὸ ζητούμενον. τῶν δ᾽ ἐπιχειρημάτων τρόποι τέσσαρες· τὰ μὲν γὰρ λαμβάνεται ἀπὸ προσώπων, τὰ δὲ ἀπὸ πραγμάτων, τὰ δὲ ἀπὸ παραδειγμάτων, τὰ δὲ ἀπὸ τῶν ἀτέχνων.

κζ΄. Τὰ μὲν οὖν ἐκ προσώπων λαμβανόμενα θεωρεῖται ἀπὸ τούτων ἀφ᾽ ὧν καὶ τὰ ἐγκώμια, γένους, φύσεως, ἀγωγῆς, τύχης, ἐπιτηδευμάτων, πράξεων, διαθέσεων.

κη΄. Τὰ δὲ ἐκ τῶν πραγμάτων ἀπὸ οὐσίας καὶ ἰδιότητος. οὐσία δὲ τὸ κοινῶς καὶ γενικῶς θεωρούμενον, οἷον 456
τί φόνος; τί ἱεροσυλία; τί μοιχεία; οὐσία δὲ καὶ τὰ θετικά, οἷον τί φύσει καλόν; ἡ εἰρήνη· τί φύσει φαῦ-

λον; ὁ πόλεμος. ἰδιότης δὲ ὅταν τὸ ἴδιον τοῦ ὑποκειμένου πράγματος θεωρῶμεν, ἐκ μὲν τοῦ κατηγόρου, κατὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἐκ δὲ τοῦ φεύγοντος, κατὰ τὰς εὐλόγους αἰτίας. συνεστᾶσι δὲ αἱ ὑποθέσεις ἐξ αἰτίου καὶ συνέχοντος καὶ κρινομένου. αἴτιον μὲν οὖν δι' ὃ ἡ κατηγορία, συνέχον δὲ δι' ὃ ἡ ἀπολογία, τὸ δὲ κρινόμενον τοῖς δικασταῖς καταλείπεται.

κθ'. Τὰ δὲ ἐκ τῶν παραδειγμάτων λαμβανόμενα θεωρεῖται ἀπὸ τριῶν χρόνων. ἢ γὰρ γεγενημένου τοῦ πράγματος μνημονεύομεν, καὶ τοῦτο καλεῖται παράδειγμα. ἢ γινομένου καὶ συμβαίνοντος, καὶ τοῦτο καλεῖται παραβολή· ἢ οὔτε γεγενημένου οὔτε γινομένου, ἀλλ'
457 ὑποτιθεμένου τοῦ ῥήτορος εἰ τὸ καὶ τὸ γένηται, τί ἂν συμβαίη, καὶ καλεῖται καθ' ὑπόθεσιν.

λ'. Παράδειγμα μὲν οὖν ἐστὶ γεγενημένου πράγματος ἀπομνημόνευσις πρὸς ὁμοίωσιν τοῦ ζητουμένου, οἷον ἐκεῖνοι τοίνυν οἷς οὐκ ἐχαρίζονθ' οἱ λέγοντες, οὐδ' ἐφίλουν αὐτοὺς ὥσπερ ὑμᾶς οὗτοι νῦν, πέντε μὲν καὶ τεσσαράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων, πλείω δὲ ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν ἀνήγαγον· καὶ τὰ ἑξῆς.

λα'. Παραβολὴ δέ ἐστιν ὄντος καὶ γινομένου πράγματος ἀπομνημόνευσις πρὸς ὁμοίωσιν τοῦ ζητουμένου· ὥσπερ γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου, καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότερα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας.

λβ'. Τὸ δὲ καθ' ὑπόθεσιν οὔτε γεγενημένου οὔτε γινομένου πράγματος δήλωσις, ἀλλ' ὑποτιθεμένου τοῦ ῥήτορος εἰ τὸ καὶ τὸ γένηται, τί ἂν συμβαίη, οἷον φέρε, ἂν δὲ δὴ πέμψας πρὸς ἡμᾶς Λεύκων ἐρωτᾷ τί ἔχοντες

ἐγκαλέσαι καὶ τί μεμφόμενοι τὴν ἀτέλειαν αὐτὸν ἀφῃρήμεθα, τί πρὸς θεῶν ἐροῦμεν.

λγ΄. Τὰ δ' ἐκ τῶν ἀτέχνων θεωρεῖται ἐκ τῶν ἐγγράφων, νόμων, συμβολαίων, διαθηκῶν. ἄτεχνα δὲ καλεῖται ἐπεὶ μηδεμιᾶς ἐστὶ τέχνης ἀναγνῶναί τι ἔγγραφον 458 *καὶ δι' αὐτοῦ δεῖξαι τὸ πρᾶγμα.*

λδ΄. Ἕπεται δὲ τῷ ἐπιχειρήματι ἐνθύμημα καὶ γνώμη.

λε΄. Ἐνθύμημα μὲν οὖν ἐστὶ τὸ τοῦ προηγουμένου ἐπιχειρήματος συμπέρασμα, προσαγόμενον τῷ ζητήματι ἐν μιᾷ περιόδῳ, οἷον ὥσπερ οὖν διὰ τούτων ἤρθη μέγας, ἡνίκα ἕκαστοι συμφέρον αὐτὸν ἑαυτοῖς ᾤοντό τι πράξειν· οὕτως ὀφείλει διὰ τῶν αὐτῶν τούτων καθαιρεθῆναι πάλιν, ἐπεὶ πάνθ' ἕνεκα ἑαυτοῦ ποιῶν ἐξελήλεγκται.

λϛ΄. Γνώμη δέ ἐστι κοινόν τι πρᾶγμα ὅπως δέον γί- 459 *νεσθαι ἀποφαινόμενον, οἷον πέρας μὲν ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ. δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασι τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δ' ὅ τι ἂν ὁ θεὸς διδῷ γενναίως.*

λζ΄. Ταῦτα ἤρτηται ἐκ προτάσεων καὶ ὑποφορῶν καὶ ἀνθυποφορῶν.

λη΄. Πρότασις μὲν οὖν ἐστὶν ἐν μὲν κατηγορίᾳ ἡ τοῦ ἐγκλήματος αἰτία, ἐν δὲ συμβουλῇ ἡ τῆς ἀξιώσεως δήλωσις.

λθ΄. Ὑποφορὰ δέ ἐστι τὸ ὑποβαλεῖν ἔννοιάν τινα, εἶτα ἀπαντῆσαι. προσέοικε δὲ ἡ μὲν ὑποφορὰ τοῖς συμβουλευτικοῖς λόγοις, ἡ δὲ ἀνθυποφορά, ἤτοι τὸ ὑπενεγκεῖν τὸν λόγον, ᾧ χρῆται ὁ ἀντίδικος, τοῖς δικανικοῖς.

μ΄. Διείληπται δὲ ὁ δικανικὸς λόγος καὶ ὁ συμβουλευτικὸς τοῖς κατὰ διάνοιαν καὶ κατὰ λέξιν σχήμασι.

---

460 ## ΠΕΡΙ ΕΠΙΛΟΓΟΥ.

μα΄. Ἐπίλογός ἐστιν ὁ ἐπὶ τοῖς ἀποδεδειγμένοις λόγοις λεγόμενος πρὸς αὔξησιν ἢ ὀργήν, ἢ περὶ τὸν δικαστὴν ἢ τὸν ἐναντίον, ἤτοι πρὸς ἀνάμνησιν, ὅπερ ἀνακεφαλαίωσιν καλοῦμεν.
